κύριον ὕδασιν, καὶ ἐκ στείρων ἔσχον μητέρων τὴν γέννησιν; καὶ ἄλλοις τισὶ πλεονεκτήμασιν ἔθαλλον, μεγάλας μὲν εἰ πρὸς ἑτέρων ἀρεταῖς παραβάλλοιντο, μικρᾶς δὲ λίαν εἰ τὰς Ἰωάννου χαρίσμασι τελμῶεν συγκρίνεσθαι· πρὸς ἃ δὲ ὑπερβολὴν ἀνυπερβλήτου καὶ Ζαχαρίας τότε ὁ μέλλων Ἰωάννου πατὴρ ἀναδείκνυσθαι τὸν νοῦν ὡς ἐπ' ἀμηχάνοις τισὶν ἐκπληττόμενος, τῆς ἀπιστίας τὸ κέντρον ἐδέχετο· καὶ δὴ τούτῳ πληγεὶς πρὸς τὸν μακάριον ἔφασκεν ἄγγελον ἐκεῖνα τῆς δεινῆς ἀπιστίας τὰ ῥήματα· « κατὰ τί γνώ- » σομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου » προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς » · ἅπερ εἰπεῖν Ἰωάννου τὸν πατέρα, παντελῶς οὐκ ἔπρεπεν· εἴρηκεν δὲ οὐχ ὁ Ἰωάννου πατὴρ τῆς μεγάλα τε καὶ ἐξαίσια βοώσης φωνῆς, ἀλλ' ὡς τοῦ στενοφώνου καὶ βραδυγλώσσου νόμου φέρων τὸ πρόσωπον· στενόφωνος γὰρ ὁ Μωϋσῆς καὶ βραδύγλωσσος ὁ τοῦτον γεγραφὼς ἀναγέγραπται· ὅθεν εὐθὺς καὶ ᾧ πᾶν ἐπετάττετο, καὶ εἰκονίζειν ἐν ἑαυτῷ νόμου τοῦ μωσαϊκοῦ τὴν σιώπησιν, ἣν ἐπιφανέντος ἡμῖν ἐν σαρκὶ τοῦ μεγάλου νομοθέτου Χριστοῦ σεσιώπηκεν, ὡς νόμου βουληθεὶς γενέσθαι προτύπωμα· ἐπείθετο γὰρ τοῦ ἀγγέλου τὴν σιωπὴν αὐτοῦ καθαρίζοντος· « ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον » τοῦ Θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρός σε καὶ εὐαγ- » γελίσασθαί σοι ταῦτα· καὶ ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ » δυνάμενος λαλῆσαι ἄχρι ἡμέρας γένηται ταῦτα, ἀνθ' » ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου οἵτινες πληρωθή- » σονται εἰς τὸν καιρὸν αὐτῶν » · καὶ μάλα εἰκότως ἐπετιμᾷ τὸ ἄφωνον, εἰ καὶ τῆς φωνῆς γεννήτωρ ἤμελλεν γενέσθαι· οὐ μόνον ὅτι τῶν ἐν νόμῳ διαπιστούντων γενέσθαι τύπος ὑπέσχετο, ἀλλ' ὅτι μηδὲ τὴν ταῦτα κηρύττειν στελ-

Digitized by Google

λομένην φωνὴν ἀπ' αὐτοῦ πρεῖέναι πεπίστευκεν, καὶ τῇ τῆς φωνῆς ἀπειστήσας προόδῳ, δικαίως τῆς φωνῆς ἐστερίσκετο, ἐπειδὴ δὲ δι' ὧν τίς ἁμαρτάνει, διὰ τούτων ὡς ὁ σοφὸς φησὶν Σολομὼν κολάζεται, ἵνα μάθοι τῇ ἐξ ἐρήμου προϊούσῃ φωνῇ μὴ ἀπιστεῖν, ἐξ ἀγόνου γὰρ γῆς ἤτοι μήτρας ὁ Ἰωάννης ἐξαίθωρε, καὶ ἐν ἐρήμῳ βοώσῃ ταῖς Ἰουδαίων πίστεως καρπὸν οὐ τικτούσαις ψυχαῖς, ἢ καὶ τῇ ἐξ ἐθνῶν ἐκκλησίᾳ ὡς καρπὸν οὐκ ἐχούσῃ τὸ πρότερον ἥμερόν τε καὶ τρόφιμον καὶ τρέφειν Χριστὸν κατὰ τὴν ἐν Σαμαρείᾳ βρῶσιν δυνάμενον· ἑκατέρῳ γὰρ τούτων Ἰωάννης ἐν ἐρήμῳ ἡ μεγάλη καὶ μεγάλα βοῶσα φωνὴ τὸ σωτήριον ὄντως βεβόηκεν κήρυγμα, τὸ καὶ καρποφόρον εἰς γῆν μεταβαλεῖν ἑκατέραν ἱκανὸν ἄκαρπον ἔρημον.

9. Τί γὰρ ἄρα καὶ ὁ πρεσβύτης ἐκεῖνος καὶ ἱερεὺς καὶ τοῦ νόμου παιδευτὴς καὶ διδάσκαλος, καὶ τὴν παράκλησιν τοῦ Ἰσραὴλ προσδεχόμενος, καὶ ὑπὲρ ταύτης ἀεὶ προσάγων σύντονον δέησιν, μὴ τοῖς ταύτης εὐαγγελίοις ἐπείθετο, εἰ μὴ τὸν ὑπὸ νόμον ἐν ἑαυτῷ προεζωγράφει ἄπιστον; εἰ μὲν γὰρ ἄγγελον ἅγιον ᾤετο τὸν τῷ θυσιαστηρίῳ παρεστῶτα, καὶ ταῦτα πρὸς αὐτὸν ἐκεῖθεν φθεγγόμενον, διὰ τί μετὰ πίστεως τῶν λεγομένων οὐκ ἤκουε; τὸ κατὰ τὸν Ἀβραὰμ καὶ τὴν Σάῤῥαν πρὸς τὸ πιστεῦσαι ῥυθμίζων ἑαυτὸν ὑποδείγματι· καί τοι εἰ καὶ τοῦτο μὴ ἦν, ἔδει πάντως θεῷ πιστεῦσαι θεσπίσαντι ξένον τί καὶ ὑπὲρ φύσιν ἐργάσασθαι· τί γὰρ ἐν τοῖς οὖσιν ἐστὶν ὃ μὴ θάτερον πρὸς ὕπαρξιν τῷ τοῦ θεοῦ βουλεύεσθαι συντρέχει προστάγματι; ὃ καὶ Ἰὼβ ὁ θαυμάσιος ὑπ' αὐτοῦ τοῦ θεοῦ διὰ τῆς πρὸς αὐτὸν ἐν τῷ νήφει πειθομένης διδασκόμενος, θαυμασίως πῶς ἀνεβόησε· « οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν »· εἰ

Digitized by Google

δὲ δύναμιν ἐχθράν τινα καὶ ἀντίθεον τὴν πρὸς αὐτὸν φθεγγομένην ἐτόπαζε, τί τῶν λαληθέντων ἐπεζήτει τὴν πίστωσιν, λέγων, κατὰ τί γνώσομαι τοῦτο; εἰδὼς ὡς ψεύστης ἐστὶν ἀπ' ἀρχῆς, καὶ ἀλήθειαν λαλεῖν οὐκ ἐπίσταται· καὶ ὡς τὸ πρῶτον ψευσάμενον, καὶ ὅλως δεχθεὶς ἐν τῷ ψεύσματι, οὐκ ἀπορήσει καὶ τὸ δεύτερον ψεύσασθαι· ὅπως μείζοσιν ἀπάταις αἰχμάλωτον τὸν ἁλῶντα ταῖς πρώταις αὐτοῦ προσβολαῖς ἀπενέγκαιτο· ἀλλ' οὐ τοιοῦτος τίς εὐηθὴς ὁ Ζαχαρίας ὁ Ἰωάννου τοῦ μεγάλου πατὴρ ἐτύγχανεν, ἄπαγε· οὐδ' ἐκ ῥίζης τοιαύτης οὕτω μωρᾶς ὁ γλυκύτατος οὗτος καρπὸς Ἰωάννης ἐφύετο, ὁ καὶ διὰ τοῦτο τάχα τρεφόμενος μέλιτι· ὅτι πᾶσι τοῖς τὴν ἐξαίρετον ἀγαπῶσι ζωὴν ἡδύς ἐστιν καὶ γλυκύτατος, ὡρὸς τὴν οἰκείαν αὐτοὺς δι' ἔνθεον ἡδονὴν προσκαλεῖται τε καὶ προτρέπεται μίμησιν· ἀλλ' ἔκστασιν ὁ πρεσβύτης ὡς ἔφημεν οἶμαι κατὰ τὸν Ἰσαὰκ ἐκεῖνον ὑπέμεινεν, ἵνα τοῦ μὲν νόμου τὴν σιγὴν, καὶ τὸν ὑπὸ νόμον προδηλώσοι τὸ ἄπιστον· τοῦ δὲ εὐαγγελίου τὴν βροντὴν τὴν πάντα τῆς οἰκουμένης κατακτυπῶσαν τὰ πέρατα, καὶ τῶν ὑπὸ χάριν ἐθνῶν τὸ πιστὸν προμηνύσειεν.

10. Οἰκοῦν μέγας ὁ ἱερεὺς καὶ μυστικῶς ἀπιστεῖ, καὶ μυστικώτερον ἀφαιρεῖται τοῦ λόγου τὴν πρόοδον διὰ τὸ τῆς ἰουδαϊκῆς ἀπιστίας ἀλόγιστον· κἀκ τούτου Ἰωάννης ὁ τοῦ λόγου πρόεισι προόδρομος φέρων ἐν ἑαυτῷ τὴν ἀρετὴν τοῦ γεννήτορος· εἴπερ ἐκ τοῦ καρποῦ τὸ δένδρον γιγνώσκεται, καὶ οὐ δύναται δένδρον σαπρὸν καρπὸν καλὸν ποιεῖν κατὰ τὴν θείαν ἐκείνην φωνὴν καὶ θεότευκτον· εἰ γὰρ μὴ οὕτως τίς τοῦ πρεσβύτου τὴν ἀπιστίαν νοεῖν ἐθελήσειεν, ἔσται πολὺ τῆς Ἐλισάβετ ἐν ἀρεταῖς ἐλαττούμενος· ἐκείνη γὰρ καί τοι τούτων μηδαμῶς ἐπακούσασα, ἄναυδος γὰρ ὡς αὐ-

Digitized by Google

τὴν ὁ πρεσβύτης ἀνέλυσε τὴν μακαρίαν παρθένον ἐλθοῦσαν πρὸς αὐτὴν θεωρήσασα, καὶ τῆς παρθενικῆς πειθομένη προῤῥήσεως, θεοτόκον αὐτὴν εὐθὺς ἀνηγόρευσε· « εὐ» λογημένη σὺ ἐν γυναιξίν, μεγάλῃ βοῶσα τῇ φωνῇ, καὶ » εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου· καὶ πόθεν μοι » τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου πρός με; ἰδοὺ » γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτα » μου· ἐσκίρτησεν τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ » μου, ἣν καὶ ἀξίως ἐμακάριζεν λέγουσα, καὶ μακαρία ἡ » πιστεύσασα, ὅτι ἔστι τελείωσις τοῖς λελαλημένοις αὐτῇ » παρὰ κυρίου »· οὐ μόνον γὰρ ἔγκυον αὐτὴν οὖσαν ἐπέγνω τῷ πνεύματι, ἀλλὰ καὶ τῶν παρὰ θεοῦ λελαλημένων αὐτῇ δι' ἀγγέλου φωνῆς ἐπλούτει τὴν εἴδησιν· ὅπερ ἄπιστον ἂν εἴη παντελῶς καὶ ἀπείθανον· δείκνυσι γὰρ Ζαχαρίου τὴν πρὸς θεὸν τελειότητα, οὐ μόνον τὸ πρὸς αὐτὸν ἀπεστάλθαι τὸν ἄγγελον τὸν τὰ τοιαῦτα κατακοσμήσαντα ἐπὶ γῆς ἐπαγγελίᾳ, καὶ τὸ Ἰωάννου τοῦ βαπτιστοῦ γενέσθαι, τὸ τῇ Χριστοῦ συγγενείᾳ σεμνύνεσθαι· ἰδοὺ γάρ, φησὶν, Ἐλισάβετ ἡ συγγενής σου, αὐτὸς ὁ τὴν ἁγίαν παρθένον εὐαγγελισάμενος ἄγγελος· ἀλλὰ καὶ ἐξ ὧν μετὰ τὸν Ἰωάννου τόκον προφητικῶς μεμελῴδηκεν, καὶ τὰ περὶ Χριστοῦ προδιήγγειλεν « εὐλογητὸς, βοῶν, κύριος ὁ θεὸς τοῦ » Ἰσραὴλ ὅτι ἐπεσκέψατο καὶ ἐποίησεν λύτρωσιν τῷ λαῷ » αὐτοῦ, καὶ ἤγειρεν κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δα» βὶδ τοῦ παιδὸς αὐτοῦ, καθὼς ἐλάλησε διὰ στόματος τῶν » ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ· » καὶ τὰ ἕτερα ὅσα περὶ αὐτοῦ τούτοις ἐπήγαγεν, ἃ καὶ πρὸ θανάτου θεάσασθαι ἑκάστης ὥρας προσηύχετο.

11. Ὁμοίως δὲ καὶ ἀφ' ὧν πρὸς τῷ τοῦ ἅγματος πέ-

Digitized by Google

ρατι περὶ τοῦ οἰκείου παιδὸς προεφήτευσεν « καὶ σὺ παι-
» δίον, λέγων, προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ
» πρὸ προσώπου κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ τοῦ δοῦναι
» γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν ἡμῶν
» διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν »· ἅπερ οὐκ ἀπὸ καρ-
δίας ἀλλὰ πνεύματος ἁγίου γενόμενος ἔμπλεος ἔλεγε· γέ-
γραπται γὰρ ἐν εὐαγγελίοις ὧδε περὶ αὐτοῦ· « καὶ Ζαχα-
» ρίας, φησὶν, ὁ πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος ἁγίου,
» καὶ προεφήτευσεν λέγων· » τί λέγων; ταῦτα δηλαδὴ
ἅπερ προλαβόντες εἰρήκαμεν· πρόδηλον δὲ ὡς οὐκ ἂν οὗ-
τος ὁ Ζαχαρίας ἁγίου σαφῶς ἐνεμπίπλατο πνεύματος, εἰ
μὴ πιστός τις ὑπῆρχε τῷ πνεύματι καὶ τῆς εἰκταίας αὐ-
τοῦ πληρώσεως ἄξιος· καὶ ὡς οὐδὲ Ἰωάννου πατὴρ ἐχρη-
μάτιζε, εἰ μὴ καὶ ταύτης ἦν τῆς ἀξίας ἐφάμιλλος· ταῦ-
τα μὲν οὖν ἅπαντα τῆς Ἰωάννου καθηγείσθω συλλήψεως,
θεικνῦντα πάντων αὐτὸν τῶν ἐν γεννητοῖς γυναικῶν πρὸ συλ-
λήψεως μείζονα· καθὰ καὶ ταύτην αὐτῷ Χριστὸς ἡ ἀλή-
θεια τὴν μαρτυρίαν ἀληθῶς μεμαρτύρηκε· ἵνα μὴ κατὰ τοῦ-
το τινὲς τὸ μὴ ἐκ μεγάλων τετέχθαι τινῶν ὑπολάβοιεν αὐ-
τὸν τινὸς τῶν ἀνθρώπων ἐλάττονα· ὃ καὶ τὸ γράμμα τὸ
εὐαγγελικὸν διὰ φροντίδος ὡς οἶμαι τιθέμενον διὰ τῆσδε τῆς
περὶ αὐτὸν προεκτεθείσης γραφῆς τὴν ὑπόνοιαν τῶν τοῦτο
μελλόντων ὑπονοεῖν προαπεκήρυξε φῆσαν ἐναργῶς· « ἦσαν δὲ
» καὶ οἱ ἀμφότεροι ἐνώπιον τοῦ θεοῦ πορευόμενοι ἐν πάσαις
» ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ κυρίου ἄμεμπτοι· » τί
δὲ; τοῦ τοιαύτην ἐλεῖν τότε Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ
τοὺς Ἰωάννου γεννήτορας ψῆφον εὐαγγελικὴν μαρτυροῦσαν αὐ-
τοῖς τῶν ἀρετῶν τὴν ἀκρόπολιν, τὸ ὑπερέχον ἐστὶν ἐν ἀνθρώ-
ποις θεάσασθαι· οὐ μόνον γὰρ αὐτοῖς τὸ δίκαιον ἡ ἀδέ-

Digitized by Google

καστος ψῆφος παρέσχετο, ἀλλὰ καὶ τὸ ἐνώπιον τοῦ Θεοῦ προσήγαγεν· Θεῷ γὰρ μόνῳ καὶ δίκαιοι φαίνεσθαι νόμοις εὐαγγελικοῖς ἐπετήδευον, ὄμματι προφητικῷ ὡς ἤδη τεθέντας προβλέποντες· καὶ τὸ χεῖρα τὴν ἀριστερὰν τὸ δεξιὰν ἀποκρύπτειν πειρᾶσθαι πολίτευμα, φθάνειν τῆς τοιαύτης νομοθεσίας ἔργῳ καὶ πράξει τὸ πρόσταγμα· πρόσκειται δὲ καὶ τοῦτο τῇ ψήφῳ σαφῶς ἡ πασῶν ὁμοῦ τῶν μωσαϊκῶν ἐντολῶν καὶ δικαιωμάτων ἄμεμπτος πλήρωσις, ἵνα δείξῃ τοὺς ταυτηνὶ τὴν ἔννομον ἔχοντας, ἑκατέρους ἑκατέροις, τῆς τε τῆς παλαιᾶς νομοθεσίας σεφανουμένοις αὐχήμασιν, καὶ τοῖς τῆς εὐαγγελικῆς πολιτείας λαμπρυνομένοις ὑψώμασιν.

12. Ταύτους γὰρ ἔδει καὶ ἔπρεπε καὶ τοὺς Ἰωάννου προβολέας ὁρᾶσθαι· ἐπειδὴ καὶ ὁ ἐκ τούτων ἡμῖν διαθήκης ἑκατέρας μεσίτης ἤμελλε δείκνυσθαι, καὶ συνέχειν ἐν ἑαυτῷ τῶν ἀμφοτέρων ἀληθῶς τὸ ἐξαίρετον· ὡμολόγηται γὰρ ὡς τῆς μὲν πρεσβυτέρας τέλος ὡρίζετο· τοῦ γὰρ προφητικοῦ χοροῦ τὸν ἀριθμὸν αὐτὸς τετελείωκεν, ἐπειδὴ καὶ πάντες οἱ προφῆται ἕως Ἰωάννου τοῦ βαπτιστοῦ προεφήτευσαν· τῆς δὲ νεοτέρας ἀρχὴ καὶ προοίμιον, πάντων γὰρ τῶν ἀποστόλων αὐτὸς προηγήσατο· ἐπειδὴ πρῶτός τε καὶ προτρέχειν Χριστοῦ ἀξίαν ἀγίων ἀγγελικὴν ἀπεστέλλετο· Θεοῦ γὰρ ὡς ἄγγελος προβαδίζειν κεκέλευστο, καὶ ἀπὸ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτιστοῦ ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν· ἐξ ἐκείνου γὰρ λαβοῦσα τὴν ἀρχὴν βιάζεσθαι διὰ τῆς εὐαγγελικῆς ἀγωγῆς ἑκουσίως ὑπὸ πάντων ἁρπάζεται· ἐξ ἱερέως τοίνυν καὶ προφήτου πατρὸς καὶ τἄλλα λαμπροῦ καὶ θεόφρονος ἐν κοιλίᾳ μητρὸς ἱερᾶς καὶ προφήτιδος, Ἰωάννης οὗτος ὁ ἐν πᾶσι προφήταις ἔχων τὸ περισσὸν συλλαμβάνεται, ὃς καὶ μόνος ἐν γαστρὶ προεφήτευ-

Digitized by Google

σεν· ἐπεὶ παρόντα γαστρὶ παρθενικῇ τὸν δεσπότην ἔνωσε, καὶ μόνος ἐν γαστρὶ πνεύματος ἁγίου γέγονεν ἔγκυος, κυοφορῶν ἐν ἑαυτῷ καὶ κυοφορούμενος· κυοφορούμενος μὲν στείρᾳ μητρὶ, κυοφορῶν δὲ τὴν χάριν τοῦ πνεύματος καὶ ὠδίνα προφητικὴν πρὶν ὠδινηθῆναι ποιούμενος, καὶ πρὸ τοῦ τεχθῆναι τίκτων τὸ πνεύματος χάρισμα· εἴπερ ἐν γαστρὶ κατὰ τὸν θεῖον Ἡσαΐαν λαμβάνουσι καὶ ὠδίνουσι· καὶ πάλιν ἔπειτα τίκτουσιν οἱ προφητικῶς ὑπηρετοῦντες τῷ πνεύματι, καὶ τὴν κρύφιον τούτου βουλὴν εἰς τοὐμφανὲς ἐξαγγέλλοντες· ἀλλὰ ταῦτα μὲν Ἰωάννης ὕστερον ἔδρασεν μετὰ τὴν αὐτοῦ παράδοξον σύλληψιν· ἐν στείρᾳ γὰρ μήτρᾳ συνείληπτο καὶ ἐν πρεσβύτιδι μητρὶ ὑπὸ πρεσβύτου πατρὸς κατεβέβλητο· πρὸ τούτου δὲ τέως ἡσυχάζει βίᾳ μὲν, μητρικῇ δὲ ὅμως κελεύσει πειθόμενος· οὐκ ἠβούλετο γὰρ ἀνενέργητον φέρειν τὴν χάριν τοῦ πνεύματος, ἧς κατὰ τὴν ἀγγελικὴν φωνὴν ἐγκόλπιος ἔτι τελῶν ἐμπίμπλατο· ἐπειδὴ δὲ ὁ ὠκταμηνιαῖος ἐκεῖνος χρόνος παρῴχηκεν ὁ τὸν αἰσθητὸν ἡμῖν νόμον παραθηλῶν διὰ τὴν σύστυχον αὐτῷ πεντάδα καὶ προσφιλῆ τῶν σωματικῶν καὶ ταχυτέρων αἰσθήσεων, ὧν ἡ μήτηρ ὡς ἦει μήτηρ ἑαυτὴν περιέκρυβε, καὶ τὸν ἀσίγητον τοῦτον προφήτην ἑαυτῇ συναπέκρυπτεν.

13. Μὴν δὲ λοιπὸν ὁ ἕκτος παρῆν· καὶ παρῆν ἡ παρθένος τὸν ἄκτιστον ἐν γαστρὶ κτιζόμενον φέρουσα· ἐν ἕκτῳ γὰρ αὕτη συλλαμβάνει μηνὶ τὸν ἐν ἓξ ἡμέραις τὸν ἑξάημερον κόσμον τευξάμενον, καὶ ἡμέρᾳ τῇ ἕκτῃ τὸν ἄνθρωπον κτίσαντα, καὶ πάλιν αὐτὸν διὰ σταυροῦ πεπραχότα κακῶς, ἀνακτίσαντα· οὐκέτι τὴν ἡσυχίαν ἄγειν ὁ Ἰωάννης ἠνίσχετο, οὔτε τοῦ λόγου παρόντος ἡρεμεῖν ἡ φωνὴ κατεδέχετο· ἀλλὰ κήρυξ ἐγίγνετο πρόωρος, μηδαμῶς τῆς κηρύξεως

Digitized by Google

διὰ τῶν τῆς γλώττης δεσμῶν κωλυομένης· ἐβόα γὰρ τοῖς σκιρτήμασιν ὡς πάρεστιν ὁ δεσμῶν ἡμᾶς τοὺς ἀνθρώπους λυτρούμενος· καὶ τὸ σκιρτᾶν ἡμῖν ὡς ἐκ δεσμῶν ἀνειμένων δωρούμενος· ἠγαλλία κράζων τῷ πνεύματι, ὃς ἀφίκετο πᾶν δάκρυον ἀπὸ προσώπου παντὸς ἀφαιρούμενος, καὶ σταθερὰν ἀγαλλίασιν τῷ γένει παντὶ χαριζόμενος· ἤπλοι τὸν δάκτυλον καὶ τοῦ θεοῦ τὸν ἀμνὸν ἐπεδείκνυε, καὶ τὸν ὑπὲρ ἡμῶν δι' ἁμαρτίαν ἐρίφων σφαττόμενον, καὶ τοῦ κόσμου τὴν ἁμαρτίαν τέλεον αἴροντα· ἄμφω τὰς χεῖρας ἐξέτεινεν, καὶ τὸ τοῦ σταυροῦ προεκήρυττε τρόπαιον· ὅπερ ὁ ἐν γαστρὶ παρθένου παρὼν κατὰ δαιμόνων ἱστᾶν παραγέγονεν· ὄρθιος ἵστατο καὶ τὴν ἐξ ᾅδου πάντων ἀνάστασιν μυστικῶς ἐκελάδει τῷ σχήματι· ἣν ὁ ἐν ἀσπόρῳ μήτρᾳ τότε κρυπτόμενος ἐν τάφῳ κρυφθεὶς ἐπεδείξατο· καὶ τάχα ἂν τῇ μητρὶ διεμάχετο, ὅτι τὰ τοιαῦτα βοᾶν ἐφιέμενον φυσικῆς δεσμῆς ἐνεπόδιζε, καὶ κατεῖχεν ἄκοντα δέσμιον, εἰ μὴ τὴν φωνὴν αὐτῷ θᾶττον δανείσασα πρὸς τὴν μακαρίαν παρθένον διαῤῥήδην φράσαι δι' αὐτῆς συνεχώρησε· « εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου· καὶ πόθεν μοι τοῦτο » ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου πρός με »; Ἰωάννου γὰρ τάχα τοῦτο τυγχάνει τὸ κήρυγμα, καὶ εἰ τὸ τῆς Ἐλισάβετ διεκεκήρυκτο στόματι· ἐπειδὴ καὶ τὴν συγγενῆ φωνὴν καὶ ταυτόλεκτον πρὸς τὸν σωτῆρα Χριστὸν ἀνακέκραγεν ὅτε πάλιν πρὸς αὐτὸν ἐν τῷ Ἰορδάνῃ τὸν ὄχλον βαπτίζοντα, ὑπ' αὐτοῦ βαπτισθῆναι καὶ αὐτὸς παραγέγονε· ἀνεβόησε γὰρ καὶ τότε ὡς ἴδεν αὐτὸν προσεγγύζοντα, ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; ἐγνώρισας τῆς φωνῆς τὴν συγγένειαν; γνώρισον τοῦτον εἶναι τὸν κἀκείνην καὶ ταύτην φθεγξάμενον· καὶ τὴν μὲν

Digitized by Google

δι' ἑαυτοῦ, τὴν δὲ διὰ τοῦ τῆς μητρὸς ἀνεφθέγξατο στόματος.

14. Οἶμαι δὲ τὸν οὕτως θερμὸν πρὸς τὸ κήρυγμα Χριστοῦ κατὰ τῆς κυοφορούσης καὶ τῆς πορείας εἰργούσης ἀλαλήτως ἐντυγχάνειν τῷ στείλαντι· δέσποτα σὺ με κηρύττειν ἀπέστειλας τὴν σὴν ἐπὶ γῆς ἀνεκδιήγητον ἄφιξιν, καὶ ἡ μήτηρ κατέχει πηδήσασα· σὺ κελεύεις βαῖν, καὶ αὕτη τὴν γλῶτταν συνέδησεν· σύ με προτρέχειν πέπομφας, καὶ αὕτη μοι τὸν δρόμον συνέκλεισε· δεσπότης ὑπάρχεις τῆς φύσεως· κέλευσον, καὶ ἡ φύσις τὸ κελευσθὲν διαπράττεται· μόνον πρόσταξον, καὶ κωλύειν ἡ μήτηρ οὐ δύναται· μόνον εἰπὲ, καὶ τὸ λεχθὲν εὐθέως γενήσεται· σύνδρομον γὰρ ἔχεις τῇ βουλῇ καὶ τὴν δύναμιν, καὶ πάντα τῷ σῷ παντοδυνάμῳ δουλεύει θεσπίσματι· εἰ δὲ τοῦτο μὴ κελεύεις με διαπράξασθαι, μὴ καταδικάσῃς μοι ῥᾳθυμίαν τοῦ δρόμου, ὁ τοῦ δρόμου νομοθετήσας τὴν κώλυσιν· αὐτὸς γὰρ τοὺς ὅρους ἔθου τῆς φύσεως οὓς ὑπερβαίνειν οὐκ ἔνεστιν τοὺς νόμοις δουλεύοντας φύσεως· ἀλλ' οὐδὲν ὁ δεσπότης τῆς φύσεως διὰ τὴν Ἰωάννου πρὸς τὸ κηρύττειν θερμότητα, καὶ τῆς ἀρχῆθεν αὐτῷ καλῶς θεσπισθείσης προέταττε φύσεως, ἧς καὶ αὐτὸς διὰ τοὺς ἀνθρώπους ἡμᾶς καθ' ἡμᾶς γέγονεν ἄνθρωπος, νόμοις δουλεῦσαι σὺν ἡμῖν κατηξίωσεν· ἀλλ' ἐκεῖνα τάχα κἀνθάδε πρὸς αὐτὸν ἀπεκρίνατο ἃ καὶ μετὰ ταῦτα πρεσιὼν τῷ βαπτίσματι « ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμᾶς πληρῶσαι πᾶσαν δικαιοσύνην· ἓν ὡς εἰκὸς Ἰωάννης ἀκούσας, ἡσύχασε καὶ ἔτι λαλεῖν οὐκ ἐτόλμησεν· καί τοι λίαν τῆς συνεχούσης αὐτὸν νηδύος τοῦ διορισαμένου πᾶσιν τοῖς κυησκομένοις καιροῦ προεξελθεῖν ἐπειγόμενος, καὶ τοῦ θεόθεν αὐτῷ δοθέντος κηρύγματος ἄρξασθαι· οὕτω δὲ μῆνας ἔτι

Digitized by Google

τρεῖς καὶ συνοικοῦντα τὸν κτίσαντα βλέποντι, καὶ τῶν αὐτῶν τῆς φύσεως θεσμῶν ἀνεχόμενον, ὁ τοῦ τόκου καιρὸς ἐπιγίνεται· τοὺς τρεῖς γὰρ ἡ τοῦτον κυοφοροῦσα παρθένος τῇ Ἐλισάβετ συμπαρέμεινεν, ὅπως ἐντελῶς ὁ ἐξ αὐτῆς προερχόμενος, καὶ κήρυξ ἀληθὴς τῷ κόσμῳ στελλόμενος, τῆς ὑπερτάτης τριάδος ὡς ἐν νεφέλῃ μωσαϊκῇ τῇ μητρώᾳ γαστρὶ μυηθῇ τὰ μυστήρια· καὶ τίκτεται τοῦ ἐν μήτρᾳ τῇ παρθενικῇ κρυπτομένου θεοῦ διατάξει.

15. Καὶ τεχθεὶς τῆς μὲν τεκούσης μητρὸς εὐθέως τὸ ὄνειδος ἔπαυσεν, ὃν ἐκ τοῦ τῆς ἀπαιδείας ἔσχεν ἐγκλήματος· τῆς δὲ τοῦ τεκόντος πατρὸς γλώττης τὸν χαλινὸν εὐθὺς ἀπέλυσεν, ὃν ἐκ τοῦ τῆς ἀπιστίας ἔσχε προσκόμματος· καὶ παῖς μὲν τοῖς ὁρῶσι πᾶσιν εἰ ἀναμφίβολος· ἡ τεκοῦσα μὲν γὰρ τὴν ψυχὴν ἐλλαμπομένη τῷ πνεύματι, Ἰωάννην αὐτὸν ἠβούλετο λέγεσθαι· ὁ δὲ ἑβραϊκῇ μὲν ἐκφωνεῖται φωνῇ, εἰς τὴν ἑλληνίδα δὲ μετερχόμενον, θεοῦ χάριν δηλοῖ καὶ παράστασιν· οἱ δὲ συγγενεῖς καὶ τῆς συναγωγῆς φίλοι καὶ τρόφιμοι τῆς προφητικῆς ἐπωνυμίας ἀκούσαντες, καὶ παρεῖναι τῷ κόσμῳ τοῦ θεοῦ καὶ πατρὸς τὴν χάριν οἰόμενοι, ταύτην ἠρνοῦντο, καὶ μετὰ τῆς οἰκείας ἐμφάσεως ἔφευγον, καὶ δὴ καὶ ἀμείβειν αὐτὴν ἐπειρῶντο καὶ ἤθελον, καὶ τολμηρώτερον πρὸς τὴν φύσασαν ἔλεγον ὅτι οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ· ἤμελλον γὰρ οἱ τὴν ἰουδαϊκὴν ἀποπληροῦντες συγγένειαν· ὁ δὲ πυξίδα λαβὼν διὰ νεύματος, ἐπεὶ λαλεῖν μὴ ἐδύνατο, Ἰωάννης τοὔνομα τοῦ παιδὸς ἀπεχάραττεν· οὐ μόνον δὲ τοῦτο τοῖς κηρίοις ἐνέγραφεν, ἀλλὰ καὶ γράφων τοῖς γράμμασιν ἐβόα τοῖς ῥήμασιν, τῷ τῆς χειρὸς κινήματι, σύνδρομον τῆς γλώττης ἐμφαίνων τὴν κίνησιν, καὶ τῇ γρα-

Digitized by Google

φίδι τρεχούσῃ δεικνὺς τὸν λόγον συντρέχοντα· τοῦτο γὰρ σημῆναι βουλόμενος καὶ ὁ μακάριος εὐαγγελιστὴς ἐμφαντικώτερον ἔφησεν « καὶ αἰτήσας πινακίδιον ἔγραψεν λέγων » Ἰωάννης ἔσται τὸ ὄνομα αὐτοῦ »· ἅμα γὰρ ἔγραφέν τε καὶ ἔλεγεν, καὶ σύγχρονον παρεῖχεν ὁρᾶν τὴν ἑκατέρου μέρους γλώττης καὶ χειρὸς ἑκατέρας ἐνέργειαν· οὐ γὰρ ἔγραφε μὲν, οὐκ ἔλεγεν δὲ· ἢ ἔλεγε μὲν, οὐκ ἔγραφεν δὲ, ἀλλ' ἔλεγεν ἴσως καὶ ἔγραφεν· καὶ ἡ χεὶρ κάτωθεν ἔθεεν, καὶ ὁ λόγος ἄνωθεν ἔρρεεν· καὶ οὐδεὶς ἑκατέρων κατὰ θατέρου τὴν νίκην, ἀλλ' ἄμφω φίλοι τοῦ δρόμου τὴν νύσσαν ἠσπάζοντο· καθὰ καὶ βαλβίδων ἔξω ὁραμόντες, καὶ ἄμφω νίκης σεφάνους εἰλήφασιν· οὐδενὸς τὴν ἧτταν ὁμολογεῖν ἐθελήσαντος· ἐφ' ᾧ καὶ ἐθαύμασαν ἅπαντες· θαύματος γὰρ ἦν ἀληθῶς τὸ πραττόμενον ἄξιον· καὶ εἰ τοῖς τότε τὸ χρῆμα θαυμάζουσι, μόνον σωματικῶς ἐθαυμάζετο, ἐπεὶ καὶ μόνον σωματικῶς ὑπ' αὐτῶν κατεφαίνετο· ἀλλὰ μὴν τοῖς μύσταις τοῦ πνεύματος οὐ μέχρι τῶν ὁρωμένων τὰ τοῦ πνεύματος στήσεται, ἀλλ' ἔχειν τί κρυπτὸν ὁ λόγος ἐνδείκνυται, ὃ διερευνῶντες τῷ πνεύματι, πνευματικῶς ἀνιχνεύσωμεν· καὶ τούτου θηράσαντες τοῦ λύχνου θηλαδὴ τὴν αὐγὴν ἡμῖν καταπέμποντος τοῖς τοῦ πνεύματος τέκνοις ὑμῖν, εἰς τροφὴν παραθώμεθα πνευματικήν.

16. Θεοῦ χάριν ἐλέγομεν Ἰωάννου σημαίνειν τὸ ὄνομα, ἐπειδὴ καὶ ταύτης ἐπέμπετο πρόδρομος, μηνυτὴς ἀγαθὸς ἀπεστέλλετο· Θεοῦ δὲ χάρις ὁ τοῦ Θεοῦ λόγος εἶναι πιστεύεται, ὁ δι' ἡμᾶς τοὺς ἁμαρτίας αἴσχεσι βριθέντας, ἐν σαρκὶ καθ' ἡμᾶς ἐσχηκὼς τὴν φανέρωσιν· καὶ τῶν μὲν τοιούτων ἡμᾶς λυτρωσάμενος αἴσχεων, δόξης δὲ τῆς εἰκείας πλησώσας καὶ χάριτος· οὕτως γὰρ ἁπάντων θεὸς καὶ πλάστης

Digitized by Google

καὶ πρύτανης πᾶσιν ὁμοίως ἐπέλαμψεν, Ἰουδαίοις, Ἕλλησι, βαρβάροις, ἰδιώταις, σοφοῖς, ἀσόφοις, δούλοις, δεσπόταις, καὶ πᾶσιν ἴσην τὴν τῆς οἰκείας φιλανθρωπείας αἴγλην προτέθεικεν, κἂν ἐξ Ἰουδαίων σαρκικῶς ἀπετίκετο διὰ τὴν πρὸς Ἀβραὰμ τὸν πατριάρχην ἐπαγγελίαν καὶ ἔντευξιν, τὸν ἐξ ἐθνῶν μὲν τὴν γέννησιν ἔχοντα, Ἰουδαίων δὲ τὸ γένος γεννήσαντα· ἢ γὰρ, ὁ Παῦλος φησὶν ὁ σοφώτατος, ἢ Ἰουδαίων μόνον θεὸς ὁ θεὸς, οὐχὶ δὲ καὶ ἐθνῶν; ἔστι γὰρ ἀληθῶς καὶ ἐθνῶν θεὸς ὁ θεὸς· ἐπεὶ καὶ εἷς καὶ μόνος ὑπάρχει θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως, τὴν ἐπὸς τούτους οὖν ἑκατέρους τῆς θείας χάριτος ἴσην καὶ ὁμοίαν ἐμφάνειαν· πάλιν ὁ Ζαχαρίας προφητικῷ κινούμενος πνεύματι, λόγῳ καὶ γράμματι Ἰωάννου τὸ θαυμαστὸν προσεκόμιζεν ὄνομα, τῷ ἐφαμίλλῳ τῆς ἑκατέρας δεικνὺς ἐκφωνήσεως ὡς μία τοῖς πᾶσιν τῆς υἱοθεσίας χάρις δοθήσεται τοῖς ἐκ νόμου καὶ ἐθνῶν ἐπ' αὐτὴν ἐπιστρέφουσιν, καὶ προϊεμένοις αὐτὴν καὶ λαμβάνουσι μετὰ πίστεως ἀληθοῦς καὶ ψυχικῆς καθαρότητος· « ὅσοι γὰρ αὐτὸν ἔλαβον, φησὶν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, οἱ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν· » πρόδηλον γὰρ ὡς Ἰουδαῖοι μὲν τῷ τῆς πινακίδος ἐσημαίνοντο γράμματι, ὡς τῷ τοῦ νόμου δουλεύοντες γράμματι· τὰ ἔθνη δὲ τῷ τοῦ στόματος λόγῳ καὶ πνεύματι, ὡς λόγου μᾶλλον μετέχοντες καὶ τὰ τοῦ νόμου προσχωρήσαντες πνεύματι· ἐπεὶ καὶ ὁ νόμος αὐτὸς διπλοῦς ἐγνωρίζετο, τὸ μὲν ἔχον σαρκικὸν καὶ ἐν γράμματι, τὸ δὲ λογικὸν καὶ ἐν πνεύματι· αὕτη διερμηνευομένη ἡμῖν τὸ εὐαγγελικὸν τοῦτο μυστήριον τῆς Ἰωάννου διπλῆς ἐν ταυτῷ

Digitized by Google

καὶ μυστικῆς ἐκφωνήσεως ἡ αἰτία κατήλειπται, ἣν οὐχ ἡμεῖς ἐξ αὐτῶν εὑρεῖν δεδυνήμεθα, ἀλλ' Ἰωάννης αὐτὸς ὁ λύχνος ὁ ἄσβεστος ἀστράπτων καὶ τὰ κρύφια φωτίζων ὑπέδειξεν· ὅθεν νῦν ἡμεῖς μᾶλλον θαυμάζομεν ἢ ἐκεῖνοι· ἐκεῖνοι τὸ παλαιὸν ἀλλ' ἐπὶ μόνοις τοῖς ὁρωμένοις θαυμάζοντες· οὕτω δὲ Ἰωάννης ἐν βίῳ προέρχεται τοῦ τῆς δικαιοσύνης ἡλίου προτρέχων τοῖς ἄλμασιν, ὥσπερ ἑωσφόρος τις δι' αὐγῆς, καὶ λαμπρότατος καὶ πάντας ἐκπλήττων τῷ μεγέθει τῆς οἰκείας λαμπρότητος, ἣν αὐτῷ προφέρειν παρεῖχετο ἡ ἡλίου τοῦ μετ' αὐτὸν εὐθὺς ἀνατέλλοντος δι' ὑπερβολὴν μαρμαρυγῆς καὶ ἄκρας τοῦ φωτὸς καὶ ἐκλάμψεως, ἡ μεγάλη τε καὶ περιφανὴς καὶ ἀχώριστος πρόοδος.

17. Οὗτος τεχθεὶς, καὶ Ἰωάννης κληθεὶς, καὶ τῷ εἰκείῳ μηνύσας ὀνόματι τοῦ μετ' αὐτὸν ἐκ παρθένου τεχθησομένου τὴν δύναμιν, λύει τοῦ τεκόντος καὶ κεκληκότος νόμῳ τὴν γλῶτταν δεσμοῖς βραδυγλωττείας πρὸ τούτου δουλεύουσαν, καὶ παρέχει τῷ βαρυφώνῳ νόμῳ καὶ πατρὶ φωνὴν· ἡ φωνὴ διαπρύσιον τὸν λόγον κηρύττειν τὸν μετ' αὐτὸν φανησόμενον, τῷ καὶ τὴν προσοῦσαν Μωϋσεῖ τῷ νομοθέτῃ βαρυφωνίαν ἐλαύνοντι· πῶς γὰρ ἦν δυνατὸν πρὸ τοῦ λόγου τικτομένης τὸν λόγον τῆς φωνῆς ἀφωνίᾳ τὸν ταύτῃ γεγεννηκότα κατέχεσθαι; ἢ δεσμοῖς ἀλογίας τὴν γλῶτταν πιέζεσθαι μέλλοντος ὅσον οὐδέπου τοῦ λόγου προϊέναι καὶ τίκτεσθαι; πρόδηλον γὰρ ὡς μετὰ Ἰωάννην τὴν φωνὴν Ἰησοῦς ὁ λόγος γενόμενος, τὴν γλῶτταν τοῦ νόμου βραδυγλωττείας δεσμῶν ἐλευθέρωσεν· ἐσφράγιστο γὰρ αὐτοῦ καὶ τῆς προφητικῆς ἀπαγγελίας τὰ κρύφια, καὶ φωνὴν αὐτῷ μεγάλην καὶ εὔρυθμον δέδωκεν ἀπελάσας αὐτοῦ τὸ πρώην φαινόμενον ἄφωνον, καὶ ἐξελὼν αὐτοῦ τὴν ἀφωνίαν τῇ φα-

Digitized by Google

νερώσα τῆς οἰκείας ἐκλάμψεως, τὴν πρὶν αὐτὸν ἀφανῶς καταθλίβουσαν· διὰ τοῦτο γὰρ ἐν Ζαχαρίᾳ τῷ κατ' αὐτὸν ἱερεῖ καὶ προφήτῃ τυγχάνοντι, ἐτελεῖτο μυστικῶς τὰ ἑκάτερα, ὡς ἑκατέρου σαφῶς εἰκονίζοντι, τῇ μὲν ἱερωσύνῃ τὸν νόμον, καὶ τῷ γηραλαίῳ τῷ παλαιῷ τὴν νομικὴν παλαιότητα· τὸ δὲ τῆς προφητείας χάρισμα, τοῦ προφητικοῦ καιροῦ τὴν ὁμήγυριν· « ἀνεῴχθη γάρ φησιν τὸ στόμα αὐτοῦ » παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν » τὸν Θεόν· » καὶ γὰρ ὡς ἀληθῶς Χριστοῦ κατὰ γῆν τοῖς ἐπὶ γῆς ἐπιφανέντος, ὃς καὶ λόγος ἐστὶ καὶ σοφία τοῦ πατρὸς, καὶ τοῦ προφητικοῦ στόματος ἡ σφραγὶς ἀπεσφράγισται, καὶ τῆς νομικῆς γλώττης ὁ δεσμὸς ἀπολέλυται· καὶ ὁμοίως ἑκάτερει ὅ τε νόμος καὶ οἱ προφῆται λαλοῦσι φανερῶς Χριστοῦ τὸ μυστήριον, καὶ εὐλογοῦσιν αὐτὸν ὡς Θεὸν προαιώνιον, τῷ εὐαγγελικῷ συναθλοῦντες καὶ συμβροντῶντες κηρύγματι· διὰ ταῦτα τῶν τότε παρόντων ὁ σύλλογος καὶ τῶν γειτόνων πασυμένων τὴν οἴκησιν, φόβῳ μεγάλῳ συνείχοντο· καὶ περιμερίμνως περὶ αὐτὸν διελέγοντο· καὶ τί ἄρα καὶ τίς Ἰωάννης ἔσται συνεχῶς διεσκέπτοντο· ὅτι γεννώμενος τοιαῦτα θαυμαστὰ συμβέβηκε πράγματα εἴαπερ ἐπ' ἄλλου τινὸς μὴ συνήκαμεν.

18. Ἀλλ' ἐγὼ φήσω πρὸς τὴν ἐκείνων διάσκεψιν, ἐπεὶ μηδ' ἄλλος τίς κατ' αὐτὸν μέχρις αὐτοῦ γυναικὸς ἀποτέτεκται, ἵνα καὶ τοιαῦτα συμβαίνῃ θαυμαστὰ καὶ παράδοξα· ἐπειδὴ γὰρ μείζων εἶναι τῶν ἐν γεννητοῖς γυναικῶν μεμαρτύρηται, ταύτῃ τοι καὶ δόξης ἠξίωται τηλικαύτης γενέσθαι, ἵνα καὶ διὰ τοῦτο δεξάσοι Χριστὸν τὸν μετ' αὐτὸν δι' ἡμᾶς τεχθησόμενον· οὐ μόνον δὲ ταύτῃ τῇ διὰ τεράτων Χριστὸς τὸν ἑαυτοῦ ἡμφίασε πρόδρομον, ἀλλὰ καὶ

Digitized by Google

ἀοράτως αὐτῷ συνὼν ὡς Θεὸς παρὰ πᾶσιν ἐποίει μέγα καὶ ἐπίδοξον φαίνεσθαι· ἔχει γὰρ αὐτὸ περὶ τούτων τῆς εὐαγγελικῆς φωνῆς ἡ ὑφήγησις· « καὶ ἐγένετο ἐπὶ πάντας φό-» βος τοὺς περικοῦντας αὐτοὺς καὶ ἐν ὅλῃ τῇ ὀρινῇ τῆς » Ἰουδαίας ἐλαλεῖτο πάντα τὰ ῥήματα ταῦτα· καὶ ἔθεν-» το πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν λέγοντες· » τίς ἄρα τὸ παιδίον τοῦτο ἔσται ; καὶ χεὶρ κυρίου ἦν μετ' » αὐτοῦ· » εἴργετο γὰρ οὐδαμῶς ἡ τοῦ κυρίου χεὶρ, ὁ μονογενὴς τοῦ Θεοῦ λόγος τοῦ εἶναι μετ' αὐτοῦ τῇ Θεότητι καὶ μεγαλύνειν αὐτὸν ὥσπερ πρῶτον αὐτοῦ καὶ μέγιστον κήρυκα· αὐτὸς γὰρ ἡ τοῦ Θεοῦ δεξιὰ καὶ χεὶρ καὶ βραχίων ὠνόμασται, ὡς πάντα ὁρῶντος δι' αὐτοῦ τὰ γενόμενα, κἂν ἐν μήτρᾳ παρθενικῇ σεσαρκωμένος συνείληπτο, καὶ ὡς ἐν θαλάμῳ βασιλικῶς κατευνάζετο· ὅθεν ὁ Ἰωάννης γεννώμενος πάντας ὑπερέχων τοὺς ἐκ γυναικῶν γεννωμένους ἐδείκνυτο, καὶ φόβον ἐγέννα καὶ ἔτικτε μέγιστον, οὐ μόνον τοῖς συνοικοῦσιν αὐτῷ καὶ ὁμόφροσι καὶ παθοῦσι Χριστοῦ τὴν θεϊκὴν εἰς ἡμᾶς ἐπιφάνειαν· ἀλλὰ καὶ τοῖς περικικῦσι καὶ ἔξω τῆς χάριτος μένουσι διὰ τὴν ἐν τῷ τοῦ νόμου γραπτῷ δυσαπόσπαστον οἴκησιν· περιοικεῖν γάρ πως ἡμᾶς οὗτοι νομίζουσι μερικῶς τὸν νόμον δεχόμενοι, καὶ μονοστυχοῦντες τῷ γράμματι· δι' οὗ καὶ ὑφ' ἡμῶν γεγόνασιν ἔξοικοι καὶ τῆς αὐτῶν νοσουμένης ἀποικίσθησαν χάριτος· ἐκεῖνοι μὲν οὕτως οἱ δείλαιοι δι' οἰκείαν κακόνοιαν τῆς ἐν νόμῳ κεκρυμμένης ζωῆς ἐξεβλήθησαν· ὁ δὲ ταύτης κήρυξ καὶ πρόδρομος μετὰ τοιαύτης τεχθεὶς γαλουχεῖται δυνάμεως· καὶ μετὰ μαζὸν εἰς τὴν ἔρημον ἔξεισιν, παντὶ τὰς ἐν ἀνθρώποις διατριβὰς ἀρνούμενος, ὡς οὐκ ἀξίας τῆς ὑπὲρ ἀνθρώπους αὐτοῦ διαγωγῆς καὶ βιώσεως· πῶς γὰρ ὁ μηδὲν ἔχων

Digitized by Google

χαμερπὲς καὶ ἀνθρώπινον, μὴ οἶκον, μὴ τροφὴν, μὴ σκέπην, μὴ φιλίαν, μὴ συναλλαγὴν, μὴ πρὸς γένος συνάφειαν, μὴ πρὸς γυναῖκα ὁμόνοιαν, μὴ ἄλλο τί τῶν ἐν κώμαις δρωμένων καὶ πόλεσιν, ἀνθρώποις συνώκησεν ἐν πόλεσιν, ἢ κώμαις συνώκησεν; ἔξεισιν δὲ οὐ Μωϋσέα ζηλώσας τὸν ἄριστον, εἰ καὶ πλείω Μωϋσέως τὰ θεῖα παιδεύεται, καὶ νομοθετῶν ἐπανέρχεται, καὶ λαὸν λυτροῦται πλανώμενον, καὶ ποδηγεῖ καλῶς πρὸς εὐσέβειαν ὑπ' αἰγυπτίων νοητῶν κακῶς ἐκθλιβόμενον· οὐδ' Ἠλίαν τὸν παλαιὸν ἐκμιμούμενος τὸν μεγάλα κατὰ γῆν ἐργασάμενον τέρατα, κἂν νέος Ἠλιοῦ προσηγόρευται, καὶ ἐν Ἠλιοῦ δυνάμει καὶ πνεύματι πρόεισι, καὶ Ἡρῴδην τὸν νέον Ἀχαὰβ σωφρονίσων ἐπάνεισιν, καὶ ὑπὸ τῆς Ἡρωδιάδος τῆς ἄλλης Ἰεζάβελ διώκεται, καὶ διωκόμενος κτείνεται, οὐδέτερον τινὰ τῶν κατὰ τούτους τοῦ ἰδίου βίου σκοπὸν προτιθέμενος, εἰ μὴν πρὸς ἥττους τὴν ἀρετὴν τοῖς ἐνθέοις καὶ σώφροσιν, ἀλλὰ πρὸς τοὺς κρείσσους εἴωθεν ἡ ἄμιλλα γίγνεσθαι· εἰ δὲ ἃ παρ' ἀνθρώποις Ἰωάννου τὸν κρείττονα βλέπειν ἡ φύσις οὐκ ἤνεγκεν ἄνθρωπον, ἄῤῥενα δὲ φημὶ διὰ τὴν ὑπὲρ πάντας ἀνθρώπους θηλείας καὶ ἄῤῥενας παναγίαν παρθένον, καὶ σεπτὴν θεομήτορα, οὔτε Χριστὸς ἐννοεῖν συνεχώρησεν, φανερῶς ὡς οὐκ ἀνθρώπων τινὰς μιμησόμενος, ἀλλ' οὐρανίους ἀγγέλους εἰς τὴν ἔρημον ἔξεισιν, ἐπειδὴ καὶ τῆς αὐτῶν προσηγορίας ἠξίωτο.

19. Ἔσχε δὲ δικαίως πρὸς αὐτοὺς τὴν τοιαύτην ἔριν ἀγαθὴν καὶ φιλόθεον ὁ μόνος φανεὶς ἐπὶ γῆς ἐνσώματος ἄγγελος, ὡς καὶ τῆς αἰθρίας αὐτὸν ἀξίας συμμέτοχον, καὶ τὴν ἴσην μέλλων Χριστῷ λειτουργείαν πρεσάγειν Ἰορδάνου βαπτιζομένῳ τοῖς ῥεύμασιν, καὶ τὴν ἄλλην ἅπασαν

Digitized by Google

ὑπηρεσίαν ἣν δὲ ὅλης αὐτοῦ τῆς ἐπιγείου ζωῆς ἀγγελικῶς ἐκτελῶν εἰσαγάγωχεν· μετὰ τοιαύτης γοῦν Ἰωάννης τῆς ἐφέσεως, τὴν πατρῴαν ἑστίαν ἀφεὶς, ὡς χῶρον ὑψηλὸν τινὰ καὶ οὐράνιον τὴν ἔρημον ᾤκησε, πᾶσι διδοὺς ἐνορᾶν τῷ αἰνίγματι ὡς τὴν κατὰ σάρκα γεννήσασαν καὶ πατρῴαν συναγωγὴν ἡ τοῦ Θεοῦ χάρις Χριστὸς καταλείψειε, καὶ τὴν τῶν ἐθνῶν ἔρημον ἐκκλησίαν ᾤκησειε· καὶ τοῦτο οὐκ ἐπὶ χρόνον τινὰ, ἀλλ' εἰς ἀεὶ διαπράξοιτο, καὶ ἕως ἀναφανεῖν πάλιν τὸ δεύτερον ἀπ' οὐρανοῦ μετὰ δόξης πολλῆς καὶ δυνάμεως πρὸς τὸν ἀληθινὸν Ἰσραὴλ ἀναδειχνύμενον. « Τὸ » δὲ παιδίον ηὔξανεν, καὶ ἐκραταιοῦτο πνεύματι, καὶ ἦν » ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν » Ἰσραήλ· » ἴσασι γὰρ οἱ ἀγχινοίᾳ πατρικῇ στεφόμενοι, ὡς τοῖς ἰουδαίων ὄχλοις εἰπὼν ὁ Χριστὸς, ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος, οἶκον ἑαυτοῦ τὴν ἔρημον τῶν ἐθνῶν ἐκκλησίαν πεποίηται, καὶ σῶμα ἴδιον τοὺς κεκλημένους ἡγούμενος, καὶ ἐν ἴσῳ κεφαλῆς αὐτοῖς ἐπικείμενος· σῶμα γὰρ ἐσμὲν Χριστοῦ καὶ μέλη ἐκ μέρους, καὶ κεφαλὴν αὐτὸν ἔχομεν, ὡς τὸ τῆς ἐκλογῆς ἐκδιδάσκον σκεῦος φησὶν· αὔξει τὴν ἡμῶν τῶν μελῶν καὶ τοῦ σώματος εἰκειούμενος αὔξησιν, καὶ κραταιοῦται πνεύματι ὁ τὴν πνευματικὴν ἡμῶν κρατύνων κραταίωσιν, ταύτην ἰδίαν διὰ τοὺς ἰδίους ἡμᾶς λογιζόμενος· εὖ δὲ καὶ τὸ ἐν ἐρήμοις αὐτὸν εἶναι φάσκειν τὰ λόγια· δείκνυσι γὰρ τοῦτο ἐμφαντικώτερον λέγοντα, ὡς οὐκ ἐν ἔθνει μόνον ἑνὶ καθὰ καὶ πρώην ἐν μόνῳ τῷ Ἰσραὴλ Χριστός ἐστι καὶ γίνεται, ἀλλ' ἐν πᾶσι τοῖς ἔθνεσι καὶ ταῖς ἐκ τούτων λαχούσαις ἐκκλησίαις τὴν σύστασιν· οὕτως γὰρ συλλαχοῦ τῆς γραφῆς ὠληθυντικῶς ὀνομάζονται· νῦν μὲν ὄρη τὰ ὑψηλὰ, νῦν δὲ βουνοὶ, ἄρτι

Digitized by Google

δὲ πηγαί, καὶ ἄλλοτε νῆσοι τῶν ἐθνῶν, καὶ ἀλλαχοῦ πλεῖα Καρχηδόνος τροπικῶς σημαινόμενα· σὺ μὲν οὖν ὦ μακάριε βαπτιστὰ, καλέσω γάρ σε Χριστοῦ βαπτιστὴν, καὶ εἰ μήπω σε τοῦτο ποιεῖν ὁ λόγος ὑπέδειξεν, οὕτω τὲ καὶ διὰ ταῦτα τὰς ἐρήμους κατέλαβες, ὡς ἐγώ σε νοῆσαι καὶ φράσαι δεδύνημαι, μυστικώτερον πῶς αὐταῖς εὐαγγελιζόμενος τὴν καταλειψομένην θᾶττον αὐτὰς τῆς θείας χάριτος σωτήριον ἄφιξιν.

20. Ἐγὼ δέ σοι πρόθεσιν ἔχων τῷ λόγῳ συνέπεσθαι εἴργομαι καὶ καρτερῶς κωλύομαι· τοῦτο μὲν δι' ἀνθρωπίνην ἀσθένειαν, σοι γὰρ λέγειν τἀληθὲς οὐκ αἰσχύνομαι, ταύτην εἰδότα καὶ πρὸ τῆς ἡμῶν ἀγορεύσεως· τοῦτο δὲ, ὅτι περ ὁ τῆς ἱερᾶς λειτουργίας καιρὸς ὡς ὁρᾷς παραγέγονεν, καὶ πάντας ἡμᾶς ὡς ἑαυτὸν κατέχειν βιάζεται καὶ σὺν σοὶ πρὸς τὴν φίλην χωρεῖν οὐκ ἀφίησιν ἔρημον· ὃν κᾆν πρὸς βραχὺ σύτε σοι ποθητὸν, οὔτ' ἐμοὶ δυνατὸν, οὔτε τῇ σῇ πανηγύρει πρέπον καθέστηκε· διό σοι συγγνώμης προσάγων τὴν αἴτησιν παρακαλῶ συμπαραμεῖναι τῷ πνεύματι, κᾆν εἰ τῷ σώματι χωρεῖς πρὸς τὴν ἔρημον, καὶ τὴν σὴν ἀρωγὴν ἀπαύστως παρέχεσθαι τοῖς ταύτης ἡμῖν ἀδιαλείπτως ἐγχειρίζουσιν· εἴργει γάρ σε τόπος οὐδεὶς βοηθεῖν ἐπινεύσαντα, ἐν οὐρανῷ παρόντα τῷ πνεύματι, καὶ πάντας ἡμᾶς εὐχερῶς κατοπτεύοντα· καὶ ταύτην μέν σου τὴν σεβασμίαν πανήγυριν δίδου μετὰ τῆς ἀξίας ἡμᾶς πανηγυρίσαι τερπνότητος, καὶ ὡς σοί τε φίλῳ τῷ προδρόμῳ τῆς χάριτος καὶ τῇ θεῷ σοι κεχαρισμένῃ πολιτείᾳ κατάλληλον· τῆς παρούσης δὲ ζωῆς τὸ ἐπίλοιπον μόριον οὕτως ἅγοις καὶ περιέποις, ὡς ὁ νόμος κελεύει τοῦ πνεύματος, οὗ τύπος αὐτὸς ἡμῖν ἐν Χριστῷ πρεκεκάθηκας, ἵνα τούτου πλήρω-

Digitized by Google

ρωταὶ ταῖς σαῖς ἐπιπνοίαις γιγνόμενοι, καὶ τῆς ἐνθάδε ζωῆς καλοίη Χριστὸς ὁ ταύτης χορηγὸς χωριζομένοις ἐν μιᾷ τῶν ὑπὸ σὲ τελουσῶν πόλεων, ὧν διδόναι σοί τε καὶ τοῖς μετά σε θείοις ἀνδράσιν, οὐ γὰρ τολμήσω κατὰ σὲ φᾶναι Χριστὸς ἐπηγγείλατο, ὡς ταῖς ἱεραῖς σου κἀνθάδε νομοθεσίαις βραχέως πῶς πειθαρχήσαντι· ὅπως καὶ ἡμεῖς ἐν ταύταις γινόμενοι, καὶ σοὶ μὲν ὡς ὑπασπιστῇ καὶ προστάτῃ καὶ φύλακι νομοθετεῖ τε καὶ παιδευτῇ τοῦ λαμπροῦ πολιτεύματος, τοῖς δὲ σοῖς ἤγουν τοῖς ὑπὸ σὲ ὡς συνδούλοις ἐνθάδε τελέσασιν καὶ γνησίοις μαθηταῖς συναπτόμενοι, κοινωνοὶ καὶ τῆς ἀποκειμένης σοι ζωῆς αἰωνίου γενοίμεθα, καὶ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ τῷ θεῷ καὶ πατρὶ σὺν ἁγίῳ πνεύματι δόξα τιμὴ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Digitized by Google

ΣΩΦΡΟΝΙΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΛΟΓΟΣ ΠΕΡΙΕΧΩΝ ΤΗΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΝ ΑΠΑΣΑΝ ΙΣΤΟΡΙΑΝ ΚΑΙ ΛΕΠΤΟΜΕΡΗ ΑΦΗΓΗΣΙΝ ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΤΗ ΘΕΙΑ ΙΕΡΟΥΡΓΙΑ ΤΕΛΟΥΝΤΩΝ.

1. Τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὑποσχομένου καὶ εἰπόντος, ὅταν ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, ἐκεῖνος διδάξει ὑμᾶς, καὶ ὑπομνήσει πάντα ἃ εἶπον ὑμῖν, καὶ τ' ἄλλα ἀναγγελεῖ ὅσα ἀκούειν καὶ βαστάζειν ἄρτι οὐ δύνασθε· μετὰ τὴν ἐπιφοίτησιν τοῦ παρακλήτου, ἀρχιερεῖς οἱ ἀπόστολοι ἐχρημάτισαν, τοῦ ἐν εἴδει πυρίνων γλωσσῶν ἐνοικήσαντος ἐν αὐτοῖς θείου πνεύματος, διδάσκοντος αὐτοὺς καὶ προχειρισαμένου εἰς ἓν ἕκαστον ἔθνος, οὗ τὴν διάλεκτον λαλεῖν τούτους ἐσόφισεν· ἐποίουν οὖν εὐχὰς μυστηρίων θείας ἱερουργίας καταλλήλους τῇ καρτερίᾳ τοῦ ἔθνους, καὶ τοῖς καιροῖς τῶν περιστάσεων, καὶ ταῖς ἐνέδραις τῶν διωκόντων· καὶ ἐν μὲν ταῖς εὐχαῖς καὶ ταῖς ἐκφωνήσεσιν ἴσως διέφερον ἀλλήλων· ὁ δέ γε τύπος τῆς παραδόσεως τῶν μυστηρίων παρὰ πάντων ἀπαραλλάκτως ὁ αὐτὸς ἐτελεσιουργεῖτο, καθὼς καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῦτο παρέδωκε. Μετὰ δὲ τοὺς θεηγόρους ἀποστόλους τινὲς τῶν θείων πατέρων ἰδιάζοντες, ἕκαστος εὐχὰς ἐπαιεῖτο καὶ ἐκφωνήσεις, καὶ ἀπηρτισμένην ἱερουργίας ἀκολουθίαν· ὡς ὁ ἐν ἁγίοις ἐπιφανὴς Ἐπιφάνιος, καὶ

Digitized by Google

ὁ μέγας Βασίλειος, καὶ ὁ θεῖος Χρυσόστομος· πάντες δ' ὅμως ἐκ τῶν ναμάτων τῆς ζωηρρύτου πηγῆς τοῦ παρακλήτου ἠρύσαντο διδάγματα· ἅπερ ἡ τῶν ὀρθοδόξων ἐκκλησία ὡς παρ' αὐτοῦ τοῦ Χριστοῦ λεχθέντα τε καὶ πραχθέντα ἐδέξατο· καὶ νῦν πρὸ τῶν ἄλλων ἡ ἱερουργία τοῦ μεγάλου Βασιλείου καὶ Ἰωάννου τοῦ χρυσοστόμου κρατεῖ μετὰ τῶν προηγιασμένων, ἣν τινες Ἰακώβου μὲν εἶναι φασὶν τοῦ ὀνομασθέντος ἀδελφοῦ τοῦ κυρίου, ἑταίρει δὲ Πέτρου τοῦ κορυφαίου, καὶ ἄλλοι ἄλλως.

2. Ἐκεῖ δὲ περὶ τῶν ἐν τῇ θείᾳ ἱερουργίᾳ τελουμένων πρόκειται λέγειν ἡμῖν, ἀναγκαῖον πρότερον εἰπεῖν τί τε δὲ ἐκκλησία καὶ τίνων θήλωσιν καθέστηκεν ἡ κόγχη, τὸ σύνθρονον, ὁ μύαξ, καὶ τὰ τοιαῦτα· ἐκκλησία λέγεται ὡς ἐν ταύτῃ συναγειρομένων καὶ καλουμένων τῶν ὀρθοδόξων· ὀνομάζεται δὲ περιοχὴ, ὥσπερ ἔχουσα τὰ τοῦ θεοῦ τεράστια· κόγχη δὲ κατὰ τὸ ἐν Βηθλεὲμ σπήλαιον, καὶ κατὰ τὸ σπήλαιον ἔνθα ἐτάφη· τὸ σύνθρονον ἐςὶ τύπος τοῦ δεσποτικοῦ θρόνου, ἐν ᾧ νικήσας τὸν κόσμον μετὰ σαρκὸς ἀνελήφθη, καὶ ἐν αὐτῷ ἐκάθισε· σύνθρονον δὲ λέγεται καὶ εὐθρόνος, διὰ τὸ συγκαθέζεσθαι τὸν υἱὸν μετὰ τοῦ πατρὸς· τὰ λοιπὰ σύνθρονα θηλοῦσι τὴν τιμὴν, ἣν μετὰ τὴν ἀνάστασιν ὀφείλευσιν ἀπολαβεῖν οἱ δίκαιοι· κατὰ τὸ "ἐγὼ εἶπα θεοί ἐςε" συγκαθέζονται δὲ οἱ ἱερεῖς, ὡς τῷ Χριστῷ συνσταυρωθέντες σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, τῶν διακόνων ἱσταμένων εἰς τύπων τῶν ἀγγέλων· Ἁγία τράπεζα θηλοῖ τὸ ἅγιον μνημεῖον, ἐν ᾧ ἐτάφη· ἡ δὲ ἁγία πρόθεσις ὁ τοῦ κρανίου τόπος ἐν ᾧ ἐσταυρώθη· καὶ διὰ τοῦτο θύεται ἐν αὐτῷ· ὁ κιβώριος ἐστὶν εἰς τύπον τῆς κιβωτοῦ τοῦ Νῶε· τὸ μὲν γὰρ κίβ κιβωτὸς, τὸ

Digitized by Google

δὲ ὥριον τουτέστι διάταξις αὐτοῦ· τὰ δὲ παρακύνια κατὰ μίμησιν τῶν τεσσάρων ζώων τῶν ὀφθέντων τῷ προφήτῃ.

3. Θυσιαστήριον λέγεται κατὰ τὸ ἐπουράνιον καὶ νοερὸν θυσιαστήριον ἐν ᾧ ἀντιτυποῦσι τὰς νοερὰς καὶ ἀΰλους ἱεραρχίας οἱ ἔνυλοι ἱερεῖς· τούτους δὲ εἶναι ὡς πῦρ φλέγον· ἢ κατὰ τὸ ἅγιον μνῆμα Χριστοῦ, ἐν ᾧ θυσίαν ἑαυτὸν προσήγαγεν τῷ Θεῷ καὶ πατρὶ ὁ Χριστός. Μύαξ ὁ ἐπάνω τοῦ βήματος, τύπος τοῦ πρώτου οὐρανοῦ· τὸ δὲ λοιπὸν στέγος τῆς ἐκκλησίας εἰς τύπον τοῦ φαινομένου οὐρανοῦ, τὰς κανθήλας ὑφαπτούσας κάτωθεν ἔχον ἀντὶ τῶν ἀστέρων· τὸ δὲ βῆμα ἐστὶ κατὰ μίμησιν τοῦ ἐπουρανίου θυσιαστηρίου· καὶ ὥσπερ λειτουργοῦσιν ἄγγελοι τῷ Θεῷ, οὕτως ἐν τῷ ἁγίῳ βήματι ἵστανται καὶ οἱ ἔνυλοι ἱερεῖς παρεζῶτες καὶ λατρεύοντες τῷ κυρίῳ διαπαντός· καὶ διὰ τοῦτο ἁρμόζει τὸν ἱερέα, ὡς πῦρ φλέγον εἶναι, καθάπερ τε καὶ ἄμεμπτον ἀπὸ παντὸς ῥύπου καὶ μώμου· οἱ ἱερεῖς ὁμοιοῦνται ἀρχαγγέλοις· ἢ γὰρ ὥσπερ Σεραφὶμ ἔλαβε τὸν ἄνθρακα καὶ δέδωκε τῷ Ἡσαΐᾳ, οὕτως καὶ οἱ ἱερεῖς λαμβάνουσι τὸν ἄρτον ἤ τοι τὸ δεσποτικὸν σῶμα καὶ διδόασι τῷ λαῷ. Μηδεὶς οὖν δοκείτω ἀντίτυπα εἶναι τὰ ἅγια τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ, ἀλλὰ τὸν ἄρτον καὶ τὸν οἶνον πιστευέτω προσφερόμενον μεταβάλλεσθαι εἰς σῶμα καὶ αἷμα Χριστοῦ. Ἄλλως. Τὸ βῆμα ἐστὶ τόπος ὑπόβαθρος· ὑποδεικνύει δὲ τὴν δευτέραν παρουσίαν, διὰ τὸ καθέντα ἐν αὐτῇ μέλλειν κρῖναι ζῶντας καὶ νεκρούς.

Animadverte praeclarum de ss. eucharistia testimonium.

4. Κοσμήτης ἐστὶ κατὰ τὸ νομικὸν καὶ ἅγιον κόσμιον, ἐμφαῖνον τοῦ σταυρωθέντος Χριστοῦ τὸ ἐκσφράγισμα διὰ σταυροῦ κοσμούμενον, ἢ εἰς τύπον ὁ κοσμήτης τοῦ καταπετάσματος·

Digitized by Google

τὰ κάγκελλα ἀντίτυπα τῶν τοῦ τάφου καγκέλλων· χαλκὰ δὲ διὰ τὸ μὴ εἰσέρχεσθαι τινὰ ἁπλῶς· δηλοῦσι δὲ καὶ τόπον προσευχῆς, ἐν ᾧ σημαίνει τὴν μὲν ἔξωθεν τοῦ λαοῦ εἴσοδον, τὴν δὲ ἔσωθεν τὰ ἅγια τῶν ἁγίων ὑπάρχουσαν, καὶ μόνοις τοῖς ἱερεῦσι βατήν. Ἡ σωλεία εἰς τύπον τοῦ ποταμοῦ τοῦ πυρὸς τοῦ χωρίζοντος τοὺς ἁμαρτωλοὺς ἐκ τῶν δικαίων, κατὰ τὸν Παῦλον λέγοντα „ ἑκάστου τὸ ἔργον τὸ πῦρ δοκιμάσει. Ὁ ἄμβων ἐκφαίνει τὸ σχῆμα τοῦ λίθου, ὃν κυλίσας ὁ ἄγγελος ἐκάθητο ἐπάνω αὐτοῦ, πλησίον τῆς θύρας τοῦ μνήματος, ἀναβαῖνων ταῖς μυροφόροις τὴν ἀνάστασιν· αἱ βαθμίδες τοῦ ἄμβωνος δηλοῦσι τὴν τοῦ Ἰακὼβ κλίμακα. Ἡ γυναικωνῖτις γέγονεν ἵνα διαίρωνται αἱ γυναῖκες ἀπὸ τῶν ἀνδρῶν· καθὼς αἱ μυροφόροι οὐκ εἰσῆλθον εἰς τὸν τάφον μετὰ Ἰωσὴφ καὶ Νικοδήμου, ἀλλ' ἱστάμεναι ἔξω ἐθρήνουν. Νάρθηξ ἐστὶ διὰ τὸ ἑστάναι τὸν λαὸν ἔξω ἐν τῇ τοῦ θυμιάματος ὥρᾳ. Τὰ κατηχούμενα εἰς τύπον τῶν μὴ κατερχομένων ἀγγέλων ἐπὶ τῆς γῆς, ἀλλ' ἐκ τῶν οὐρανῶν σκοπούντων τὰς ἐν γῇ ἱεροτελεσίας· ἢ διὰ τὸ λέγειν τὴν γραφὴν " ἄρατε πύλας.

5. Τὸ σημαντήριον αἰνίττεται τὰς τῶν ἀγγέλων σάλπιγγας, ἐν αἷς οἱ ἄγγελοι μέλλουσιν σαλπίσειν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ καὶ ἐξυπνῆσαι πάντα τὰ ἔθνη. Ἡ ἐνδοτὴ ὁ κόλπος τῆς Θεοτόκου. Τὸ εἰλητὸν ἡ συνδόνη μεθ' ἧς ἐνεταφιάσθη. Ὁ δίσκος νεφέλης τύπον ἐπέχει ἐν μικρᾷ περιγραφῇ. Τὸ ποτήριον, περὶ οὗ εἶπε " πίετε πάντες.„ Ἡ λαβὶς κατὰ τὸν προφήτην Ἡσαΐαν λέγοντα " ἀπεστάλη πρός με ἓν τῶν Σεραφὶμ·„ σημαίνει δὲ καὶ τὴν παρθένον, βαστάζουσα καὶ αὐτὸν τὸν οὐράνιον ἄρτον. Ἀστερίσκος καθὼς τὰ τέσσαρα ζῶα ἐπικαλύπτει τὸν οὐράνιον ἄνθρακα· ἔστιν δὲ καὶ διὰ

Digitized by Google

τὸ μὴ κολλᾶσθαι τοὺς μαργαρίτας ἐν τῷ δισκαλύμματι. Ἡθμὸς διὰ τὸ μή τι κοινὸν ἐμπεσεῖν εἰς τὸν θεῖον κρατῆρα. Αἱ κανδῆλαι καὶ οἱ κηροὶ τύπος εἰσὶ τοῦ αἰωνίου φωτὸς· δεικνύουσι δὲ καὶ τὸ φῶς ὅπερ ἐκλάμψουσιν οἱ δίκαιοι. Κυριακὴ λέγεται διὰ τὸ τὸν Χριστὸν ἐν αὐτῇ ἐγερθῆναι· σημαίνει δὲ ἄκος παρὰ κυρίου, ἐν αὐτῇ γὰρ ἐθεράπευσεν τὸ ἀδαμιαῖον πάθος· οὐ κλίνομεν δὲ γόνυ ἐν αὐτῇ, διότι τὰ πίσεως ἀνωρθώθη διὰ τῆς ἀναστάσεως τοῦ Χριστοῦ· οὐ κλίνομεν γόνυ μέχρι τῆς κυριακῆς τῆς πεντηκοστῆς, διά τε τὰς ἑπτὰ ἡμέρας μετὰ τὸ ἅγιον πάσχα ἑπταπλωμένως κρατεῖν· ἤγουν ἑπτὰ ἐπὶ ἑπτὰ μθ' καὶ ἡ κυριακὴ ν', ἥτις τύπος τοῦ μέλλοντος αἰῶνος· εὐχόμεθα δὲ κατὰ ἀνατολὴν καὶ δι' ἄλλα μέν, μάλιστα διότι ἐλπίζομεν τὴν ἐν Ἐδὲμ ἀπολαμβάνειν τροφὴν τὴν κατὰ ἀνατολὴν πεφυτευμένην.

6. Ἀρχιερεὺς τύπος ἐστὶ τοῦ δεσπότου· ὥσπερ γὰρ ὁ δεσπότης ἀποστέλλει τοὺς ἀγγέλους, οὕτως καὶ ὁ ἐπίσκοπος τοὺς ἱερεῖς. Λευκὴν στολὴν περιβέβληται ὁ ἐπίσκοπος διὰ τὴν μορφὴν τῶν ἄνω δυνάμεων, τουτέστι τοῦ δεσπότου· καθὼς καὶ Ἰωάννης περὶ αὐτοῦ λέγει "τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών." Τριπλοῦν τὸ ὠμοφόριον περιβέβληται, διότι τὴν τριάδα ὑφίεται. Ἡ ἐν τῇ κεφαλῇ τοῦ ἱερέως στρογγύλη κουρά, δηλοῖ τὸν ἀκάνθινον στέφανον, καὶ ὅτι ὁ διπλοῦς στέφανος ἐκ της τῶν τριχῶν σημειώσεως, εἰκονίζει τὴν τοῦ κορυφαίου ἀποστόλου τιμίαν κάραν, ἣν ἀπεκάρησαν ὑπὸ τῶν ἀπειθούντων ἐνεπαίζετο· ταύτην ηὐλόγησεν ὁ Χριστός. Κορυφὴ δὲ τοῦ δωδεκαλίθου, ὡς ἐστὶν ὁ ἀπόστολος Πέτρος, πυροειδὴς ἰσὸς τοῦ ἱερέως κατὰ τὸν προφήτην "ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύμα-

Digitized by Google

τα. „ καὶ πάλιν· “ τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδὼμ ; ὃ λέγεται κόκκινον· καὶ πάλιν ὅτι χλαμύδα κοκκίνην ἐφόρεσεν ὁ Χριστὸς ἐν τῷ πάθει· οἱ πρεσβύτεροι κατὰ μίμησιν Σεραφὶμ εἰσὶ, ταῖς μὲν σολαῖς δύαν πτερῶν κατακεκαλυμμένοι, ταῖς δυσὶ πτέριξι τῶν χειλέων τὸν ὕμνον βοῶντες, καὶ κατέχοντες τὸν νοητὸν ἄνθρακα Χριστὸν, ἐν τῷ θυσιαστηρίῳ τῇ λαβίδι τῆς χειρὸς φέροντες.

7. Οἱ δὲ διάκονοι εἰς τύπον τῶν ἀγγελικῶν δυνάμεων ταῖς λεπταῖς τῶν λινῶν ὡραρίων πτέρυξιν ὡς λειτουργικὰ πνεύματα εἰς διακονίαν περιτρέχουσι. Στιχάριον λέγεται διότι ἔσκεν ἡ χάρις τοῦ Θεοῦ ἐν αὐτῷ· τύπος δέ ἐστι τῆς σαρκὸς τοῦ Χριστοῦ ὡς λευκὸν, καθὼς καὶ ἡ ἀνθρωπίνη σὰρξ· ἔχει δὲ καὶ μασχάλας διὰ τὴν ἐκ λόγχης κεντηθεῖσαν πλευράν. Τὰ εἰς τὰ μανίκια λωρία δεικνύουσι τὰ δεσμὰ τῶν χειρῶν αὐτοῦ, δι' ὧν ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν καὶ Καϊάφαν, οὐ γὰρ ὄπισθεν, ἀλλ' ἔμπροσθεν ἔδησαν αὐτόν. Ἀνακολαφὴ τοῦ στιχαρίου ἀντὶ τῆς αἰσθῆτος ζώνης. Τὸ ζώννυσθαι τὸν ἱερέα διὰ τὸ εἶναι αὐτὸν ἐν πνευματικῇ διαγωγῇ διεζωσμένον, καὶ τὸ λογικὸν αὐτοῦ περισφίγγεσθαι. Τὸ φελώνιον ἐστὶν ὁ χιτὼν ὁ ἄῤῥαφος ὁ ἐκ τοῦ ἁγίου πνεύματος ἐκφανθεὶς, ἔστι δὲ ἡ κοκκίνη χλαμύς. Τὸ ἐγχείριον τὸ λέντιον ἐστὶ· εἴ ἐστι στιχαροφελώνιον πυροειδὲς, διὰ τὸ λέγειν τὴν γραφὴν “ διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια ; „ εἰ δὲ λευκά εἰσι, δεικνύουσι τὴν μεταμόρφωσιν, καὶ ὅτι ὁ ἄγγελος ἐφάνη ταῖς γυναιξὶ λευκὸς, δεικνύων διὰ τῆς λευκότητος τὴν ἔλλαμψιν τῆς ἀναστάσεως· ὁ δὲ κάλαμος ἐστὶ παντὸς τοῦ λαοῦ. Τὸ ὠμοφόριον ἐστὶ κατὰ τὴν στολὴν Ἀαρὼν, ὅπερ ἐφόρουν οἱ ἐν νόμῳ ἀρχιερεῖς, σουδάρια μικρὰ ἐν τῷ εὐωνύμῳ μέρει περιτιθέντες.

Digitized by Google

8. Ἡ κομὰ δηλοῖ, ὡς καὶ τοῦ ἱερέως, διότι στέφανον ἐξ ἀκανθῶν ἔθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Τὸ ἐπιτραχήλιον τῆς κεφαλῆς αὐτοῦ, ἑδράωμα τοῦ χερουβικοῦ θρόνου· ἐπαναπαύσεται γὰρ εἰς τὴν κεφαλὴν αὐτοῦ τὰ Χερουβίμ· δηλοῖ δὲ καὶ ἀγγέλων θεωρίαν. Τὸ δὲ στιχάριον λευσχήμων ὡς ἀγγέλου. Τὸ δὲ ὡράριον εἰς τύπον τῶν πτερῶν ἀγγέλων, διότι καταχέεται ἕως τῶν ποδῶν, καὶ ἐπίκειται τῷ ἀριστερῷ ὤμῳ, μηνύον τὰς δύο διαθήκας, τὴν μὲν νέαν ἔμπροσθεν, τὴν δὲ παλαιὰν ὄπισθεν· διὰ τοῦτο ἐν τῇ κοινωνίᾳ, ἐὰν μὴ μίξει τὴν παλαιὰν καὶ τὴν νέαν, οὐ κοινωνεῖ. Τὰ ἐγχειρίδια ἅπερ βαστάζουσιν οἱ διάκονοι εἰσὶ τὰ σουδάρια τοῦ χρωτὸς τῶν ἀποστόλων. Ἐπειδὴ γοῦν ταῦτα οὕτω προδιακέκριται, εἴπομεν καὶ περὶ τοῦ σώματος τοῦ θυσιένου παρὰ τῶν ἱερέων. Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καθ' ἑκάστην καταθυόμενος περὶ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας, ὡς ἐν κρανίου τόπῳ σταυρωθείς, οὕτως καὶ ἐν τῇ ἁγίᾳ προθέσει παρὰ τοῦ ἱερέως· μετὰ λόγχης δὲ ἵνα μὴ ἐπιλανθανόμεθα τῆς ἐν τῷ ἁγίῳ πάθει τοῦ σταυροῦ μετὰ λόγχης νυγείσης ἀχράντου πλευρᾶς, ὁπηνὶ κρουθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ, εἰς ἀφθαρσίαν καὶ ἀνάπλασιν τοῦ παντὸς, ἅπερ προσφέρει ὁ ἱερεὺς θυσίαν ὑπὲρ τοῦ λαοῦ.

9. Τὸ γοῦν προσαγόμενον πολλοῖς ὀνόμασιν ὀνομάζεται· καλεῖται γὰρ εὐλογία, προσφορὰ, ἀπαρχὴ, ἄρτος· εὐλογία μὲν ὡς τῆς ἁρᾶς τῶν πρωτοπλάστων ἀναίρεσις· προσφορὰ δὲ ὡς ἐξ ὅλου τοῦ ἀνθρωπείου φυράματος, εἰς τῆς φιλοτιμίας τῷ θεῷ καὶ κτίσῃ εἰς τὰ τῶν ἁγίων ἅγια προσηνέχθημεν· ἀπαρχὴ δὲ ὡς πάντων τῷ θεῷ προσενηνεγμένων τυγχάνουσα ἱερωτέρα καὶ ἀνωτέρα. Ἄρτος δὲ λέγεται ὡς τὸν οὐράνιον ἄρτον παραδηλοῦν, τροφὴν ἡμῶν μεταλαμβα-

Digitized by Google

νέντων γινόμενον· τὸ δὲ σφραγίζεσθαι τὴν προσφορὰν ὁ μέγας Βασίλειος παρέδωκεν· προσκομίζεται ἡ προσφορὰ διὰ τὸ κοινωνεῖν τὸν λαὸν ἕκαστον μερίδα· εἰ δὲ πληθύνει ὁ ὄχλος, χρὴ μελίζειν τὰς μερίδας, προκομίζοντες τὸν ἄρτον καὶ ἀποτιθέντες αὐτὸν ἐν τῷ δίσκῳ, ὡς ἐν κεφαλῇ· λέγομεν οὕτως "ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη." "Ἡ πρόθεσις ἰσοδύναμος πέφυκε τοῖς τῶν ἁγίων ἁγίοις, μᾶλλον δὲ καὶ πολὺ ταύτης μείζων· ἢ καὶ τοῦ σπηλαίου τῆς Βηθλεέμ· ἢ τὸ ἐστρωμμένον ἀνώγεον, ἐν ᾧ συνδειπνήσας ὁ κύριος τοῖς μαθηταῖς ἔφη "τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν·" λέγει δὲ εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Ἀλλὰ τίς ἡ τάξις Μελχισεδέκ, καὶ τί παρ' αὐτοῦ προσφερόμενα; ἄρτος καὶ οἶνος εἷς τὸν Ἀβραὰμ ἐδεξιοῦτο· εἰ σὺν ἐξ ἑτέρας φυλῆς ὁ Μελχισεδέκ, τύπος δὲ τοῦ Χριστοῦ καὶ λογίζεται καὶ πιστεύεται, ἐκβέβληται ἄρα ἡ λευιτικὴ ἱεροσύνη· ταύτης δὲ ἐκβαλλομένης, ἀνάγκη πᾶσα ἐστὶν καὶ τοῦ παλαιοῦ νόμου καὶ λατρείας γενέσθαι μετάθεσιν.

10. Περὶ δὲ τῆς ἡμετέρας λατρείας φησίν· "ἰδοὺ θυμίαμά μοι προσφέρεται ἐν πάσῃ τῇ γῇ· ὥσπερ γὰρ ὁ ὑπερούσιος Θεὸς σάρκα ἐκ τῆς παρθένου προσλαβόμενος ἐν μίᾳ ὑποστάσει τέλειος ἦν Θεὸς καὶ τέλειος ἄνθρωπος, ὁμοιος ἡμῶν κατὰ πάντα χωρὶς ἁμαρτίας, οὕτω καὶ τὸ κατὸν σῶμα ὡς ἔκ τινος κοιλίας καὶ αἱμάτων, καὶ σαρκὸς τοῦ παρθενικοῦ σώματος, τοῦ ὅλου ἄρτου φημί, παρὰ τοῦ διακόνου ἢ καὶ τοῦ ἱερέως διατέμνεται σιδήρῳ τινὶ, ἓν λόγχην λέγουσιν, ὅπερ ἀνωτέρω εἴρηται· καὶ οὕτως ἰδιυποστατικῶς ἐκ μέσου ταύτης ἀφιεροῦνται· τοίνυν ἄρτος τῆς προθέσεως, εἶτ' οὖν ὁ ἀποκαθαιράμενος ἐμφαίνει, ὅτι ἀνέλαβε τὸ φύραμα ὅλης

Digitized by Google

τῆς ἀνθρωπίνης φύσεως καὶ προσηνέχθη ὡς ἀπαρχὴ, καὶ ἐξαίρετον ὁλοκάρπωμα τῷ Θεῷ καὶ πατρὶ· ὁ μὲν τοι διάκονος ἢ ὁ ἱερεὺς ἑτοιμάσας σὺν αὐτῷ καὶ τὸ μέλλον ἀποτελεῖσθαι δεσποτικὸν αἷμα ἐν τῷ προσήκοντι πάθους καιρῷ διὰ τῆς τοῦ ζωοποιοῦ πνεύματος ἐπιφοιτήσεως, ἀφίησι ταύτην ἐν τῇ προθέσει, τὴν εὐχὴν ἐπιλέγοντος τοῦ ἱερέως· οὗτος δὲ ὁ τὸ σῶμα διατέμνων ἀπὸ τῆς εὐλογίας, τὸν ἄγγελον μιμεῖται τῇ παρθένῳ τὸ χαῖρε προσφθεγξάμενον· οὕτω τοιγαροῦν ἀφίεται τὸ θεῖον σῶμα ἐν τῇ προθέσει ὥσπερ ἐν Βηθλεὲμ, ἔνθα γεγέννηται ὁ Χριστὸς· ὁμοῦ δὲ καὶ ὡς ἐν τῇ Ναζαρὲτ, ἢ ὡς ἐν τῇ Καπερναοὺμ, καὶ ἁπλῶς εἰπεῖν τὸν τριακονταετῆ χρόνον τὸν πρὸ τοῦ βαπτίσματος καὶ τῆς διατριβῆς ὁ πρόθεσις ἀποπληροῖ.

11. Δίδοται ὁ καιρὸς παρὰ τοῦ ἀρχιερέως τῷ πρώτῳ τῶν ἱερέων μέλλοντι ἄρχεσθαι τῆς θείας μυσταγωγίας· οὗτος δὲ ὁ καιρὸς σχηματίζει τὸν περὶ τοῦ προφήτου Ἡσαΐου ἀναφωνηθέντα καιρὸν τῆς προδρόμου Ἰωάννου γεννήσεως, καὶ τοῦ Χριστοῦ πρὸς ἡμᾶς ἐπιδημίας· ἀμφοτέρων γὰρ τούτων τῆς γεννήσεως τὸν καιρὸν μετὰ τῶν ἄλλων θεηγόρων Ἡσαΐας ἀριθμητότατα προεφήτευσεν. Περὶ μὲν τοῦ Ἰωάννην οὕτως εἶπεν· "ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου", καὶ τ' ἄλλα ὅσα περὶ αὐτοῦ προηγόρευσε. Περὶ δὲ τοῦ Χριστοῦ· "ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει", καὶ ὅσα περὶ τοῦ πάθους καὶ τῆς ταφῆς καὶ τῆς ἀναστάσεως προηγόρευσεν· ἐν τούτῳ γὰρ τῷ καιρῷ καὶ ἡ τοῦ ἀποκεκρυμμένου μυστηρίου πρὸ καταβολῆς κόσμου φανέρωσις, τὸ πέρας ἐνεδέξατο· ὁ δὲ ἱερεὺς ὁ τὴν ἔναρξιν τῆς θείας λειτουργίας ποιούμενος, εἰκόνα φέρει τοῦ προδρόμου Ἰωάννου τοῦ βαπτι-

Digitized by Google

στεῦ, προκαταρξαμένου τοῦ κηρύγματος καὶ λέγοντος "μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν". Λέγει οὖν ὁ διάκονος, ὡς ἄγγελος, εὐλόγησον δέσποτα, αἰτούμενος ὑπὲρ τῆς θείας μυσταγωγίας πρὸς τὸν ἱερέα τουτέστι πρὸς τὴν θεότητα· καὶ προσκαλούμενος ὁ ἱερεὺς τοῦ ἐπιφοιτῆσαι τὴν ἁγίαν τριάδα ταῖς μυστηρίοις, λέγει· εὐλογημένη ἡ βασιλεία· ὁ δὲ λαὸς ἀλλοιωθεὶς τὴν θείαν ἀλλοίωσιν, ὡς ἐπὶ τῆς μεταμορφώσεως οἱ ἀπόστολοι, μετὰ χαρᾶς καὶ φόβου ἀποκρίνεται, ἀμὴν. τουτέστι, ἀλήθεια. Ἀρχομένης δὲ τῆς θείας ἱερουργίας παραλέγεται μετὰ τὴν πρώτην αἴτησιν τὰ προφητικὰ, ἅμα μὲν ὡς προανακηρυττὰ τὰ ἀναφαινόμενα, ἅμα δὲ καὶ ὡς προτιμησαμένης τῆς παλαιᾶς διαθήκης· εἷς νομοθέτης, οὗτος ὁ γενηθεὶς ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐχρημάτισεν.

12. Χρὴ δὲ γινώσκειν ὅτι ἐν ἀρχῇ πάσης ἑωθινῆς τε καὶ λυχνικῆς τελετῆς, πρῶτον τῆς παλαιᾶς ψάλλονται αἱ ψαλμοὶ, εἶτα τῆς νέας χάριτος ἄσματα, ἵν' ἔχωσιν εἰδέναι πάντες, ὡς εἷς καὶ αὐτὸς ὁ θεὸς καὶ δεσπότης ἐστὶν ὁ ταῦτα κἀκεῖνα νομοθετήσας Χριστός. Ἄδονται τοιγαροῦν ὡς εἴρηται μετὰ τὴν πρώτην αἴτησιν τὰ ἀντίφωνα, πρῶτον μὲν προτρεπόμενα τὸ ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ τῷ τεχθέντι ἐπὶ σωτηρίαν παντὸς τοῦ ἀνθρωπίνου γένους· δεύτερον κηρύττοντα μεγαλοφώνως τὸ, ὁ κύριος ἐβασίλευσεν, τουτέστι, νῦν μειζόνως βασιλεύει ὁ πρὸ αἰώνων βασιλεὺς κύριος, ἐνδυσάμενος τὴν ταπεινὴν ταύτην σάρκα ἡμῶν, ἣν καὶ δύναμιν προσηγόρευσε, καθάπερ τὴν δακοῦσαν τοῖς πολλοῖς αἰσχύνην τὴν ἐπὶ τοῦ σαυροῦ, δοῦλον αὐτὸν ἐπωνόμασεν· ὥσπερ γὰρ βασιλεύς τις ἀεὶ μὲν τὸ κράτος καὶ τὴν δύναμιν ἔχων ἐν ἑαυτῷ, καὶ μὴ κεχρημένος τούτοις

Digitized by Google

πρὸς ἄμυναν τῶν ἐχθρῶν, ὕστερον δὲ θέλων ἐκδικῆσαι τοὺς ὑπηκόους, διαναζὰς ἐν ἀμικρῷ τινι ὅπλῳ θραύσει τοὺς πολεμίους· καὶ βυθῷ ἀπωλείας τούτους παραδοὺς, ἀκμὴν παρὰ πάντων τῶν ἐλευθερωθέντων τῆς τυραννίδος, νῦν ἐβασίλευσεν ὁ δεσπότης ἡμῶν, νῦν ἐνεδύσατο δύναμιν· τὴν βουλὴν αὐτοῦ καὶ τὴν θέλησιν τῆς ἐκδικήσεως, βασιλείαν καὶ δύναμιν ὀνομαζόντων· οὕτως καὶ ὁ προφήτης προορῶν τὴν ἐν σαρκὶ παροῦσαν τοῦ θεοῦ λόγου τὸν χρόνον καὶ τὴν ἐκδίκησιν τοῦ ἀνθρωπίνου γένους τήν τε τοῦ ἐχθροῦ καὶ τῶν σὺν αὐτῷ δαιμόνων κατάλυσιν, ἔτι γε μὴν καὶ τοῦ θανάτου νέκρωσιν, καὶ τὴν τῶν παρ' αὐτοῦ κατεχομένων ἐλευθερίαν, καὶ οἱονεὶ τῇ γεννήσει τοῦ κυρίου παρὼν τῷ σπηλαίῳ, τὰ νῦν ἐβασίλευσεν ἐξεφώνησεν, καὶ νῦν ἐνεδύσατο δύναμιν· οὐχ' ὡς οὐχ' ὑπάρχουσαν παρ' αὐτῷ, ἀλλ' ὡς ἀεὶ μὲν συνοῦσαν, εἰς προορωμένου δὲ καιρὸν ταμιευομένην ἐκλάμψαι. Εἴωθεν δὲ ἡ τοῦ πνεύματος χάρις ἡ πάντως βεβαιοῦσα τὰ μέλλοντα ὡς ἐνεστῶτα καὶ γεγενημένα ἀναφθέγγεσθαι.

13. Συντέταχται δὲ τῷ τέλει τοῦ πρώτου ἀντιφώνου τὰ ταῖς πρεσβείαις τῆς θεοτόκου, σῶσον ἡμᾶς· τίνος χάριν; ἡ πάντως βεβαιοῦσα τὰ πρότερον εἰρημένα παρὰ αὐτοῦ τύπου περὶ τῆς ἀειπαρθένου. Τοῦ δευτέρου δὲ τὸ ἐφύμνιον ταῖς πρεσβείαις τῶν ἁγίων σου· ἐπεὶ γὰρ ὑπὲρ τῶν ψυχῶν καὶ συγχωρήσεως πταισμάτων τὴν θείαν τελοῦμεν μυσταγωγίαν, εἰκότως ὡς ὑπερτέραν οὖσαν τὴν θεοῦ μητέρα πάντων τῶν ἁγίων, ἢ καὶ αὐτῶν τῶν ἐπουρανίων δυνάμεων, εἰς ἱκεσίαν προσκαλούμεθα· εἶτα τοὺς εὐαρετήσαντας τῷ ταύτης υἱῷ. Τὸ δὲ "ὁ μονογενὴς υἱὸς" παρὰ τοῦ βασιλέως Ἰουστινιανοῦ ἐμπεφώνηται· ὅπερ δείκνυσιν, ὡς ὁ υἱὸς τοῦ θεοῦ ἀτρέπτως καὶ ἄνθρωπος ἐχρημάτησεν ἐπὶ σωτηρίᾳ τοῦ ἀν-

Digitized by Google

ἀνθρωπίνου γένους. Ὁ ἱερεὺς ἐξάρχεται βαστάζων τὸ εὐαγγέλιον, ὡς ὁ Χριστὸς τὸν σταυρόν· εἰ δὲ ὁ διάκονος βαστάζει, μιμεῖται τὸν ἀγγαρευθέντα Σίμωνα. Τὰ κηρία ὀψικεύοντα ἐν τῇ εἰσόδῳ, δεικνύουσι τὸ θεῖον φῶς· Ὁ μέν τοι εἴσοδος τοῦ ἀρχιερέως τὴν ἐπὶ τοῦ Ἰορδάνου ἀνάδειξιν τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν· μέχρι γὰρ ταύτης, εἰ καὶ ἦν ἀρχιερεύς, ἀλλ' οὐχὶ πᾶσι δῆλος καὶ γνώριμος, οὐδὲ εἰς μέσον ἐζὼς καὶ κατὰ τὴν ὑπερφυῆ καὶ ἐξαίσια τελῶν· ἀλλ' ὁ τὸν καιρὸν λαχὼν ἱερεὺς ὡς πρόδρομος ἐνεργεῖ τὸ διὰ μετανοίας βάπτισμα· ὃς εἰσελθόντα ἰδὼν τὸν ἀρχιερέα, μεθίσταται· μονονουχὶ ταῦτα τῷ Ἰωάννῃ φθεγγόμενος πρὸς ἑαυτὸν, τοῦτον δεῖ αὐξάνεσθαι, ἐκεῖνον δὲ ἐλαττοῦσθαι, καὶ εὐθὺς παραχωρεῖ τῷ ἀρχιερεῖ τὰ μείζονα τελεσαυργεῖν.

44. Βαστάζει δὲ ὁ διάκονος τὸ ἅγιον εὐαγγέλιον ὡς θείαν κέλευσιν τοῦ βασιλέως τοῖς στρατηγοῖς τοῦ πιστοῦ λαοῦ προσάγων αὐτὸ, τοῦ ἱερέως ὄπισθεν ἐρχομένου καὶ διὰ τῆς στολῆς αὐτοῦ, ὡς καύχημα ἐν ταπεινώσει καρδίας, φέροντος τὰ πάντα τῆς σταυρώσεως. Εἶτα αἱ ψάλται ἀνέρχονται ἐν τῷ ἄμβωνι, ψάλλουσι δὲ τὸ· δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ· τούτῳ συμφωνοῦσι καὶ οἱ κάτω, δεικνύντες τὴν συμφωνίαν τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων· συμφωνοῦσι δὲ τούτῳ καὶ οἱ ἀπόστολοι· οἱ μὲν γὰρ ἔλεγον· δεῦτε, εὑρήκαμεν τὸν πεθούμενον· οἱ δὲ· ἔρχου καὶ ἴδε· ἦλθον φησὶ καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην· καὶ τ' ἄλλα ἁπλῶς ὅσα ἐχόμενα τοῦ βαπτίσματος. Τὸ, προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, τοῦτο δηλοῖ· ἐσειδὴ, φησὶν, ὁ οὗτος ὁ νῦν φανεὶς, πρεσβύτερος μέν ἐστι θεὸς, καὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης δημιουργός· γέγονε δὲ νῦν ἄνθρωπος καθ' ἡμᾶς πάντα τὰ τῆς ἀνθρωπίνης φύσεως ἴδια

Digitized by Google

ἔχων, πλὴν μόνης τῆς ἁμαρτίας· μέλλει δὲ αὖθις ἐν ὑστέροις καιροῖς μετὰ τοῦ αὐτοῦ προσώπου, καὶ τῆς αὐτῆς ὑποστάσεως ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς· οὐκέτι μὲν τοιούτῳ σώματι, οὐκ ἀσωμάτως δέ. Δεῦτε προσκυνήσωμεν αὐτῷ πιστεύοντες ὡς Θεῷ, προσπίπτοντες ὑπὲρ ὧν ἡμάρτομεν· προφθάσωμεν δὲ καὶ καταλάβωμεν τὸ πρόσωπον αὐτοῦ ἐνταῦθα ἐν ἐξομολογήσει καὶ συντριβῇ καρδίας, ἵν' αὐτὸν ἐκεῖθεν ἵλεων εὕρωμεν κρίνοντα.

15. Μετὰ δὲ τὴν πλήρωσιν τούτων, εὐθὺς ὁ τρισάγιος ὕμνος ᾄδεται, τῆς Θεότητος τοῦ υἱοῦ δηλῶν τὴν ὑπόστασιν, καὶ μὴν καὶ αὐτοῦ τοῦ πατρὸς καὶ τοῦ ζωοποιοῦ πνεύματος· τὸ ἅγιος ὁ Θεὸς, εἰ τῆς ὑποστάσεως ἰδιότητα διαιροῦντες τῷ πατρὶ προσνέμουσι. Τὸ ἅγιος ἰσχυρὸς, τῇ ἰδιότητι τῆς ὑποστάσεως τοῦ υἱοῦ καὶ λόγου ἀφορίζουσι· τὸ δὲ ἅγιος ἀθάνατος, τῇ τοῦ ἐμουσίου καὶ ζωοποιοῦ πνεύματος ἀφιεροῦσιν· ἁρμόττει δὲ ταῦτα καὶ μίᾳ ἑκάστῃ ὑποστάσει· ἑκάστη γὰρ τούτων καὶ ἁγία ἐστὶν καὶ ἰσχυρὰ καὶ ἀθάνατος· φύσις μὲν γὰρ καὶ οὐσία τρισὶ μία· ὄνομα δὲ κοινὸν ἡ Θεότης· τούτου μέν τοι τοῦ τρισαγίου ὕμνου διὰ βραχέων τὰς ῥήσεις ὁ Δαβὶδ προανεκάραγεν· ἐδίψησε, λέγων, ἡ ψυχή μου πρὸς τὸν ἰσχυρὸν τὸν ζῶντα· καὶ ἀλλαχοῦ· τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν· καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ· πνεῦμα ἡ δύναμις αὐτῶν· καὶ ἑτέρωθεν· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Ὁ δὲ ὑπὸ τοῦ Ἡσαΐου ἐκφωνηθεὶς σεραφικὸς ὕμνος, καὶ τὰ τρία ἅγια εἰς μίαν κυριότητα συνάγων, τίνα διαφορὰν φέρει τοῦ παρ' ἡμῶν ᾀδομένου τρισαγίου;

16. Μετὰ δὲ τὸ τρισάγιον ἀνέρχεται ὁ ἀρχιερεὺς ἐν τῷ συνθρόνῳ βασταζόμενος ὑπὸ τῶν διακόνων ὡς ἀγγέλων, συν-

Digitized by Google

ἀρχομένων καὶ τῶν ἱερέων, καθὼς οἱ ἀπόστολοι συνῆλθον τῷ Ἰησοῦ ἐν τῷ ὄρει τῆς μεταμορφόσεως· δηλοῖ δὲ τὴν ἐκ γῆς πρὸς οὐρανὸν ἄνοδον, καὶ τὴν ἐκ τῆς γῆς χαμερποῦς πολιτείας τῶν Ἰουδαίων μετάθεσιν· ὡς ἐντεῦθεν δηλαδὴ μετὰ τὴν ἀνάδειξιν τοῦ βαπτίσματος ἀρχὴν λαβούσης τῆς χάριτος. Τὸ δὲ καθίζειν ἐν τῷ συνθρόνῳ, δηλοῖ ὅτι ὁ υἱὸς τοῦ θεοῦ τὴν σάρκα ἣν ἐφόρεσεν, καὶ τὸ πρόβατον ὃ ἔλαβεν ἐπὶ τῶν ὤμων, ὅπερ σημαίνει τὸ ὠμοφόριον, ὅ ἐστι τὸ ἀδαμαῖον φύραμα, ἀνεβίβασεν ὑπεράνω πάσης ἀρχῆς καὶ δυνάμεως καὶ κυριότητος, καὶ προσήκαγεν αὐτὸ τῷ Θεῷ καὶ πατρὶ· ἐπειδὴ γὰρ τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη, τουτέστι τὸ πρόσλημμα διὰ τὴν ἀξίαν τοῦ προσενεγκόντος καὶ τὴν καθαρότητα τοῦ προσενεχθέντος, ἐδέξατο αὐτὸν ὁ πατὴρ καὶ Θεὸς ὡς θυσίαν καὶ προσφορὰν εὐάρεστον ὑπὲρ τοῦ ἀνθρωπίνου γένους· ἣ καθέζονται ἐν τῷ συνθρόνῳ κατὰ τὸν προφήτην Δαβὶδ, ὅτι ἐκεῖ ἐκάθητο θρόνον εἰς κρίσιν. Ἐν τῷ δὲ ἐξάναι αὐτοὺς ἐν τῷ συνθρόνῳ, δεικνύων ὁ ἀρχιερεὺς τῷ λαῷ τὴν θείαν μεταμόρφωσιν, ἐκτείνας τὴν χεῖρα σφραγίζει τρίτον τοὺς ἱερεῖς, καθὼς ὁ Χριστὸς τοὺς αὐτοῦ μαθητάς.

17. Τοῦ δὲ τρισαγίου πληρωθέντος, σφραγίζει τὸν λαὸν ὁ ἱερεὺς λέγων, εἰρήνη πᾶσι, τουτέστι εἰρηνεύετε ἐν ἀλλήλοις παριστάμενοι ἐν τῇ θείᾳ τραπέζῃ. Ἡ δὲ σφραγὶς ἣν εἴωθε ποιεῖν ὁ ἀρχιερεὺς ἐν τῷ τέλει τοῦ τρισαγίου, εἰς πλήρωσιν μὲν καὶ οἱονεὶ ἐκσφράγισμα τῶν περὶ Χριστοῦ προσηγορευμένων προφητικῶν φωνῶν χαρακτηρίζεται· ἡ γὰρ αὐτοῦ διὰ σαρκὸς παρουσία σφραγὶς ἐγένετο ἐπικυροῦσα τὰ ὑπ' ἐκείνων προσηγορευμένα ὡς ἀληθῆ· αὕτη δὲ καὶ εἰς ἀρχὴν τῶν θεοπρεπῶν ἔργων καὶ τοῦ ἀνθρωπίνου γένους ἀνάπλασιν τέτακται· ἀρκέσει δὲ ἡ σφραγὶς καὶ εἰς εἰρήνην, ἤ τις

Digitized by Google

τὰς τότε μερικὰς ἀρχὰς κατέλυσε, καὶ τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν ἔθνεσιν ἐβράβευσε· πρὸς δὲ τὰ ἐπίγεια καὶ οὐράνια ὁ Χριστὸς ὁ τῆς εἰρήνης πατὴρ εἰς ἑνότητα ἤγαγε· καὶ μετὰ τὸ καθίσαι μετὰ τῆς παλαιᾶς καὶ νέας διαθήκης, ἀναγινώσκεται τὸ λεγόμενον πρακείμενον φερωνύμως ὀνομασθὲν· πρόκειται γὰρ πάντων τῶν συμβολαίων τῆς χάριτος τῆς νέας· μηνύει οὖν τὴν τῶν προφητῶν ἐκφαντορίαν, τὴν προμήνυσιν τῆς παρουσίας Χριστοῦ τοῦ Θεοῦ. Μετὰ ταῦτα ἀνέρχεται ὁ Παῦλος ὥσπερ τις στρατιώτης, καὶ τὴν οἰκείαν διδασκαλίαν τῷ πλήθει διατρανοῖ, ἤγουν τῶν ἀποστολικῶν πραγμάτων ἀνόγνωσιν, καὶ τῶν ἐπιστολῶν αὐτῶν παρίζησι τὴν ἐκλογὴν, καὶ τὸ τέλος τῶν ὑποσχέσεων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ἐξ ὧν ἡ δύναμις τούτου καὶ τὸ ἀδιάπτωτον τῆς ἀληθείας συνίσταται· ἔφη δὲ πρὸς αὐτούς "δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων", ὅρα τείνων πῶς τὸν κόσμον ὅλον ἐζώγρησαν ἐκ τοῦ βυθοῦ τῆς πλάνης καὶ οἱ ἁλιεῖς καὶ ἀγράμματοι.

18. Εἶτα μετὰ τὴν ἀνάγνωσιν τοῦ ἀποστόλου, ὁ Δαβὶδ ᾄδει τὸ ἀλληλουΐα· δηλοῖ τὸ μὲν ἅλ, ἐφάνη· τὸ δὲ ἦλ, ὁ Θεὸς· τὸ ουϊα, αἰνεῖτε τὸν ζῶντα θεόν. Τὸ ὠμοφόριον ἀφαιρεῖται τοῦ ἀρχιερέως εἰς τὸ ἔσχατον ἀλληλουΐα, εἰς ἀπόδειξιν τοῦ πληρωθῆναι τὸν νόμον, καὶ τοῦ τὸν ἀρχιερέα ἱερουργεῖν τὴν νέαν χάριν. Ὁ δὲ θυμιατὸς, ὁ ἐν τῷ καιρῷ τοῦ ἀλληλουΐα μετὰ θυμιάματος κινούμενος, τὴν χάριν δηλοῖ τοῦ ἁγίου πνεύματος τὴν δεδομένην τοῖς μαθηταῖς ὅτε τούτους ἀπέστειλε τοῦ ἰᾶσαι πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν Ἰσραήλ. Μετὰ τὸ ἀλληλούϊα λαβὼν ὁ ἱερεὺς ἢ ὁ διάκονος τὸ ἄχραντον εὐαγγέλιον, ὡς ἄγγελος ἀποσταλεὶς, μετὰ τῆς θείας κελεύσεως ἀνέρχεται εἰς τὸν ἄμ-

Digitized by Google

βωνα καὶ πληροῖ τὴν προφητείαν Ἡσαΐου τὴν λέγουσαν "ἐπ' ὄρους πεδινοῦ ἄρατε σημεῖον.,, Ἡ ἔκτασις τῶν χειρῶν τοῦ πλήθους δείκνυσι τὴν εὐχαριστίαν ὡς ἀξιωθέντος τοιούτων θαυμάτων. Ὁ δὲ ἱερεὺς ἀναπτύσσει τὴν κέλευσιν μετὰ φρίκης, καὶ ἀναγγέλλει ταύτην τῷ λαῷ· μετὰ σιγῆς ἱσαμένων καθὼς Μωϋσῆς καὶ Ἠλίας καὶ πάντες οἱ προφῆται, ὁμιλοῦντος αὐτοῖς τοῦ Θεοῦ, καὶ τοῖς ἀποστόλοις λέγοντος, ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Μετὰ δὲ τὴν ἀνάγνωσιν πτύξας αὐτὴν ὁ ἀναγνοὺς, μετέρχεται διδοὺς πᾶσιν ὡς υἱοῖς ἀσπάζεσθαι αὐτήν. Τὸ εὐαγγέλιον ἐστὶ μηνυτικὸν τῆς παρουσίας Χριστοῦ υἱοῦ τοῦ Θεοῦ, καθ' ἣν ὤφθη ἡμῖν οὐ δι' αἰνιγμάτων, ἀλλ' ἐμφανῶς· δηλοῖ οὖν αὐτοῦ τοῦ Χριστοῦ τοὺς λόγους, τὰς ἐντολὰς, τοὺς νόμους οὓς ἡμῖν ἔθετο, τὰ πάθη, τὴν ταφὴν, τὴν ἀνάστασιν, καὶ αὐτὴν τὴν ἀνάγνωσιν· τῶν γὰρ θαυμάτων οἱ εὐαγγελισταὶ ὀλίγους ἐποιήσαντο λόγους, ἐνὶ ῥήματι πλήθη ἄπειρα θαυμάτων παραδηλώσαντες.

19. Τέσσαρα δὲ τὰ εὐαγγέλια κατὰ τὰ τετράμορφα ζῶα, ἐν οἷς κάθηται ὁ τῶν ὅλων Θεὸς, πρὸς ὃν ἀναφέρεται ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ· ὧν τέσσαρα φαινόμενα πρόσωπα, τὸ πρῶτον ὅμοιον λέοντι, τὸ δεύτερον ὅμοιον μόσχῳ, τὸ τρίτον ὅμοιον ἀνθρώπῳ, τὸ τέταρτον ὅμοιον ἀετῷ· τὸ μὲν οὖν πρῶτον τοῦ λέγοντος τὸ ἔμπρακτον αὐτοῦ καὶ ἡγεμονικὸν χαρακτηρίζει· τὸ δὲ δεύτερον τὴν ἱερουργικὴν τάξιν ἐμφαίνει· τὸ τρίτον τὴν κατὰ ἄνθρωπον αὐτοῦ παρουσίαν καὶ φανέρωσιν διαγράφει· τὸ τέταρτον ὅμοιον ἀετῷ πετωμένῳ τὴν τοῦ ἁγίου πνεύματος ἐφιπταμένην δύναμιν σαφηνίζει. Τὸ μὲν οὖν κατὰ Ἰωάννην εὐαγγέλιον τὴν ἀπὸ τοῦ πατρὸς ἡγεμονικὴν αὐτοῦ καὶ πρακτικὴν καὶ ἔνδοξον γέννησιν δη-

Digitized by Google

γεῖται· γράφει γὰρ "ἐν ἀρχῇ ἦν ὁ λόγος.„ Τὸ δὲ κατὰ Λουκᾶν τὸν τοῦ ἱεραρχικοῦ χαρακτῆρος τύπον παρίζησιν, ἀπὸ γὰρ τοῦ Ζαχαρίου ἱερέως θυμιῶντος ἄρχεται. Ματθαῖος δὲ τὴν κατὰ σάρκα γέννησιν αὐτοῦ δηγεῖται "βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ„ ἀνθρωπόμορφον δὲ τοῦτο τὸ εὐαγγέλιον. Μάρκος δὲ ἀπὸ τοῦ προφητικοῦ πνεύματος τοῦ ἐξ ὕψους ἐπιόντος τοῖς ἀνθρώποις τὴν ἀρχὴν ἐποιήσατο λέγων· "ἀρχὴ τοῦ εὐαγγελίου, ὡς γέγραπται ἐν προφήταις·„ τὴν πτερωτὴν εἰκόνα τοῦ εὐαγγελίου διὰ τούτου δεικνύς.

20. Τὸ μετὰ τὴν ἀνάγνωσιν τοῦ εὐαγγελίου σφραγίσαι τὸν λαὸν τὸν ἀρχιερέα, ὑποδεικνύει τὴν μέλλουσαν παρουσίαν ἔσεσθαι ἐν τῷ ϛφέ ἔτει τῆς ψηφίδος τῶν δακτύλων ἐμφαινούσης ἑξάκις χίλια πέντε. Ἡ δὲ μετὰ τῶν θείων εὐαγγελίων ἀνάγνωσις, εὐχαὶ καὶ αἰτήσεις ἄχρι τοῦ χερουβικοῦ ὕμνου, τὴν ἐπὶ τρισὶ χρόνοις διδασκαλίαν ὑπεμφαίνουσι τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, καὶ τὴν πρὸς τὸ ἅγιον βάπτισμα εὐτρεπιζομένην κατήχησιν, ὅτε δὴ καὶ οἱ κατηχούμενοι ὡς ἀμύητοι καὶ μήποτε καταξιωθέντες τοῦ θείου βαπτίσματος καὶ τῶν τοῦ Χριστοῦ μυστηρίων ἐξέρχονται. Αἱ δὲ ἐν τῷ μεταξὺ τούτων γινόμεναι εὐχαὶ, ὑπὲρ αὐτῶν τε γίνονται τῶν κατηχουμένων, πιστῶν, καὶ αὐτοῦ τοῦ ἀρχιερέως· ἐννοοῦντες γὰρ οἱ θεσπέσιοι πατέρες ὁποίαν εἶναι χρὴ τὴν ψυχὴν καὶ τὴν χεῖρα τοῦ μέλλοντος ἅπτεσθαι τοῦ παναχράντου σώματος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ ὡς καθαρωτέραν τῶν ἡλιακῶν ἀκτίνων δεῖ ταύτην τυγχάνειν, τὰς ὑπὲρ τῆς συγχωρήσεως τούτων εὐχὰς διὰ φιλανθρωπίαν Θεοῦ ἐσομένην ἐξέθεντο. Οἱ διάκονοι ἁπλοῦσι τὸ εἰλητόν, ὡς Ἰωσὴφ καὶ Νικόδημος μέλλοντες καὶ αὐτὸν ἐνταφιάζειν τὸν κύριον. Λέγεται δὲ τὸ, οἱ κατηχούμενοι προ-

Digitized by Google

ἐλθετε, τρὶς ἵνα ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθῇ πᾶν ῥῆμα. Κλίνων ἑαυτὸν ὁ ἱερεὺς ἐν τῇ εὐχῇ δείκνυσι τὴν δουλείαν. Εἶτα φωνεῖ ὁ διάκονος, σοφία, τουτέστι θεὲ· βοᾷ ὁ ἱερεὺς πρὸς τὸν Θεὸν, ὅπως ὑπὸ τοῦ κράτους σου· εἶτα οἱ ψάλται ὡς μελισσῶν ἀγγέλων προτρέπουσι τὸν λαὸν εἰς τὸν χερουβικὸν ὕμνον. Ὁ δὲ χερουβικὸς ὕμνος παρακελεύεται πάντας ἐντεῦθεν καὶ μέχρι τοῦ τέλους τῆς ἱερουργίας προσεκτικώτερον ἔχειν τὸν νοῦν, πᾶσαν βιωτικὴν μέριμναν κάτω ἀφέντες, ὡς βασιλέα μέλλοντες μέγαν ὑποδέχεσθαι διὰ μεταλήψεως τοῦ ἁγίου σώματος αὐτοῦ. Ἐν δὲ τῷ λέγειν τοὺς ψάλτας τὸν αὐτὸν ὕμνον ἅμα τῷ λαῷ, σημαίνεται ὅτι καὶ οἱ ἄγγελοι συνψάλλουσιν ἐν τοῖς ὑψίστοις.

21. Τὸ σκευοφυλάκιον ἐν ᾧ γίνεται ἡ προσκομιδὴ, ἐμφαίνει τὸν τοῦ κρανίου τόπον, καθὼς προετυπώθη τῷ Ἀβραὰμ ὅτε ἐσήβαζε τὰ ξύλα, καὶ ἔθηκε τὸν υἱὸν, καὶ ἀνήνεγκε τὸν κριόν. Ἱερεὺς μόνος ἱσάμενος ἐν τῷ ναῷ τοῦ χερουβικοῦ ὕμνου ᾄδομένου, τύπον δεικνύει τοῦ πατρὸς ἐκδεχομένου τὴν τοῦ υἱοῦ προέλευσιν. Τὰ ῥιπίδια εἰς τόπον τῶν Χερουβὶμ καὶ τῶν Σεραφὶμ προηγοῦνται, καὶ τὰ σκῆπτρα, καὶ αἱ ῥομφαῖαι ὡς σύμβολα βασιλέως. Ἀρχιδιάκονος βαστάζων τὸ ὠμοφόριον διέρχεται, ὡς ἄγγελοι, βαστάζων τὴν παλαιὰν χάριν ὑψικεύουσαν τὴν νέαν χάριν. Διάκονοι ὡς νεφέλαι μετὰ σώματος προέρχονται ὡς τῆς Θεότητος ἐπαναπαυομένης ὡς ἐπὶ θρόνου ὑψηλοῦ τῶν Χερουβὶμ. Τὰ ἅγια ἀπὸ τῆς προθέσεως ἕως τοῦ θυσιαστηρίου προέρχονται, εἰς τύπον τῆς τοῦ κόσμου διαγωγῆς τοῦ Χριστοῦ ἕως τῆς ταφῆς αὐτοῦ· καὶ ὅτι ὁ Θεὸς αὐτὸς καὶ ὡδήγησε τοὺς μάγους ἰδεῖν τὴν ἐν σαρκὶ αὐτοῦ πρὸς ἡμᾶς σωτήριον ἐπιδημίαν· δηλοῖ δὲ καὶ τὴν ἀπὸ Βηθανίας πρὸς τὴν Ἱερουσαλὴμ τοῦ κυρίου εἰσέλευσιν . .

ΛΕΙΠΕΙ.

Digitized by Google

ΤΟΥ ΑΓΙΟΥ ΣΩΦΡΟΝΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΑΝΑΚΡΕΟΝΤΕΙΑ

I

ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Ἀπὸ πνεύματος Θεῖο
Ἐπ' ἀποστόλους μολοῦντος,
Πυρίνην ἐμοὶ παράσχοις,
Μαρία, λιτῆσι γλῶσσαν.
Βροτέῃ λέγειν γὰρ ὄντως
Σφαλερὸν πέφυκε γλώττῃ,
Θεόπαις, τεὴν λοχείην
Θεόθεν βροτοῖς φανεῖσαν.
Γενέτης Θεὸς τὰ ὄντα
Σοφίῃ τέτευχε πάντα,
Ἀγαθῶν ὅπως τε Θείων
Ἐσαεὶ κτίσις μετάσχοι.
Διὸ δὴ χερῶν κρατίστων
Ἀπὸ γῆς κόνιν κομίσσας,
Μερόπων ἔτευξε φύτλην
Μεγάλα βροτοῖς ὀπάζων.
Παρθενικῆς Μαρίης ἔθνεα κόσμου
Σεμνὰ κυηφορίην μέλψατε πάντα.
Μερόπων ὅλη γενέθλη

Digitized by Google

Μαρίης κλυτῇ κυήσει
Ἱερὸν μέλος λιγαίνεις.
Ἐπὶ γῆς δ' ἄνακτα θῆκεν
Τὸν Ἀδὰμ βροτῶν τοκῆα,
Ἵνα τῶν ὅλων ἀνάσσῃ
Χθονίων κτίσαντος ἔργων.
Ζαθέως δ' Ἀδὰμ βιοῦντι
Στυγερὸς φθόνησε δαίμων,
Διό μιν θράκων κατέκτα
Ἀπάτης ξίφος δενήσας.
Ζόφον ἐς φρένας δὲ πᾶσα
Μερόπων τρέφουσα φύτλη,
Πάλιν ἐς χθόνα πρικύπτει
Θανάτου φθορᾷ πιεσοῦσα.
Θεὸς εἰσορῶν δὲ ταῦτα,
Ἔλεεν βρίων σὺν οἴκτῳ,
Γόνον ὡς βροτὸν προπέμπει
Ἵνα τοὺς βροτοὺς σαώσῃ.
Μερόπων ὀλλυμένων δαίμονος ἔργαις,
Ὁ πατὴρ υἱα λόγον δῶκεν ἀρήγειν.
Σατανᾶ βροτοὺς κακοῦντος,
Ὁ Θεὸς γόνον παρέσχεν
Ἀδικουμένοις ἀρήγειν.
Ἱερὸν δ' ἔπεμψε λάτριν
Γαβριὴλ ἐς ἄστυ θεῖον,
Ὅ γε Ναζαρὲθ καλοῦσιν,
Μαρίην πρὸς ἁγνὸν ἄνθος.
Κλυτὸς ἄγγελος θεοῖο
Τότε παρθένον προσεῖπε·

Digitized by Google

Μαρίη πάναγνε χαῖρε,
Μετὰ σοῦ θεὸς γενέσθω.
Λόγον ἀγγέλου δὲ κούρη
Καθαραῖς φρεσὶν λαβοῦσα,
Ἐλογίζετο κρατίστη
Ποταπὸς λόγος θεόπτου.
Μαρίην πάλιν δὲ λάτρις
Γλυκεροῖς λόγοις προσεῖπεν·
Μαρίη, φόβον διώξοις
Χάριν ἐν θεῷ γὰρ εὗρες.
Ὁ θεὸς ἣν προτυπῶν, παρθένε, σάρκα,
Βάτον οὐ καιομένην δεῖξε προφήτῃ.
Προτυπῶν θεός γε σάρκα,
Μαρίη, τεὴν, ἐδείκνυ
Βάτον ἄφλογον προφήτῃ.
Νόον ἔνθεον λαχοῦσα
Γόνον ἐνθέως λοχεύσεις,
Γόνον ὃν καλεῖς Ἰησοῦν,
Ὅτι τὸν λεὼν σαώσει.
Ξένον ἐν βροτοῖσι κοῦρον,
Τότε παρθένος προσεῖπε,
Πόθεν ἔσται μοι γὲ τοῦτο
Γαμικῶν ἄνευθε λέκτρων;
Ὁ δὲ παρθένῳ προσεῖπε,
Ἅγιον πνεῦμα θεῖο
Ἅμα τε σθένει μεγίστῳ
Ἐπί σε, κλυτὴ, κατέλθοι.
Πόρον ἐκ θεοῦ λαβοῦσα
Γόνον ἀσπόρως γε τέξῃ,

Digitized by Google

Διό μιν θεῖο παῖδα
Καλέσει βροτῶν γενέθλη.
Τὸ Χερουβὶμ, Μαρίη πάγκλυτε, μούνη
Μερόπων ἐκ χθονίων δέξαο κῦδος.
Ἀφ' ὅλης βροτῶν γενέθλης,
Μαρίη κλέος Χερουβὶμ
Ὁσίως ἔδεκτο μούνη.
Ῥαθέως δὲ σὸν φανέντα
Ὁ θεὸς θρόνον παράσχα
Τὸν Ἰεσσίδου τοκῆος
Ἰακὼβ δόμον ἀνάσσειν.
Σαόφρων δ' ἔπειτα κούρη
Πάλιν ἀγγέλῳ πρασεῖπεν·
Ἐπ' ἐμοὶ θεῖο δούλῃ
Κατὰ σὸν λόγον γενέσθω.
Τότε παρθένον γε, λάτρης
Πόλον ἐς, λιπὼν, ἀνέπτη,
Τότε γαςέρος φαάνθη
Μαρίης ἄριςος ὄγκος.
Ὃν πόλος εὐρυπέλωρ οὐ χάδεν ἔνδον,
Σὴ χάδεν εὐρυνόη νηθὺς ἀρίζη.
Πόλος οὐ χάδεν, θεῖο,
Μαρίη, λόγον· τεὴ δὲ
Σαόφρων ἔδεκτο μήτρη.
Ὑφάλοις κόρην δὲ λέκτροις
Νέον ἔγκυον ποιῆσαι
Ὁ σοφὸς δοκῶν Ἰωσὴφ
Κρυφίως θέλεν διώκειν.
Φίλος ἔσκε γὰρ δικαίου,

Digitized by Google

Ὅθεν οὐ κόρην ἐλέγχει,
Θανάτου θέλων βιαίου
Μαρίῃ φυγὴν ὀπάσσαι.
Χθαμαλὰ φρεσὶν νοοῦντι
Γλυκερὸς προσῆλθεν ὕπνος,
Τότε καὶ λάτρης Θεοῖο
Κατ' ὄναρ λέγεν ἀκαίῳ.
Ψόγον ἐκ φρενῶν διώξας,
Μαρίην ἄγεις γυναῖκα,
Ἀπὸ πνεύματος γὰρ αὕτη
Ἁγίου βρέφος λοχεύσει.
Ψόγον εὐθέως δὲ ῥίψας
Μαρίην δόμοις κομίζει,
Ἵνα παρθένον φυλάξῃ
Ἄγαμον καλῶν ἄκοιτιν.
Γαζέρι θειοδόχῳ κόσμον ἀείρεις
Κοσμοτόκου σοφίης φορτὶς ἐοῦσα.
Λαγόσιν τοκῆα κόσμου
Μαρίη φέρουσα, κόσμον
Λαγόσι κλυταῖς κομίζεις.

II.

ΕΙΣ ΤΗΝ ΧΡΙΣΤΟΥ ΤΟΥ ΘΕΟΥ ΓΕΝΝΗΣΙΝ.

Ἄγε μοι θεοῖο πνεῦμα,
Μαρίη, πάλιν λιτῆσιν
Ἵνα καὶ τόκον πρεπόντως
Τεὸν ἔνθεον λιγαίνω.
Βασιλεὺς κέλευσε Καῖσαρ
Ἐπὶ γῆς βροτοὺς γε πάντας

Digitized by Google

Πόλιν εἰς τάχος δραμόντας
Πατρικὴν ἀπογραφῆναι.
Γαμετὴν ἄθικτον ἔνθεν
Μαρίην τεκοῦσαν οὔπω
Ὁ κλυτὸς λαβὼν Ἰωσὴφ
Ἐπὶ Βηθλεὲμ πορεύθη.
Δαπέδου γὰρ ἦσαν ἄμφω
Ἀφ' ἑνὸς, ἀπορᾶς, παλίχνης,
Ἱεροῦ τὰ πάντα Δαβὶδ,
Ὃς ἄναξ πέλεν προφήτης.
Μαρίης εὐτοκίη πάντα σαώσει,
Μερόπων σωζομένων λύτρου ἀείδω.
Μαρίης καλὴ λοχείη
Προφανῶς τὰ πάντα σώζει,
Μερόπων τὰ λύτρα μέλπω.
Ἐρέω τόκον Θεοῖο
Ἐν Βεθλεὲμ φανέντα,
Ἐρέω νόμους τεκούσης
Φύσεως νόμους λαθούσης.
Ζαθέως χρόνων πρὸ πάντων
Λόγος ἐκ Θεοῦ λοχεύθη,
Ἀχρόνῳ γάρ ἐστι κοῦρος
Πατρὶ συμφυεὶς ὁμῆλιξ.
Ζαθέως δὲ νῦν ἐτέχθη
Πάλιν ἐκ κόρης πανάγνου,
Ὁ χρόνους ὅλους λοχεύων
Πάλιν ἐν χρόνοις λοχεύθη.
Θεϊκῶς πάλιν προῆλθεν
Ἀπαθῶς Θεοῦ τεκόντος,

Βροτέως δὲ νῦν φανέντι
Βροτέης κόρης τοκούσης.
Μαρίης θειοτόκου ἄρτι τοκούσης,
Μερόπων εὐφροσύνην ἄρτι λιγαίνω.
Μαρίης θεὸν τοκούσης,
Τοκετοῦ ξένου φανέντος,
Μερόπων χαρὰν λιγαίνω.
Ἱερῇ φύσει θεοῖο
Μερόπων φύσιν βροτείαν
Ἀδιαζάτως ἑνώσας
Τὰ δύω πέλων προῆλθεν.
Κρατερὸς πέφευγε φύρσιν,
Ἀδιαιρέτως δ' ἔμιμνε,
Ὅθεν ἐν δύω φανέντι
Φύσεσι διπλοῦς ὑπάρχων.
Λόγος ὢν θεός τε πάντων
Βροτὸς εὐδοκεῖ γενέσθαι,
Ἵνα τοὺς βροτοὺς πεσόντας
Γενέτῃ θεῷ συνάψῃ.
Μέσος αὐτὸς ἦλθε Χριστὸς
Γενέτου βροτῶν τε φύτλας,
Ὅτι καὶ φύσιν βροτείαν
Μεθέπων θεὸς νοεῖται.
Ἐπὶ γῆς κοσμογόνου πᾶσι φανέντος,
Στυγερῆς ἀμπλακίης κόσμος ἐρύσθη.
Ἐπὶ γῆς θεοῦ φανέντος
Ἀφ' ἁμαρτάδος κακίσης
Τὸ βροτῶν πέφευγεν ἔθνος.
Νομίμως ὅθεν τεκοῦσαν

Digitized by Google

Θεομήτορα προσείπω,
Ὅτι νῦν Θεὸν λοχεύει
Μερόπων φύσει μιγέντα.
Ξένον, ὦ φίλοι, τὸ θαῦμα
Ὅτι παρθένος λοχεύει,
Ὅτι παρθένος τε μίμνει
Τακετοῦ λαβοῦσα πεῖραν.
Ὅθεν ὁ κλυτὸς προφήτης
Νεφέλην κάλεσσε κούφην,
Ὅτ' ἄνευ σπορᾶς βροτείας
Νοερὸν λόχευσεν ὄμβρον.
Προορῶν πάλιν προφήτης
Μαρίην ἄνυμφον εἶπεν,
Τόμον ἄγραφόν τε καινὸν
Γραφὲν οὐ χερὶ βροτείᾳ.
Δογμάτων εὐσεβίης ἄρτι φανέντων
Ἀπάτης ἀνδροφόνου κάτθανε δαίμων.
Δογμάτων Θεοῦ φανέντων
Ἀπάτης ἄναξ ὁ δαίμων
Θάνεν ὁ βροτοὺς φονεύσας.
Ῥυπαρῆς ἄνευθε κούρη
Γόνον ἡδονῆς τεκοῦσα,
Ἀλόγων τέθεικε φάτνῃ
Λογικῶν τρέφοντα φύτλην.
Σοφίης γὰρ ἐκπεσοῦσαν
Γενεὴν βροτῶν, θεῖο
Σοφίη πάλιν σαώζει,
Λογικοὺς βροτοὺς τιθεῖσα.
Τότε τὸν πόλον λιπόντες

Digitized by Google

Στρατὸς ἀγγέλων κατῆλθεν
Ἐπί τε χθονὸς χορείην
Ἱεροῖς ἔτευχον ὕμνοις.
Ὕπαρ ηὐλόγουν· φαάνθη,
Κλέος ἐν πόλῳ κρατοῦντι,
Ἐπὶ γῆς ὅλον γαλήνη
Γενεῆς βροτῶν θελήσει.
Ἀγγελικῆς στρατιῆς ὕμνον ἀείδω,
Δεσποτικῶν τοκετῶν θαῦμα γεραίρω.
Τοκετῶν θεοῦ τὸ θαῦμα
Μεγάλως ἀεὶ γεραίρων,
Μέλος ἀγγέλων λιγαίνω.
Φυλακὴν δ' ἐκεῖ νομεῦσιν
Ἐπὶ παιμνίοις ποιοῦσιν
Νυχίῳ χρόνῳ παραστὰς
Λέγεν ἄγγελος θεῖο.
Χάριν ἐξερῶ βροτοῖσιν,
Ἀφόβως κλύειν κελεύω,
Ὅτι Χριστὸς ὔμμιν ἄρτι
Ἐνὶ Βηθλεὲμ λοχεύθη.
Ψεκάσιν ῥέοντες ὄμβρου
Ἀπὸ συντόνου πορείης,
Ὀθόναις φάτνῃ σκεπασθὲν
Βλέπετε βρέφος τὸ θεῖον.
Ψευδὰ δ' ὡς ὄρη νομῆες
Λίπον, εὐθέως δραμόντες
Τὸ βρέφος κατ' ἄντρον εὗρον
Μαρίῃ συνὸν τεκούσῃ.
Ὁσίοις μηλονόμοις σύνδρομα βαίνειν

Digitized by Google

Ἐπὶ τὴν θειοδόχον σπεύσατε φάτνην.
Ἱεροῖς ὁμοῦ νομεῦσιν
Σπέος ἐς θεοῦ δοχεῖον
Ἅγιον τρέχοιτε πάντες.

III.

ΕΙΣ ΤΗΝ ΤΩΝ ΜΑΓΩΝ ΠΡΟΣΚΥΝΗΣΙΝ.

Ἀγαθῶν Μάγων δικαίων
Δρόμον εὐσεβῆ λιγαίνω,
Ὅτι μου λύρην δονοῦσιν
Ἀπὸ Περσίδος μολοῦντες.
Βρέφος εἰ μόνον λοχεύθη
Μαρίης ἄναξ ἁπάντων
Ἐνὶ Βηθλεὲμ μεγίστῃ
Πόλεϊ σπορᾶς Ἰούδα.
Γόνος ἔσκεν Ἀντιπάτρου
Ὁ τότε κρατῶν Ἑβραίων,
Ὃς ἄτ' Ἀσκάλου προελθὼν
Παρὰ τοὺς νόμους ἀνάσσει.
Δρομέες τότε προῆλθεν
Ὅθεν ἥλιος προλάμπει,
Ἱερουσαλὴμ δ' ἐξῆλθον
Ἀγγάδες μάγων κρατίστων.
Χριστὸν ἐς ἀρτιγενῆ δῶρα λαβόντες,
Ἀστέρι σύν τε μάγοις κόσμος ἑπέσθω.
Ἐπί Χριστὸν ἄρτι πάντες
Ἅμα τοῖς Μάγοις δραμοῦμεν
Νέον ἀστέρα σκοπεῦντες.
Ἔλεγον δὲ πρὸς πολίτας·

Digitized by Google

Ἄρα ποῦ πόλει, πολῖται,
Βασιλεὺς ὁ νῦν λοχευθεὶς
Ἱερῆς Ἰούδα φύτλης;
Ζαθέῃ γὰρ ἐν τιθήνῃ
Ἑὸν ἀστέρα σκοποῦντες,
Ἅτε δμῶες ἀγνὸν αὐτῷ
Σέβας ἤλθομεν προσοίσειν.
Ζάκοτον δ' ἄνακτα χώρης
Τὰ Μάγων μαθόντα πάντα
Ναέταις ὁμοῦ κακίστοις
Κλόνος ἄγριος κατέσχεν.
Θεϊκῶν γραφῶν δὲ μύστας
Ἱερεῦσι συγκαλέσσας
Ἐρέεινεν ἔνθα Χριστὸς
Ἀποτίκτεται βροτείως.
Φῦλα Μάγων κρατερῶν ὄλβια φήσω,
Πίστιν ἐθνῶν προόλων οὕνεκα μάρψαν.
Ἱεροὺς Μάγους καλέσσω
Ὅτι πίστιν εὗρον οὗτοι
Ἱερὴν ἐθνῶν πρὸ πάντων.
Ἱερεῖς δὲ θᾶττον εἶπον·
Ἐνὶ Βηθλεὲμ πολίχνῃ
Μερίδος κλυτῆς Ἰούδα,
Τόδε γὰρ γράφει προφήτης.
Κρυφίως δ' ἄναξ ἀλήτης
Τότε τοὺς Μάγους καλέσσας,
Μάθεν ἀτρεκῶς πρὸς αὐτῶν
Χρόνον ἀστέρος φανέντος.
Λέγε δὲ σφίσι δολόφρων

Digitized by Google

Ἐπὶ Βηθλεὲμ προπέμπων,
Ταχέως, φίλοι, σκοπεῖτε·
Περὶ τοῦ βρέφους ἰόντες.
Μετὰ τὴν θέαν δὲ πάντως
Φανερώσατε προθύμως
Ἵνα κἀγὼ αὐθὶς ἐλθὼν
Κεφαλὴν ἄνακτι κλίνω.
Βασιλεῦ, ἀφραδὴς πάντα παρῆλθες,
Τίς ἐὼν χριστοφόνος δεινὸς ἀκοῦσαι;
Βασιλεῦ, ἄφρων φαάνθης
Ὅτι Χριστὸν αὐτὸς σεῖει
Ἀνελεῖν ἄκοντα τέχνῃ.
Νόμον ἐς φρένα λαβόντες
Ἀνόμων ἄνακτος ὕθλων,
Ἱερουσαλὴμ λιπόντες
Ἐνὶ Βηθλεὲμ προσῆλθον.
Ξένον ἀστέρος δὲ φέγγος,
Ὅπερ ἐν πάτρῃ κατεῖδον,
Προφανῶς σφέας προῆγεν
Ἄχρι τῶν βρέφους μελάθρων.
Ὅθεν ἐν χαρᾷ μεγίστῃ
Ἐτέλουν ἰδόντες αὐγλην,
Μεγάρων δ' ἔσω μολοῦντες
Ἅμα Μητρὶ Χριστὸν εἶδον.
Πρὸ ποδῶν θεοῦ πεσόντες
Τάδε οἱ τὰ δῶρα δῶκαν,
Λίβανον, καλόν τε χρυσὸν
Τρίτον ἦν ἄρωμα πάτρης.
Σαμαρείης προνομὴν, ἔργα Δαμασκοῦ,

Digitized by Google

Γενέτας πρὶν καλίσῃ, Χριστὸς ἀφεῖλεν.
Ἔτι μικρὸς ὢν ὁ Χριστὸς
Δύναμιν λάβε Δαμασκοῦ
Σαμαρειτικῷ σὺν ὄλβῳ.
Ῥόον ὡς δ' ἄνακτα φεύγειν
Κατ' ὄναρ Μάγοι μαθόντες,
Τάχος ἐς πάτρην ἐχώρουν
Ἑτέρην τρίβον πατοῦντες.
Στρατιῆς πρόμος θεῖο
Καθ' ὕπνους ἔφη Ἰωσήφ·
Συνελὼν παῖν τεκούσῃ·
Ἐπὶ γῆν πρόφευγε Νείλου.
Τὸ τάχος γὰρ Ἀντιπάτρου
Γόνος αὐτὸν ἐκδιώξει,
Ὄφρα μὴν τάλας ὀλέσσῃ
Φθονερῷ ξίφει κρατήσας.
Ὑποτίτθιον δὲ θᾶττον
Βρέφος ἐξ ὕπνων ὀρούσας,
Φορέων ὁμοῦ τεκούσῃ
Ἐπὶ Νεῖλον ἦλθε φεύγων.
Θάμβος ἐμὴν κραδίην ἀμφιπολεύει,
Ὅττι θεὸς χθονίων μῆνιν ἀλύσκει.
Κραδίην ἐμὴν ἐλίσσει
Μέγα θάμβος, ὅττι Χριστὸς
Χόλον ἔκφυγεν τυράννου.
Φαραὼ κάκιστος ἄλλος
Βασιλεὺς ἐκεῖνος ὤφθη
Κοτέων Μάγοισι θείοις
Ἐπὶ πατρίδα τραπεῖσιν.

Digitized by Google

Χαλεπῷ δὲ πάντα πέμψας
Βρέφεα ξίφει κατέκτα
Ὅσα Βηθλεὲμ λοχεύθη
Ἀφ' ὅτου πέφηνεν ἄστρον.
Ψόφος ἀτρεκῶν προφήτου
Λογίων τότε κραάνθη,
Ὃν ὁ Χελκίου Θεόκτης
Παῖς ἐν βίβλοισι γράψεν.
Ψόφος ἐν Ῥαμᾷ προῆλθεν
Γοερῶς Ῥαχὴλ γοώσης
Τέκνα, δακρύων δὲ τέρμα
Ὅτι μὴ πέλον στυγούσης.
Βρεφέων μαρτυρίην τίετε πάντες,
Ἵνα Χριστόν γε, φίλοι, ἵλαον εἴδω
Βρεφίων ποθοῦμεν ἄθλους
Ἁγίους, ὅπως κεν ἄμμιν
Θεὸν ἵλεων ποιῶσιν.

IV.

ΕΙΣ ΤΗΝ ΑΠΑΝΤΗΝ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ.

Ἀπὸ Βηθλεὲμ παρέλθω
Μετὰ παρθένου τεκούσης,
Βρέφος ἀγκάλαις φερούσης
Κλυτὸν ἐς δόμον Θεοῖο.
Βιβλίον κόμιζε Λευκᾷ,
Κιθάρην φέρε προφῆτα,
Ἵνα σὺν τεχθέντι Χριστῷ
Διφυὲς μέλος προσάξω.
Γενίτῃ γὰρ ἐστιν ἴσος

Digitized by Google

Θεὸς ἐκ θεοῦ παλάμας,
Ἴσος αὖ πάλιν τεκούσῃ,
Βροτὸς ἐκ βροτοῦ γὰρ ὤφθη.
Διὸ σύνθετον καλέσσω
Τὸν ἀσυγχύτως φανέντα,
Δύο γὰρ φύσεις τελείας
Μετὰ σύνθεσιν δοκεύω.
Ἑς Θεὸν, ἐς γενέτην Χριστὸς ἱκάνει,
Δεσποτικοὺς προθέειν σπεύσομεν ἴχνους.
Ὅτι Χριστὸς ἐς τοκῆα
Θεὸν ὡς βρέφος προῆλθεν,
Προθέειν προθεῖτε πάντες.
Ἔθιμος δ' ἐπεὶ τελέσθη
Ἁγίας χρόνος λοχείης,
Καθὰ Μωσέως κελεύει
Νόμος εὐσεβοῦς προφήτου,
Ζάθεον παῖν τοκῆες
Ἱερουσαλὴν εἰσῆγον
Βροτὸν ὡς Θεῷ προσαίσειν
Τὸν ἀεὶ Θεῷ συνόντα.
Ζάθεος νόμος γὰρ ἔσκεν
Ὅτι πᾶν διοῖγον ἄρσεν
Τοκετοῦ πύλας παναγνους,
Ἅγιον Θεῷ καλείσθω.
Θυσίην δ' ὁμοῦ κομίζειν
Δύο τρυγόνας κελεύει,
Ἀπορυμένοις δὲ τέκνα
Τὰ πελειάδων γενέθλης.
Χριστὸς ἐλευθερίην πᾶσιν ὀπάζων

Digitized by Google

Μωσαϊκῶν νομίμων ἄνθος ἀείρει.
Ὃς ἐλευθέραν ποιεῖται
Μερόπων νόμου γενέθλην,
Θεράπων νόμου φαάνθη.
Ἱερεὺς δέ τις κατῴκει
Ἱερουσαλὴμ ἐν ἄστει,
Συμεὼν μέγας προφήτης
Φορέων θεῖο πνεῦμα.
Κράτος ἀξίως ἐτίμα
Ἁγίαις φρεσὶν θεῖο,
Παράκλησιν οὗτος ἔθνους
Μένεν Ἰσραὴλ ἰδέσθαι.
Λόγον ἐνθέως βοῶντα
Ἅγιον παρέσχε πνεῦμα,
Ἵνα μὴ μόρῳ προσέλθῃ
Πρὶν ἴδῃ γόνον θεῖο.
Μεγάρων ἄφνω προῆλθεν,
Ἱερὸν δ' εἰσῆλθε θεῖον,
Ἅγιον γὰρ ἦγε πνεῦμα,
Ἵνα Χριστὸν αὐτὸν εὕρῃ.
Ὁ νόμος Μωϋσέως ἄρτι τελέσθη,
Ὅτι Χριστὸς προφανεὶς ὤπασε τέρμα.
Νόμον οἱ γονεῖς τελοῦντες
Ἱερεῖ βρέφος παρέσχον,
Ὁ δὲ δέξατο προθύμως
Παλάμαις θεὸν δικαίαις.
Ξένα θαύματα σκοπήσας,
Ἅπερ οὐ πάρος τις εἶδεν,
Τετακὼς ἐς ὕψος ἄμμα

Digitized by Google

Λέγε πρὸς βρέφος τεκῆα·
Ὁ Θεὸς, τεόν με δοῦλον
Κατὰ τὸν σὸν ἄρτι μῦθον,
Ἀπόλυσον ἐν γαλήνῃ,
Ὅτι σευ τὸ λύτρον εἶδον.
Προφανῶς γὰρ αὐτὸ πᾶσιν
Ὁράαν βροτοῖς παρέσχες,
Φάος ἔθνεσιν φαείνειν
Κλέος Ἰσραὴλ λεῷ σου·
Συμεὼν ἐκ προγόνων ὄλβιος ὤφθης
Ὅτι Χριστὸν παλάμαις δέξαο μεῦνος.
Ῥόος ἐκ λόγων Θεόπτου
Γενέταις ἔτικτε θάμβος,
Βάθος ἠγνόουν γὰρ οὗτοι
Κρύφιον σοφῆς προνοίας.
Συμεὼν τότε προφήτης
Μετὰ τοὺς λόγους ἐκείνους,
Ὀρέγων βρέφος κομίζειν
Μαριὰμ λέγεν τεκούσῃ.
Τὸ βρέφος, πάναγνε, τοῦτο
Ἐς ἔγερσιν ἐστὶ πολλῶν,
Μόρον εἰτέων σὺν ἐθνῶν
Ἐς ἐναντίον τε πῆμα.
Ὑπὸ σὸν δὲ πνεῦμα, κούρη,
Δόρυ κάρχαρον διέλθοι,
Καρδιῶν ὅπως ἀπείρων
Φανεροὺς λόγους ποιήσῃ.
Ἔννομος εὐσεβίη πᾶσι φαείνει,
Πρῶτος ἔγνως Συμεὼν Χριστὸν ἐόντα.

Digitized by Google

Φάτις εὐθέως ἱκέσθαι
Ἱερὰν προφῆτιν Ἄννην,
Θυγατήρ πέλεν Φανουὴλ
Ἀπ' Ἀσὴρ ἐοῦσα φύτλης.
Χρόνον οὐ βραχὺν γὰρ αὕτη
Σαόφρων πέλεσκε χήρα,
Ἱερῷ ἀεὶ παροῦσα
Θεὸν νυμένιζεν ὕμνοις.
Ψόγον οὐδ' ὅλως ποιοῦσα
Πελιοῖς ποσὶν παρέστη,
Φανερὸν δ' ἔτευξε Χριστὸν
Ἱερουσαλὴμ πολίταις.
Ψόγον ἐξελοῦσα λήθης
Κραδίῃ φύλασσε πάντα
Μαρίη, βρέφος δ' ἑλοῦσα
Ἐπὶ Ναζαρὲθ πορεύου.
Μαρίη, καὶ Συμεὼν, κἀυτὸς Ἰωσὴφ
Μετὰ Ἄννης, ἱκέτας σώζετε πάντας.
Μαρίη κλυτὴ σὺν Ἄννῃ,
Συμεὼν, ἄνωξ Ἰωσήφ,
Ἱκέταις γένοισθε τεῖχος.

V.

ΕΙΣ ΤΗΝ ΧΡΙΣΤΟΥ ΤΟΥ ΘΕΟΥ ΗΜΩΝ ΒΑΠΤΙΣΙΝ.

Ἀπὸ τῆς φίλης ἐρήμου,
Ἀπ' Ἰορδάνου τε θείου,
Ἅμα Προδρόμῳ θεοῖο
Ἅγιον μέλος βοήσω.
Βίον ἀγλαὸν διώκων

Ὁ μέγας Θεοῦ προφήτης,
Βρέφος ἔνθεον φαάνθη
Τρέχον ἐς κλιτὰς ἐρήμους.
Γονέων γὰρ ἦν δικαίων
Ἱεροῖς νόμοις βιούντων,
Διὸ πνεύματος Θεοῖο
Ἀπὸ νηδύος γεμίσθη.
Διὰ τοῦτο φεύγεν οἶνον,
Σικέρων τε πόσιν πάντων,
Ἅμα φιλτάταις ἐδωδαῖς
Ἑτέραις βροτοῖς ἐούσαις.
Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε,
Χείλεσιν ὑμνοπόλοις ἄρχεο μύθων.
Γονε πανσόφου προφήτου,
Ἱερεῦ Θεοῦ προφῆτα,
Ἐπέων σοφῶν ὑπάρχου.
Ἔχε δὲ τροφὴν ἀρίστην
Ἀπόνως ἀεὶ παρεῦσαν·
Ἀκρίδες πέλεν τὸ βρῶμα,
Μελεαγρίου τε ῥίζαι.
Ζάθεν φέρεν χιτῶνα
Ζακότων τρίχας καμήλων,
Ἐπὶ ὀσφύος δὲ μίτρην
Ἀπὸ δερμάτων κοπεῖσαν.
Θεόθεν προῆλθε κήρυξ
Προθέων γένους Θεοῖο,
Ὁ πατὴρ γὰρ τοῦτον ὦρσεν
Παῖν ὄφρα πᾶσι δείξῃ.
Φωτογόνου τελετῆς ἄρτι φανείσης,

Digitized by Google

Φωτοφόροις κιθάραις μέλψομεν ὕμνους.
Τελητῆς κλυτῆς φανείσης,
Κιθάρας κλυτὰς λαβόντες,
Ἱεροὺς λέγαμεν ὕμνους.
Ἱερὸν βροτοῖσι λύτρον
Ἐπὶ γῆς ἄγων ἐπέστη,
Λύχνος ἐμφανῶς φαάνθη
Θεὸν εὐσεβῶς πιφαύσκων.
Κατὰ γὰρ χθόνα κρατίζην
Κρατερῶς ἴδασκε πάντα,
Τότε καὶ γόνους Ἰούδα
Ῥαθίοις καθαίρεν ἧρτο,
Λαλέων λεῷ παρόντι
Λέγεν εὐθέτους πορείας
Μάλα δὴ τάχιστα τεῦξαι
Νοερῶς θεῷ μολοῦντι.
Μέγα κῦδος ἔνθεν ἦρεν
Παρὰ τοῖς βλέπουσι πᾶσι,
Διὸ Χριστὸν αὐτὸν εἶναι
Ἐδόκει λεὼς Ἑβραίων.
Νάμασι θειοδόχοις λούσατο σῶμα
Πιστοτάτων μερόπων πᾶσα γενέθλη.
Ῥαθίοις θεῶν λαβοῦσι
Μερόπων φιλευσεβούντων
Τὸ γένος κάθαιρε σῶμα.
Νοέων δὲ ταῦτα κήρυξ
Φάτο τῷ λεῷ· τίς ὔμμιν
Τέκνα δυστόκων ἐχιδνῶν
Προφυγεῖν ἔδειξε μῆνιν;

Digitized by Google

Ξένον αὐτὸς οὐδὲν ἔρδω
Ὅπερ οὐ γράφειν προφήτης
Ἐμὲ γὰρ προσεῖπεν αἰθὴν
Ἐν ἐρημίῃ βοῶσαν.
Ὅθεν ὑμέας προβαίνων
Ῥαθίοις ἔγωγε νίζω,
Ταχέως δὲ τὰ προλάμψοι
Ὁ κρατῶν ἐμοῖο ῥάμφη.
Παρὰ τοὺς πόδας δὲ τούτου
Θεϊκοὺς ἔγωγε νεύσας
Ἀπορῶ κλυτῶν πεδίλων
Παλάμῃ λύειν ἱμάντα.
Ἀνδρομέης γενεῆς λύματα ῥύπων
Ὕδασι Χριστὸς ἄναξ λούσατο σῶμα.
Γενεῆς ῥύπον καθαίρων
Χθονίων φανεὶς ὁ Χριστὸς,
Ῥοθίοις ἔβαψε σῶμα.
Ῥοθίοις ξίνοισιν οὗτος
Μόνος ὑμέας κάθαιρε,
Νοερόν τι πῦρ προχεύων
Ἀπὸ πνεύματος ῥεέθρων.
Στεγανὸν πτύον κομίζων
Ἰδίην ἄλω καθαίρει,
Συνάγων δὲ σῖτον οἶκοι
Ἀχύρων γένος φλογίζει.
Τότε Χριστὸς αὐτὸς ἦλθε
Πρὸς ἑὸν μέγαν προφήτην,
Ἵνα μιν τάχιστα βάψῃ
Ἐν Ἰορδάνου ῥεέθροις.

Digitized by Google

Ὑπέφευγε δ' ὁ προφήτης
Τόδε δρᾶν· ἔγωγε, φάσχων,
Ῥοθίων τεῶν χατίζω,
Σὺ δ' ἄναξ τί πρός με βαίνεις;
Μερόπων ἀμπλακίας οἶδμα καθαίρει,
Ῥοθίων ἀγνοτάκων κάρτος ἀείδω.
Μερόπων τὸ νᾶμά κλύζει
Κακίας, ῥόου πανάγνου
Σθένος εἰκλεὲς βοήσω.
Φαίθων δὲ Χριστὸς εἶπεν,
Ἄφες ἄρτι, τοῦτο ῥέξαι,
Ὅτι μα προσῆκεν οὕτω
Τελέσαι τρόπον δικαίου.
Χέρα δεξιὴν προτείνει
Ἐν Ἰορδάνῃ προφήτης,
Τρομέων δ' ἄνακτα βάψεν
Τὸν ὅλων κάθαρσιν ὄντα.
Ψόφος ἦν πατρὸς βοῶντος·
Ἐμός ἐστι κοῦρος οὗτος·
Τὸ δὲ πνεῦμα προσκατέπτη
Ἐπὶ Χριστὸν ὡς πελείη.
Εἷς θεὸς ἐν τριάδι προὔπτον ἐδείχθη,
Τοῦτον ἐν εὐσεβίῃ τίετε πάντες.
Θεὸς εἷς τριὰς φαάνθη,
Ὁ πατὴρ, παῖς, τὸ πνεῦμα,
Μόνον αὐτὸν εὐσεβοῦμεν.

Digitized by Google

VI.

ΕΙΣ ΤΟ ΠΕΡΙ ΤΟΝ ΛΑΖΑΡΟΝ ΘΑΥΜΑ ΤΟΥ ΜΕΓΑΛΟΥ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

Ἀγρίη νόσος κατέσχε
Ποτὲ Λάζαρον θεόπτην,
Ὃς ἀδελφὸς ἦν περίφρων
Μαρίης σοφῆς τε Μάρθης.
Βριαρὴ δυὰς ἀδελφῶν
Ἐπὶ Χριστὸν εὐθὺ πέμψεν,
Ὃν, ἄναξ, φιλεῖς, βοῶσα,
Χαλεπὴ νόσος δαμάζει.
Γλυκερὸς δὲ Χριστὸς εἶπεν,
Νόσος ἐκτὸς ἦδε πότμου,
Ἐμέθεν χάριν γὰρ αὕτη,
Ἵν' ἐμὸν κλέος φανείνῃ
Δνοφερῶς δ' ἔφη μαθηταῖς·
Τέκνα Λάζαρος καθεύδει,
Ὃν ἐγὼ φίλον γε ὄντα
Ἀφ' ὕπνου μολῶν ἐγείρω.
Πηκτίδος ἡμετέρης ἄρχε Μάρθα
Καὶ Μαρίη κάσιος σῶσμα λεγαίνης.
Κιθάρην ἐμὴν γε Μάρθα,
Μαρίη τε καὶ σὺ πλῆκτε,
Κάσιος γὰρ ἆσμα μέλπει.
Ἔπεσιν δ' ἔλεξαν οὗτοι·
Ὕπνον οὐ μόρον νοοῦντες,
Ὅτι Λάζαρος καθεύδων
Πάλιν ἐξ ὕπνου πρελθοι.

Digitized by Google

Ζαθέοις δὲ Χριστὸς εἶπε
Πάλιν ἐμφανῶς ἑταίροις·
Θάνε Λάζαρος περίφρων,
Πρὸς ὃν ὡς τάχιστα βαίνω.
Θαλερὴ μαθοῦσα Μάρθα
Ὅτι Χριστὸς ἐγγὺς ἦλθε,
Προπάροιθεν ἦλθε κώμης
Τάδε οἷ λόγοις βοῶσα.
Ἕδος ἐς Βηθανίης Χριστὸς ἱκάνει
Δυνάμει ζωοδότῳ πίστιν ἀέξων.
Ἴχνος οὐκ ἂν εἶδε πότμου
Κάσις εἴπερ ἔνθα μίμνες,
Διὸ καὶ τὸ νῦν γιγνώσκω
Ὅτι μὶν θέλων σαώσεις.
Κάσις ἐκ τάφου προέλθοι
Ὁ σὸς, εὐθὺ Χριστὸς εἶπε·
Φρονέω, δ' ἔφησε Μάρθα
Παροῦσα, μαθοῦσα ταῦτα,
Λιγυρὸν γὰρ εὖτ' ἂν ἔλθῃ
Κυκλικοῦ χρόνου τὸ τέρμα,
Τότε Λάζαρος προέλθοι
Ἅμα τοῖς θανοῦσι πᾶσιν.
Μάλα, Χριστὸς εἶπε θᾶττον,
Ὅτ' ἐγὼν ἔγερσίς εἰμι,
Ὃς ἐμὶν ἕλκετο πίστιν
Θανάτου βρόχους ἀλύξει.
Βηθανίην ἐσιδεῖν ἦλθετε πάντες
Χριστὸν ἑλόντα νέκυν Λάζαρον εἴτεν.
Ἐσορᾷν δράμωμεν ἄνδρες

Digitized by Google

Ὅτι Χριστὸς ἐκ βερέθρου
Μόλε Λάζαρον καλέσσαι.
Νοέω, δ' ἔλεξε Μάρθα,
Ὅτι Χριστὸς ἦ σὺ μεῖνος,
Ὁ μόνος γόνος Θεοῖο
Ὁ βίου μολῶν ἐς ἄλκαρ.
Ξεναὸν δ' ἔχουσα χάρμα
Δράμεν ἐξέως πρὸς οἶκους,
Μαρίης δ' ἐς ὦτα λέξεν·
Ὁ διδάσκαλος καλεῖ σε.
Ὀβρίμη δὲ θᾶττον ἔνθεν
Μαρίη προσῆλθε Χριστῷ
Μετὰ δακρύων βοῶσα
Λόγον ὃν προεῖπε Μάρθα
Πολὺ πλῆθος ἐξ Ἑβραίων
Προσέδρων συνῆλθε κλαῖον,
Στοναχεῖν κάσιν δακοῦντες
Ὅτι ὠρὸς τάφον πορεύθη.
Λάζαρον ἐκ νεκύων Χριστὸς ἐγείρας
Ἐς μέγα Βηθανίην ὕψος ἐπῆρεν.
Μέγα Χριστὸς ἄρτι κώμης
Πόρεν εὖχος, ἐξεγείρας
Χρόω Λάζαρον θανόντες.
Ῥόον ὀμμάτων δὲ λεύσων
Μαρίης ὁ Χριστὸς εἶπε,
Πρὸ λόγου δάκρυ σταλάξας·
Τάφος ἔστι ποῦ θανόντες;
Συνιὸν δὲ πλῆθος εἶπε,
Βλέπε ὠῶς φιλεῖ θανόντας·

Digitized by Google

Τυφλὸν ὃς βλέποντα τεῦξε
Φίλον οὐ σθένε σαῶσαι ;
Τότε Χριστὸς ἦλθεν ἔνθα
Τάφος ἦν βρέμων σὺν ὄχλῳ,
Χάριν, εἶπε, πατρὶ μέλπω
Ὅτε μου κλύες συνήθως.
Ὕπαρ ἔννεπον δὲ ταῦτα
Διὰ τοὺς παρόντας ὄχλους,
Ἵνα γνῶσι πάντες ὅττι
Σύ με πέμψας ἔνθα βαίνειν.
Μερόπων ὄφρα γένους δάκρυα παύσῃ
Φανερῶς δακρυχέει Χριστὸς ἐπ' εἴκτου.
Ἵνα, Χριστὲ, χεῦμα παύσῃς
Δακρύων βροτῶν γενέθλης,
Δακρύων ῥέεθρα λείβεις.
Φθιμένου τάφῳ πελάσσας
Θύρετρον κέλευεν αἴρειν.
Δυσοδμεῖν ἔλεξε Μάρθα
Τέτρατον γὰρ ἔσκεν ἦμαρ.
Χαρίεν δὲ, Χριστὸς εἶπεν,
Ἔπος οὐκ ἔλεξα, κούρη,
Ὅτ' ἐμὴν κρατοῦσα πίστιν
Κλέος εἰσίδας θεῖο ;
Ψόφον ὄβριμον δὲ τεύχει,
Στόματι κλυτῷ βοήσας·
Φίλε Λάζαρε προθύμως
Μόλε, δεῦρο θᾶττον ἔξω.
Ψυχὸς εὐθὺ νεκρὸς ἔξω
Δράμε δέσμιος καιρίαις,

Digitized by Google

Ὁ δὲ Χριστὸς εἶπε λύειν
Τὸν ἄπαξ μόρου λυθέντα.
Λάζαρε σὺν Μαρίῃ καὶ σύ τε Μάρθα
Μείλιχον ἄμμι δότε Χριστὸν ἰδέσθαι.
Μαρία, σοφή τε Μάρθα
Ἅμα Λαζάρῳ με Χριστῷ
Φίλον ὡς φίλεσι ποιεῖτε.

VII.

ΕΙΣ ΤΗΝ ΒΑΪΠΑΝΤΗΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ.

Ἀγάσις πρὸ ἓξ ἑορτῶς
Μόλεν ἡμερῶν Ἰησοῦς
Ὅθι Λάζαρον θανόντα
Διέσωσεν ἐκ βερέθρου.
Βαδιὼν δὲ πρὸς κολώνην
Ἱερὸν ὄρος ἐλαιῶν
Δύο πέμψε τῶν μαθητῶν
Ἐνὶ Βηθφαγῇ κελεύσας.
Γονάτων δρόμοις μολοῦντες
Ἐπὶ τὴν ἔναντι κώμην
Ὄνον αὐτόθεν τε πῶλον
Ἀγάγοιτε σὺν τεκούσῃ.
Διὸ Δεσπότῃ βοῶντι,
Τί λύειν ὄνους ποθεῖτε;
Ἐρέιτε, Χριστὸς εἶπεν,
Ὁ δὲ συντόμως προπέμψει.
Θειοφόβοισι χαρᾶς ἦμαρ ἐπέστη,
Δεῖμα φέρον στυγερὸν πᾶσιν Ἑβραίοις.
Χαρίεν σέβουσι Χριστὸν

Digitized by Google

Μόλεν ἦμαρ, ἔμφοβον δὲ
Ἀσεβεστάτοις Ἑβραίοις.
Ἕταροι δὲ τὰς κελεύσεις
Τέλεσσαν γόνου θεοῖο,
Ἅμα γὰρ φέρον τεκούσῃ
Ἀδαπόνον τε πῶλον.
Ζυγὸν οὐ μαθέντι πώλῳ
Βαρὺν, οὗ βροτοὺς ἀείρει,
Ἀπέθηκαν εὐθὺ Χριστὸν
Ἐπιθέντες ἁγνὰ πέπλα.
Ζάθεος δέ τις προφήτης
Προείλεξε ταῦτα βίβλῳ,
Θύγατερ, γὰρ εἶπε, Σιὼν
Ἄφοβος φίλη προλάμπεις.
Θεόθεν γὰρ εἰς σὲ σώζων
Βασιλεύς τε πρᾳὺς ἔλθοι
Ἐπ' ὄνου τε πῶλον ἴζων
Ὁ μέγαν πόλον πολεύων.
Χριστὸς ἐς ἄστυ θέει Ἱεροσολύμων,
Ὄφρα θάνοι μερόπων εἵνεκα λύτρου.
Ἱερουσαλὴμ ἐς ἄστυ
Θανέειν ὁ Χριστὸς ἦλθε
Μερόπων ὑπὲρ γενέθλης.
Ἱερουσαλὴμ πολῖται,
Τὰ βρέφη, γέροντες ἄνδρες
Ἅμα τᾶς ξένοισιν ὄχλοις
Ἐπὶ πάσχα συνθραμεῦσιν.
Κατὰ τὴν πόλιν μαθόντες
Ὅτι Χριστὸς εἰσελαύνει,

Digitized by Google

Βαΐα κρατοῦντες ἄκρα
Ταχινοῖς δρόμοις ὑπήντων.
Λασίοις κλάδοις ἐλαίης
Τινὲς ἔτρεχον λαβόντες,
Θαλερὴν κόμην δὲ δένδρων
Τριόδοις ἔβαλλον ἄλλοι.
Μεγάλως σέβοντες αὖθις,
Ἕτεροι τὰ λαμπρὰ πέπλα
Τραχιναῖς τρίβοις ἐφήπλουν
Ὅθι Χριστὸς εἶχε βαίνειν.
Ἐν χλοεραῖς ἀνέρες φυλλάσι δένδρων
Θᾶττον ὑπαντιάαν σπεύσατε Χριστόν.
Παλάμαις κλάδους κρατοῦντες
Χλοεροὺς ἐς ἅντα Χριστοῦ
Μερόπων τρέχει γενέθλη.
Ναίται, ξένοι τε πάντες
Σὺν ἀποστόλοισι Χριστὸν
Καθ' ὁδῶν νάπης ἐλαιῶν
Πελάοντα προσνοοῦντες.
Ξένον οἱ προσῆγον ὕμνον
Λιγυθρόως βοῶντες,
Βασιλῆϊ παιδὶ Δαβὶδ
Ἐν ὑπερτάτοισιν αἶνος.
Ὁ κλυτῇ Θεοῖο κλήσει
Προσιὼν μάκαρ τὶς ἔσκε·
Μακαριστὸν αὖτε Δαβὶδ
Τὸ μολὸν κράτος τόκῆος.
Περίφημον εὐθὺς ὕμνον
Ἱερεῖς κλύοντες ὄχλου

Digitized by Google

Σὺν ἀποστόλοις βοῶντες
Ἔφασαν γόνῳ θεῖο.
Ἀντὶ πέπλων καρδίας δείκνυμεν ἁγνὰς
Χριστὸς ὅπως ὁμαλὴν οἶκον ὁδεύσῃ.
Ῥόον ὃν φέρουσιν ὄχλοι
Ἅμα σοῖς, ἄναξ, μαθηταῖς
Στόμασιν κέλευε παῦσαι
Ὑωέργκα γὰρ βοῶσιν.
Σχεδόθεν, δὲ Χριστὸς εἶπεν,
Ἀτρεκῶς λέγω, κακοῦργοι,
Ἐὰν σὺς ἔφητε παύσω,
Ἄλαλοι λίθοι λαλοῦσιν.
Τότε καὶ πόλις σαλεύθη
Πυλέων μολεῖντες εἴσω·
Τότε, τίς, πρὸς ἄλλον εἶπε,
Φάθι δὴ τίς οὗτος ἐστίν;
Ὑγιῶς ὁ δὲ προσεῖπεν·
Ὁ μολῶν ἄναξ Ἰησοῦς
Γαλιλαῖος ὁ Προφήτης
Ἀπὸ Ναζαρὲθ γενέθλης.
Συναγωγῆς στυγερῆς κλαύσατε παῖδες,
Ὅτι Χριστὸν τὰ βροτῶν φῦλα γεραίρει.
Γένος Ἰσραὴλ στενάζει
Ὁ νόμου σκιὴν γεραίρων,
Ὅτι τιμᾷ Χριστὸν ἔθνη.
Φλογερῷ μολόντι Χριστῷ
Ἱερῷ τυφλοὶ προσῆλθον
Πόδας ἀσθενεῖς τε χεῖρας,
Ὁ δὲ πᾶσι δῶκε ῥῶσιν.

Digitized by Google

Χαλεποὶ δὲ γνόντες ἔργα
Ἱερεῖς μέγιστα Χριστοῦ
Βρεφέων τε τερπνὸν ὕμνον
Ἱεροῦ μέσον καθεῖπον.
Ψύθος ἐκμανῶς δονοῦντες
Ἐβόων ἄνακτι πάντων,
Ἀΐεις τί φασι παῖδες;
Ὁ δὲ, ναίχι, Χριστὸς εἶπεν.
Ψόφον ἐν γραφῆσιν οὔπω
Ἀνέγνωτε ταῖς λεγούσαις,
Στόμα νηπίων πρὸς αἶνον
Ὑπομαζίων ἀνάξεις;
Στομάτων ἐξ ἁἁάκων ἄσματα Χριστῷ
Βρεφέων ὑμνοπόλων πᾶς βροτὸς εἴποι.
Στομάτων ἀπ' εὐρυμύθων
Βρεφέων φίλων τε Χριστῷ
Προσφέρομεν ἀιὲν ὕμνον.

VIII.

ΕΙΣ ΤΟΝ ΜΥΣΤΙΚΟΝ ΚΑΙ ΘΕΙΟΝ ΔΕΙΠΝΟΝ ΤΟΥ ΣΩΤΗΡΟΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΚΑΙ ΘΕΟΥ.

Ἄγε δὲ, λύρη με θείη
Ἐπὶ δεῖπνον ἄρτι θᾶον,
Ἵνα μυστικῆς τραπέζης
Ἅμα Δεσπότῃ μετάσχω.
Βεάαν γὰρ ἄρτι Χριστοῦ
Θεῖκὸν πάρεστι κάρτος
Τυπικοῦ νόμου τε τέρμα
Ὑπὸ Μωσέως γραφέντος.

Digitized by Google

Γονίμῳ γόνος Θεοῖο
Ἐν ὄρει πέλων ἐλαιῶν,
Ἱεροῖς ἔφη μαθηταῖς
Προλέγων ἄναξ τὸ μέλλον.
Δίδαγμα κρατεῖτε τοῦτο
Ὅπερ ἐμφανῶς διδάσκω,
Ὅτι δεύτερον μεθ' ἥμαρ
Γίνεται νόμου τὸ πάσχα.
Δεῖπνον ἐς ἀμνοφόρον σπεύσατε πάντες
Μυστιφόροις καρδίαις κάρτα Θεοῖο.
Ἐμὲ δὲ φθόνῳ κακίστῳ
Πᾶιν ἀνέρος λαβόντες
Ἱερεῖς, λεὼς, πολῖται
Στερεαῖς νίφουσι βύρσαις.
Ζακότοις βαλοῦσι μύθοις,
Πτυέλῳ βρέχουσιν ὄψιν,
Πιλάτῳ δὲ συμμανέντες
Ἰκρίῳ κτενοῦσιν οἴτῳ.
Θανάτου δ' ἐγὼν ὀχῆας
Ἅμα καὶ πύλας ἀέξας,
Τὸν Ἀδὰμ λαβὼν τριταῖος
Ἀπὸ νερτέρων ἀνέλθω.
Εἰλαπίνην ἁγίαν Χριστὸς ὀπάζει
Μωσαϊκῶν προβάτων δαῖτα πεδήσας.
Ἵνα δὴ νόμον τελέσσω,
Ὃν ἐγὼ πάλιν παρέσχον,
Πέτρε, νῦν ἴθι πρὸς ἄστυ
Ἅμα τῷ γόνῳ Σαλώμης.
Κατὰ τὴν πόλιν γεγῶσι

Νέος εὐθὺς ἀντιάζει
Κέραμον φέρων ἐπ' ὤμων
Γλυκερῦ γέμοντα ῥείθρου.
Λιπαρῶν ποδῶν δὲ τούτου
Καλὸν ἴχνιον πατοῦντες,
Ἐπὶ τὸν δρόμον δραμεῖσθε.
Ὅθι κεῖνος αὐτὸς ἔλθοι.
Μεγάρων τ' ἐρεῖτε πρώτῳ
Ὅτ' ἔφην· τίς ἔσκεν εἶκος
Ὅθι μοι μελοῦντι πάσχα
Σὺν ἐμοῖς φάγω μαθηταῖς;
Ἀπὸ δαιτὸς θεϊκῆς πέμψατε Χριστοῦ
Βδελυρὸν καὶ προδότην θᾶττον Ἰούδαν,
Νόμον ἐκμαθὼν δ' ἐκεῖνος
Τὸν ἐμὸν, τάχιστα δείξει
Ἀνώγαιον, ἔνθα θᾶττον
Ἱερὸν παείτε δεῖπνον.
Ξυνιόντες οἱ μαθηταὶ
Δράμον ἐξέως ἐς ἄστυ,
Ὅσα Χριστὸς εἶπεν εὗρον,
Ὅσα Χριστὸς εἶπεν ἔρξαν.
Ὁ θεὸς δὲ σὺν μαθηταῖς
Κατὰ τὴν πρέπουσαν ὥραν
Ἐπὶ φαιδρὸν ἦλθεν οἶκον,
Ἐπάγων νόμῳ τὸ τέρμα.
Πρόβατον φαγὼν δὲ Μωσοῦ
Ὁ θεοῦ τοκῆος ἀμνός,
Πρόβατον νόμου παλαιοῦ
Τέρας αὐτὸ θῦκε πάντων.

Digitized by Google

Μερόπων ὃς πωθέει Χριστὸν ἐς ἄκρον,
Ἀδόλως συμφαγέτω δεῖπνον ἐκείνου.
Ῥύσιον δὲ αὐτὸς ἄρνα
Μερόπων πόρεν γενέθλῃ,
Ἐνὶ μυστικῇ τραπέζῃ
Ἰδίην σφαγὴν τυπώσας.
Στεφανηφόρου δὲ δείπνου
Τότε Δεσπότης ἀνέστη,
Προχέει τ' ἐς ἄγγος ὕδωρ
Ἀποθεὶς τὰ θεῖα πέπλα.
Τρυφεροὺς πόδας μαθητῶν
Παλάμαις ἔνιπτε θείαις,
Μετὰ λεντίου δὲ τούτους
Κατέμασσεν οὗπερ ἔσχεν.
Ὑπόδειγμα δοὺς βροτοῖσιν
Χθαμαλῶν φρενῶν πρὸς ὕψος,
Πάλιν ἐς τράπεζαν ἦλθεν
Ὑποδὺς ἑοὺς χιτῶνας.
Κἀμὲ τὸν ἐν κακίῃ, Χριστὲ, καθαίροις
Χείρεσι ταῖς θείκαῖς πάντα λοέσσας.
Φάος, ὡς κόμισσεν ἄρτον,
Ἐρέων δέδωκε μύσταις·
Τὸ δ' ἐμὸν φάγοιτε σῶμα
Ἐς ἁμαρτάδων καλύπτρην.
Χαρίεν δέπας κεράσσας
Τάδε τοῖσι δῶκε λέξας·
Τὸ δ' ἐμὸν πίοισθε αἷμα.
Τὸ ἁμαρτίας σκυλεῦον.
Ψόφον ἐς τακῖα δέντες

Digitized by Google

Θεὸν ἐν λόγοισιν ὕμνον,
Ἐπὶ τὴν νάπην ἐλαιῶν
Ἅμα τῷ φάναι προῆλθον.
Ὦ πάθος, ὦ φιλίη, ἣν διὰ Χριστὸς
Σάρκα βροτᾶς ἰδίην ὤπασε δαῖτα.

IX.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΑΥΛΟΝ ΤΟΝ ΑΠΟΣΤΟΛΟΝ.

Ἀρετῶν μέλιττα Παῦλε
Ἐπὶ σοὺς ἄγεις με σίμβλους,
Ἵνα σὸν μέλι τρυγήσας
Ἱερῆς τροφῆς μετάσχω.
Βασιλεῦ μελῶν προφῆτα,
Κιθάριν δίδου τινάσσειν,
Ἀρετῶν ὅπως γενάρχην
Μέλεσιν σοφοῖσι μέλψω.
Γένος Ἀβραὰμ φυτεύει
Ὁ μέγας θεῖο λάτρης,
Κιλίκων τρέφουσι Ταρσοὶ
Ἐπὶ γῆς φανέντα Παῦλον.
Δρόμον ἐκ βρέφους ὁδεύων
Ἁγίων σοφῆς γενέθλης,
Ἰδίην ἀφῖκε πάτρην,
Πατέρων πόλιν γενεήν.
Ῥίζα φιλευσεβέων ἔπλεο, Παῦλε,
Ἐν χθονὶ τετραπόρῳ γείναο μόσχους.
Ἐδιδάσκετο προθύμως
Ἱερὰς γραφὰς τοκήων
Ἱερουσαλὴμ κατ' ἄστυ

Digitized by Google

Ὑπὸ τῶν σοφὰ φρονούντων.
Ζαθέους νόμους τελέσσας
Φαρισαῖος ἦν ἐς ἄκρον,
Ὅθεν εὐσεβῶν ὑπῆρχεν
Ἑτέρων πλέον διώκτης.
Θαλάμους δὲ τοὺς δικαίων
Ἀγρίως ὅλους ἐπόρθει,
Ἁγίους δὲ τοὺς ἐν ἄστει
Ἐδίδου φέρων φονεύειν.
Ὦ φρενὸς, ὦ μανίης ἧς πέλε Παῦλος
Ὅττι σοφῶν ἀγέλην πᾶσαν ἀνήρει.
Ἱερὴν ἔβαλλε πίστιν
Μανικὸς πέλων διώκτης,
Κατὰ τὰς πόλεις δὲ βαίνων
Ἁγίους κόλαζε πάντας.
Κακὰ γράμματα γραφέντα
Λάβεν ἐκ κακῶν προέδρων,
Ἁγίους ὅσους Δαμασκὸς
Τρέφε δεσμίους κομίσσαι.
Λόγος ἐκ πόλεως προκύψας,
Ὁ λόγῳ πόλον κυλίνδων,
Ἅμα φωτὶ παμμεγίστῳ
Τρέπεν ὡς τάχιστα Παῦλον.
Μέσον ἡμέρας δὲ λάμψας,
Φάος ὀμμάτων ἀπούρας
Κατὰ γῆν τάνυσσε Σαῦλον
Κατὰ γῆν κακῶς μανέντα.
Χριστὸς ὅλων μεδέων σὺν γενετῆρι
Παῦλον ἀπ' ἀντιβίων τεύξατο λάτριν.

Digitized by Google

Νοεῖν δὲ τὸν βαλόντα
Ὁ βαλὼν θέλων τυπέντα,
Λέγεν ἡμέρας Ἰησοῦς
Ἐπὶ γῆς πεσόντι Σαύλῳ.
Ξένον εὐσεβοῦσι ῥέξεις
Ἐμὲ, Σαῦλε, νῦν διώκων·
Ἀπαμείβεται δὲ Σαῦλος·
Λέγε μοι, τίς αὐτὸς ἔσκες;
Ὁ θεὸς πάλιν βοήσας
Φάτο πρὸς λαλοῦντα Σαῦλον,
Τελέθω, λέγων, Ἰησοῦς
Ἀπὸ Ναζαρὲθ πολίχνης·
Πάλιν ὁ φέρων τὰ πάντα,
Τελέθω ὃν ἐκδιώκεις,
Βαρύ σοι πόδας τιταίνειν
Ἀταλοὺς πρὸς ὀρθὰ κέντρα.
Ἀχλύος ἠερίης ἔμπλεε Παῦλε
Εἰπὲ, πόθεν στεροπαῖς πᾶσι φαείνεις;
Ῥυπαρὸν ζόφον κομίζων
Βλεφάροις, ἐς ἄστυ βαίνεις,
Ὄθι σοι πάλιν λαλήσω
Ἃ σε, Παῦλε, δεῖ τελέσσαι.
Σὺ γὰρ ἔθνεσιν φαείνοις
Θεῖκὸν φάος διδάσκων,
Σὺ τὸν Ἰσραὴλ ἐλέγξεις
Γενεὴν ἄπιστον οὖσαν.
Τότε δὴ μαθὼν ὁ Σαῦλος
Ὅτι Χριστὸς αὐτὸς ἦλθε,
Ἑτάρων χέρας κρατεύντων,

Digitized by Google

Ἄτε τυφλὸς, ἠκολούθει.
Ὑπονυκτίῳ δὲ λήξει
Ὅναρ ἐμφανεὶς ὁ Χριστὸς
Ἀνανίαν ἄνδρα θεῖον
Ἐπὶ Σαῦλον εὐθὺ πέμψεν.
Φεγγοτόκον σκοτίην ἔδρακε Παῦλος
Ὄφρα βροτῶν ζωφερὰν ἀχλὺν ἀπάξοι·
Φοβεροῖς λόγοισιν εἶξας
Ἀνανίας ἐς διώκτην,
Δράμεν ὄμμασιν κομίζων
Τὸ διωλυῦν διπλοΐσι φέγγος.
Χαλεπὸν ζόφον δὲ ῥίψας
Κραδίης κόρον τε Σαῦλος,
Λοετρὸν δὲ θεῖον ἐνδὺς
Χάριτος θεοῦ γεμίσθη.
Ψόγον ἀθλίων Ἑβραίων
Ὅλον ἀνδρακῶς πατήσας,
Συνέχευε λυγρὸν ἔθνος
Τριάδα βροτοὺς διδάσκων.
Φωτὸς ἀειγενέος, Παῦλε, γεμίσθης
Φωτογόνους δαΐδας πᾶσιν ἐρίζεις.

X.

ΕΙΣ ΤΟΥΣ ΑΓΩΝΑΣ ΤΟΥ ΑΓΙΟΥ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ.

Ἄγε πρὸς τρέχοντα Παῦλον
Πάλιν, ὦ λύρη με θεία,
Ἵνα συντόνους ἀγῶνας
Πάλιν ἐνθέως ἀείσω.

Digitized by Google

Βασιλεὺς φύλαττεν ἄστυ
Ἀρέτας Δαμασκὸν, ἄφρα
Ἁγίων τὸ θαῦμα Παῦλον
Ἀνέλοι χερὶ κρατήσας.
Γραφίδων θεῖο μύστας
Ἀρέτα προγνῶντες ἔργον,
Ὅτι περ θέλοι θεόπτην
Ἀνελεῖν φίλον Ἑβραίοις,
Διὰ σαργάνης χαλῶσιν
Ἀπὸ τειχέων μεγίστων
Μεσονυκτίῳ, λαθόντες
Νεόπιστον ὄντα Παῦλον.
Φωσφόρον εὐσεβίης ἔθνεσι τάκτων,
Φωσφόρος ἀστεροπὴ, Παῦλε, φαάνθης.
Ἐπὶ τὰς πόλεις δ' ἀπῆλθεν
Ἀράβων, Σύρων τε Παῦλος
Ἀρέταν, φυγὼν φονῆα,
Μανίην κακὴν τ' ἀλύσκων.
Ζοφερὰς πλάνας θιῶξαι
Ἀπὸ γῆς θέλων ἀπάσης,
Κατὰ γῆν πόλευε πᾶσαν
Μερόπων γένη καθαίρων.
Θεὸν εἴσιδεν θεῖο
Γόνον ὄμμασιν πανάγνοις,
Τρίτον ἐς πόλον δ' ἀνῆπτη
Σοφίην μαθεῖν θεῖο.
Ὦ σπυρὶς οὐρανίη, πῶς ἐχαλάσθης,
Ἢ πόθεν ὄψον ἄγειν ἠΰραο τῆιον;
Ἱερὸν δ' ἐκεῖθεν ἦλθεν

Παράδεισον, ἔνθα μύθους
Μάθεν οὐ φατοὺς βροτοῖσιν
Βροτέους λαλοῦσιν ὕλους.
Κατὰ δ' ἐνθέους κελεύσεις
Δράμεν ἐς πόλιν θεοῖο,
Πέτρον εἰσιδεῖν ποθήσας
Τὸν ἀπόστολόν γε πρῶτον.
Λαβυρινθίους δὲ μύθους,
Πάλιν ἔγγονον Ἰούδα
Ἱερουσαλὴμ ἐν ἄστει
Θεϊκοῖς λόγοις ἐλέγχει.
Μανίην κακὴν μανέντες
Λογάδες γένους Ἑβραίων
Κτανέειν θέλουσι Παῦλον
Σφετέρων χάριν ἐλέγχων.
Δῶρον ἀπ' ἀθανάτου, Παῦλε, θείου
Ἀνδράσιν ὀλλυμένοις πᾶσι χαρίσθης.
Γόον εὐσεβῶν ἁπάντων
Λαλέων ἔτερπε Παῦλος,
Ὅτι περ ἐδίδασκε πίστιν
Κατὰ κόσμον, ἣν ἐπόρθη.
Ξένον ἐν ξένῃ τελοῦντα
Ἐπὶ Ταρσὸν εὐθὺ πέμψαν,
Ἵνα μὴ μιν ἐκφανέντα
Βδελυρὸν γένος φονεύσῃ.
Ὁ δὲ Βαρνάβας πορεύθη
Ἐπὶ Ταρσὸν ὄφρα Παῦλον
Ἀγάγοι, Σύρους διδάξαι
Ἵνα Χριστὸν εὐσεβῶσιν.

Digitized by Google

Προφανῶς ἐδίδασκε πάντας
Θεὸν ἐνθέως γεραίρειν
Γενέτην, πᾶιν, τὸ πνεῦμα
Τὸν ὅλων κρατοῦντα μοῦνον.
Ἐσορῶν ἀγλαΐην ἣν λάχε Παῦλος
Θεόθεν θεσπεσίως ἄρτι χορεύσας
Ῥόος οἷά τις πραπαίων
Ἐπὶ γῆς ὅλην κατάρδει,
Ἐναλιγκίως ὁ Παῦλος
Δράσειν εἰς ἔθνη βαδίζων.
Σοφίᾳ θεοῦ σοφίσθη
Λαλέειν θεῖο πίστιν,
Ὅθεν ἔθνεα προσῆγεν
Θεὸν εἰς ἅπαντα πείθων.
Τὸ γὰρ ἐκτελεῖν προσῆχθη
Ὑπὸ πανσόφου προνοίης,
Ὅτε σὺν Σίμωνι Πέτρῳ
Βάλεν εὖ νέμοντα κλῆρον.
Ὑπὸ παρθένων διδόντος
Λάβε πάντα Παῦλος ἔθνη,
Ὁ σοφώτατος δὲ Πέτρος
Τέκνα συγγενῶν Ἑβραίων.
Τίς σοφὸς ἐκ μερόπων, ὡς πέλε Παῦλος;
Τίς θεὸν ἐκ χθονίων ἔδρακεν οὕτως;
Φιλέων δὲ πάντας ἴσως,
Ἐθνικούς, γόνους τ' Ἰούδα,
Ἀκλινῶς δίδασκε πάντας
Θεὸν εὐσεβεῖν ἀμέμπτως.
Χαριέστατος δ' ὑπάρχων

Digitized by Google

Ὁλεσυμπαθής τε πᾶσιν,
Ὅλα τοῖς ὅλοις φαάνθη
Ἵνα τοὺς ὅλους γε σώσῃ.
Ψεκάδας θεοῦ ψεκάζων
Δογμάτων σοφῶν, ὁ Παῦλος
Ἐπὶ Χριστὸν εἵλκε πάντας
Τὸν ὅλον κτίσαντα κόσμον.
Ἁγίων μυστιπόλων, ὄρχαμε Παῦλε,
Μόνος ἐθνῶν ἀγέλας μύστιδας ἔρδεις.

XI.

ΕΙΣ ΙΩΑΝΝΗΝ ΤΟΝ ΘΕΟΛΟΓΟΝ.

Ἁγίων γένος προέλθε
Ἁγίῳ γέρας κομίζον,
Ἀγάμων φάλαγξ βοήσαι
Ἀγάμῳ φέριστον ὕμνον.
Βδελυρὴν ἔγωγε γλῶτταν
Φορέων, ῥυπῶν τὰ χείλη
Ἀπερῷ γόνῳ γε βρυντῆς
Καθαρὸν τὸν αἶνον ᾄδειν.
Γονέων πᾶις φαάνθη
Ἱερῶν κλυτής τε ῥίζης,
Ζεβεδαῖος αὐτὸν ἥρως,
Σαλώμη τε παῖδα τίκτον.
Δόμον ἔσχε πλωτὸν ἄνδρα
Ὁ πατὴρ φίλην δὲ ἄγρην,
Σαλώμη τεκοῦσα Χριστῷ
Κλύε σύγγονας θεοῖσ.
Ἰαχῆς οὐρανίης, ὄβριμε κοῦρε,

Digitized by Google

Στομάτων ἡμετέρων δέχνυσο δῶρα.
Ἐκάλει δὲ κἀυτὸς ἔνθεν
Τὸν ὅλων ἄνακτα θεῖον
Ὁ παῖς, διότι τέκνον
Σαλώμης ὑπῆρχε θεῖον.
Ζαθέου γὰρ ἦν Ἰωσὴφ
Σαλώμη τόκος σαόφρων,
Ὅς ἐμοῦ θεοῦ Χριστοῦ
Γενέτης μόνον κεκλεῖτο.
Θεὸς οὖν πέλων ὁ Χριστὸς,
Ἐπέχων φύσιν τε πᾶσαν,
Ἐπὶ χεῖλος ἦλθε λίμνης
Βροτὸς εἷά τις προλάμπων.
Φωσφόρε παρθενίης, φωσφόρε μύθων,
Ἡμετέρῃ κραδίῃ φέγγος ἰάλλοις.
Ἰαχὴν μίαν προπέμψας
Δυάδα κλυτὴν ἀγρεύει,
Ἰάκωβον ἐσθλὸν ἄνδρα
Ἀγαθὸν κάσιν τε τούτου.
Κράτος ὡς ἴδον θεῖον
Προσέβαινον οἳ καλοῦντι,
Πατρὸς σέβας λιπόντες,
Κάλαμον, σκάφος, σαγήνην.
Λόγος ἐκλογὴν τελέσσας
Δέκα καὶ δυῶν μαθητῶν,
Φιλέεσκε τόνδε μᾶλλον
Ἁγίων ὅλων ἑταίρων.
Μεγάλην χάριν δὲ βάλλεν
Φιλία φίλοις προσώποις,

Digitized by Google

Ἐνὶ δὲ φρεσὶν φιλάγνοις
Θεῖκὴν ἔχευεν αἴγλην.
Σοφίης οὐρανίης μεστὸς ὑπάρχων,
Ἐπέων οὐρανίων αὐλὸς ἐτύχθης.
Νόον ἔνθεον φοροῦντα
Καθαρήν τε σάρκα, τοῦτον
Ἀφανῶν παεῖτε μύστην,
Ὁ θεὸς λόγος διδάσκων.
Ξένα δεῖξε πλεῖστα τοῦτον
Φιλέων ἄναξ δικαίως,
Ἐπὶ καρδίαν ταθῆναι
Ἰδίην παρέσχε μούνῳ.
Ὅτε δ' ἱκρίῳ προσῆλθε
Κασίγνητον αὐτὸν ηὔδει,
Μαρίην ποιῶν τεκοῦσαν,
Μαρίῃ γόνον προσάπτων.
Πάλιν ἀγλαοῖο Πέτρου
Μόρον ἐκμαθεῖν παθοῦντος
Παρὰ δεσπότου γε κείνου,
Μόρον ἐκφανῶς καλύπτει.
Θειολόγου σοφίῃ κόσμος ἐρύσθη,
Δαιμονικῆς μανίης φάσματα ῥίψας.
Ῥέθεσι ξύλῳ κρεμασθεὶς
Ὁ λόγος παθών τε πάσχων,
Λέγε παρθένῳ τεκούσῃ,
Λέγε παρθένῳ μαθητῇ.
Σέθεν, ὦ γύναι, καλείσθω
Γόνος ἁγνὸς οὗτος ἔνθεν,
Σὺ δὲ μητέρα κρατίστην

Digitized by Google

Καλέοις ἐμὴν τεκοῦσαν.
Τότε δὴ τότε κλυτόφρων
Ἐς ἑὸν κόμιζεν οἶκον
Ἀγανὴν θεὸν τεκοῦσαν·
Ἰδὴν ποιῶν τεκοῦσαν.
Ὑπὸ Πάτμον ᾧ δ' ἐτύχθη
Θεόπαις νόμοισι φύτλει;,
Ἁγίους τόπους ἐάσας
Ἀσίης ἐπῆλθε χῶρον.
Βρεντογενῆ θεὸν οὖν ὄλβιον εἶπω
Τοὔνεκα θειοτόκου κοῦρος ἐτύχθη.
Φορέων σθένος θεῖο
Ἔφεσον κίχησεν ἄστυ,
Ὅπερ Ἄρτεμις κακίςη
Δνοφερῇ πλάνῃ κατεῖχεν.
Χέρα καρτερὴν δὲ τείνας
Ἀπάτης νεῶν καθεῖλεν,
Βδελυρὸν δὲ τρέψε φάσμα
Ἀσίηθεν ὡς πυρίπνους.
Ψεκάσιν θεῖο μύθων
Ἀπὸ χειλέων ψεκάζων
Φλόγα δαιμόνων ἀμέρδει,
Χθονίων γένος δὲ σώζει.
Ἀσίδος εὐγυάλου λύτρον ἀείσω,
Θειολόγου δυνάμει κῦδος ἀγείρων.

Digitized by Google

XII.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΡΩΤΟΜΑΡΤΥΡΑ ΣΤΕΦΑΝΟΝ.

Ἀρετὴν, ἀγῶνα, νίκην
Στεφάνου κλυτοῦ λιγαίνω,
Σὺν ἀποστόλοις καλέσσω
Στίχα μαρτύρων χορεύειν.
Βασιλεῖ θεῷ γὰρ οὗτος
Μετ' ἀποστόλους στρατεύθη,
Ἐνὶ μάρτυσι δὲ πρῶτος
Στεφάνοις ἔδησε κόρσην.
Γραφικῶς ὅθεν βοήσω,
Στεφάνου τὸ διττὸν εὖχος
Ὅτ' ἀποστόλοις συνῆπται,
Ὅτι μαρτύρων προλάμπει.
Διό μιν θεῖο λάτρην
Ταχέως τέθηκε πρῶτον
Ἁγίων χορὸς μαθητῶν
Μέγαν ἐνθέως σκοποῦντα.
Στεφάνου τοὺς ἀέθλους ὅσις ἀείδει
Κραδίην εὐφροσύνης ὄιδε κορέσσαι.
Ἐρατῆς γέμων θεοῖο
Χάριτος βίης τε πλήρης,
Στέφανος λεῷ τε πρόσθεν
Τεράτων ἔτευχε πλῆθος.
Ζοφερῷ φθόνῳ τυπέντες
Τινὲς ἀγρίων Ἑβραίων,
Περὶ δογμάτων συνείρειν
Στεφάνῳ λόγους ἐπῆλθον.

Digitized by Google

Ζάκυστον γὰρ ἔσκεν ἔθνος
Βελίου στόλος κακίστου
Φαρίης τε καὶ Λιβύσσης,
Ἀσίης τε καὶ Κιλίσσης.
Θαμινοὺς λόγους ὁ μάρτυς
Κραδίης σοφίης ἰάλλων,
Φθονεροὺς δίωκε κείνου
Νέφος ὡς πνοαῖς ἄπται
Στεφάνῳ θεσπεσίῳ στέμματα πλέξω
Γραφικῶν ἐκ καλύκων ἄνθεα δρέψας.
Ἱερῖσι λόγοις νάπην
Στεφάνου τάχιστα δόντες,
Φέρον ἀνέρας κατ' αὐτὸν
Πατέρα πλάνης βοῶντας.
Κατὰ γὰρ θεοῦ τοκήων
Κατὰ Μωσέως τε θείου
Λέγον ὕβρεων ἀκοῦσαι
Στεφάνου σοφοῦ λαλοῦντος.
Λόγον εὐτόνως βοῶντες,
Ἀπάτης λεὼν λαβόντες
Ἱερεῖς τε τοὺς κακίστους,
Στέφανον τάχος κατέσχον.
Μανίης μέθῃ φλεγέντες
Φέρον ἐς κρίσιν θεόπτην
Ἀδικοτάτων θοώκων
Ἅμα μάρτυσιν κακίστοις.
Οὔνομά σοι Στέφανος σεπτὸν ἐτύχθη,
Τοὔνεκεν εὐσεβίης στέμμα κομίζεις.
Νομίμου νόου τραπέντες

Digitized by Google

Ἁγίου λέγον πυθέσθαι,
Ὅτι Χριστὸν εἶπε νηὸν
Σολομῶνος ἐκκαθέλκειν.
Ξένα Ἰσραὴλ παρέξειν,
Νόμον, ἐντολὰς, κελεύσεις,
Τὰ δὲ Μωσέως ἀμείψειν
Ἅτε μὴ σοφῶς τεθέντα.
Ὁ λεὼς δ' ἅπας ἐκεῖνος
Ἅμα πιμέσι πλανήθη
Κακομαρτύρων ἀκούσας
Στεφάνῳ προέσχε θείῳ.
Προσέχον δὲ ὡρὸς πρόσωπον
Θεϊκὴν ῥέουσαν αἴγλην,
Χάριν ἀγγέλου γὰρ ἔσχεν
Στεφάνου πάναγνος ὄψις.
Ἁγίων σε Στέφανε πρῶτον ἀείδω,
Ὅτι Χριστῷ τὸ πάθος πρῶτος ὑπέστης.
Ῥαθάγῳ φρένας δονήσας
Ἱερεὺς ὅλων ὁ πρεῦχων
Τὰ κατηγόρων ἀλιτρῶν
Στεφάνῳ κέλευσε λύσιν.
Στόμα δ' εὔλαλον διοίξας
Λέγεν εὐκόλως ὁ μάρτυς,
Ὅτι Χριστὸν εἶπε Μωσῆς
Ἰδίου νόμου τὲ τέρμα.
Τό περ ὔμμες ἀγνοοῦντες
Θεὸν ἀντίον ποιεῖσθε,
Διὸ Χριστὸν ὡς τοκῆες
Ἀσεβῶς θεοκτονεῖτε.

Digitized by Google

Ὑπὸ πνεύματος δὲ θείου
Πόλον ἐς τὸ ὄμμα πέμπει,
Διὸ Χριστὸν αὐτὸν ἥρως
Ἴδε δεξιῶν τακῆος.
Μαρτυρικῆς στρατιῆς ἀρχὸς ἐτύχθη
Εἵνεκεν εὐσεβίης, εἵνεκα θάρσους.
Φανερὸν δὲ πᾶσι τεύχων
Λέγεν οὐρανὸν διοίχθαι,
Ὁράαν δ' ἄνακτα Χριστὸν
Πατρὶ δεξιῶν συνόντα.
Χόλος δ' ἄγριος ἐτύχθη
Κατὰ μάρτυρος παρούσιν,
Ὅθεν αὐτὸν ἐκδραμάντες
Λιθάκων ἔβαλλον ὄμβρῳ.
Ψόγον ἤτεεν ὁ μάρτυρ
Σὺν ἁμαρτίῃ τε λύττης
Ἀκάκως ἑοῖς φονεῦσι
Θεὸν εὐμενῶς ἑᾶσαι.
Ψιθύρων δὲ, Χριστὲ, λέξε,
Ἐμὸν ἄρτι πνεῦμα δέξαι·
Γόνατα χθονὶ προσάψας
Πόλον ἐς τὸ πνεῦμα πέμπει.
Στέφανε Χριστοφόρε, Χριστὸν ἐμῆσιν
Λιτανεύων κακίαις ἵλαον ἔρδοις.

XIII.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΡΩΤΟΜΑΡΤΥΡΑ ΘΕΚΛΑΝ.

Ἀπ' ἀειλσίλων μελισσῶν,
Ἀπ' ἀσηράτων τε σίμβλων

Digitized by Google

Δότε μοι μέλι τρυγῆσαι,
Ἱερεῖς θεοῦ προφῆται.
Βροτέην λύρην γὰρ ὄντως
Νοερῶν ἐφ' ὕψους ἄθλων
Ἀκλεὲς πέλει δονῆσαι,
Ἀγανῆς μάλιστα Θέκλης.
Γόνος ἀφθίτου θεῖο
Μέλος ἄφθιτον προπέμψοι
Ἵνα παρθένον τε νύμφην
Ἰδᾳ, πάναγνε, μέλψω.
Δρομέως χοροὺς τελεῖτε
Ἀγαθοὶ νέοι τε, κοῦραι,
Ὅτε πνεῦμα θεῖον ἦλθεν
Μέλος εὔθροον κομίζον.
Ἱεραὶ παρθενικαὶ, παστάδα Θέκλης
Στεφάνοις ἀθανάτοις στέψατε νύμφης.
Ἐλεῶν θεὸς τὰ πάντα
Ἐς ἀκοσμίην πεσόντα
Τέκος ὤπασεν σαώζειν,
Βρότεον δέμας κομίζειν.
Ζαθέως δὲ πάντα σώσας
Πόλιν ἐς πόλον μετῆλθεν,
Ἐπί τε θρόνου καθέσθη
Ἐνὶ δεξιοῖς τοκῆος.
Θεὸν ὡς θεοῦ τε παῖδα
Ὁ σοφὸς δίδασκε Παῦλος
Μέροπας σέβειν Ἰησοῦν
Βίον ἀγλαὸν τε τίειν.
Λαγόνων ἐξ ἁγάμων Χριστὸς ἐτέχθη,

Digitized by Google

Διὸ τὴν παρθενίην ἥρπασε, Θέκλη.
Ἱεροὺς λόγους δὲ Παύλου
Θυρίδων ἀπ' εὐτορεύτων
Σταθερὴ κλύουσα Θέκλη
Ἀγαθὴν ἔθεκτο πίστιν.
Κραδίῃ πόθον λαβοῦσα
Μονάγνου γόνου θεοῖο,
Κτεάτων ἔλειπεν ὄλβον
Μετὰ μητέρος τεκούσης.
Λαγάδα, κράτιστον ὄλβον,
Θάμυριν στύγησε Θέκλη,
Ὃς ἀθέσφατόν γε φερνὴν
Χερὸς ἐπώρα τεκούσης.
Μεγάλην νέος δὲ μῆνιν
Κατὰ παρθένον κορύσσων,
Δολίοις λόγοις τὰ πάντα
Ἐρέει νόμον κρατοῦντι.
Ῥαθίων μαχλοσύνης χεῖρα φυγοῦσα,
Σταθερὸς παρθενίης ὁμὸς ἐτύχθης.
Νοσερῶν νόμων ὁ ἄρχων
Ἱερὴν κρίσιν ϖαρῆλθεν
Θάμυριν θέλων ἰαίνειν
Κτεάτων δόσιν γεραίρων.
Ξένον ἀθρόως παρέσχεν
Ὁράαν νόμον πολίταις,
Διὰ σώφρονα φλεγῆναι
Βίοτον Θέκλην κελεύσας.
Ὁ δὲ δὴ θεὸς τὸν ὄμβρον,
Μέγαν ὠκέως σταλάξας

Ἀπαθῆ φύλαξε νύμφην
Φλογερὴν πυρὴν ἀμέρσας.
Παρὰ δὲ φλογὸς φυγοῦσα
Συρίης κίχησεν ἄστυ,
Τὸ κλυτὸν γόνου Σελεύκου
Κλυτὸν οὔνομα προφαῖνον.
Γενεῆς ἡμεριῶν μέτρα λιποῦσα,
Ἀέθλους ἦλθε Θέκλη, ἀγγελιωτῶν.
Ῥοδοειδέος δὲ Θέκλης
Χάριν ἥρπασε προσώπου
Νέος οὔνομα κρατίστου
Φορέων γόνου Φιλίππου.
Σχέτλιος πόθησε κούρην
Στυγερὸν πόθον προχεύσας,
Ταχέως δ' ἔκυσε νύμφην
Μέσον ἄστεως κιοῦσαν.
Τρομερὸν φόβον δὲ Θέκλη
Κραδίης ἄνευ βαλοῦσα,
Στεφάνους χαμάζ' ἔριψεν,
Χλαμύδα σχίσσεν τε κούρου.
Ὑπὸ δ' αἴσχεος κακίστου
Φλογεροῦ πόθου τε κοῦρος,
Ἀχέων ἔπεισεν ἀρχὸν
Σταθερὴν κόρην δαμάσσαι.
Ἀγαθὸν παρθενίης ἆθλον ἀρέσθαι,
Ἅμα κούραις τε νέοις νεῦε ποθοῦσιν.
Φιλοδακρύου θεήτρου
Μέσον ἐς κόρην ἀφεῖλκον
Ἀγρίοις λέουσι βρῶσιν,

Digitized by Google

Φιλοσπουδίοις τε φώναις.
Χαλεπὸν μόρον δὲ Θέκλην
Θεόθεν πάλιν φυγοῦσαν,
Καλεπωτέρων τε ταύρων
Θανέειν ἱμᾶσιν ἧψαν.
Ψαφαρὸν δ' ἱμάντα ῥήξας
Ὁ Θεὸς σάωσε νύμφην,
Πέρας ἔνθεόν τε Θέκλης
Κρατερῆς μόνοις παρέσχεν.
Ἀέθλων ἐκ προτέρων εὐθὺς ἐπ' ἄλλους
Ἀέθλους ἀνδροτέρους ἔθραμε Θέκλη.
Ἐς ἀεὶ εὐμενέα Χριστὸν ἀκοίτην
Τελέοις σοῖς ἱκέταις, πάγκλυτε Θέκλη.

XIV.

ΕΙΣ ΤΗΝ ΑΛΩΣΙΝ ΤΗΣ ΑΓΙΑΣ ΠΟΛΕΩΣ ΤΗΝ ΥΠΟ ΠΕΡΣΩΝ ΓΕΝΟΜΕΝΗΝ.

Ἁγία πόλις Θεᾶο

. . . . .
. . . . . .

Λείπει.

XV.

ΕΙΣ ΕΑΥΤΟΝ ΗΤΟΙ ΕΙΣ ΤΟΝ ΑΣΩΤΟΝ

. . . . . .
. . . . . .

Λείπει ὅλον.

Digitized by Google

XVI.

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΜΑΡΤΥΡΑΣ ΤΟΥΣ ΑΙΓΥΠΤΙΟΥΣ.

. . . . .

. . . . .

Λείπει ἡ ἀρχή.

Ῥόον αἵματος δικαίου
Πρόμος Ἠλίας, γὰρ ἄμφω
Κεφαλῶν ξίφει στεροῦνται.
Ψόγον ἄθλιον κακίστης
Ἁγίοις πλάνης φυγοῦσιν
Στεφάνους παρέσχε θείους
Θεὸς ἀξίους ἀέθλων.
Πάντες ἀπ' ἐσθλοδότου θέσκελα θήκης,
Ἄνερες, ἀθλοφόρων δρέψατε δῶρα.
Ἀγαθὰ κλυτῶν βρυούσης
Ἁγίων μέγιστα θήκης,
Μέροπες, δρέπεσθε πάντες.

XVII.

ΕΙΣ ΝΑΡΣΗΝ ΕΠΙΣΚΟΠΟΝ ΑΣΚΑΛΩΝΟΣ ΚΑΙ ΠΕΡΙ ΔΟΓΜΑΤΩΝ.

Ἄγε μοι λύρην, πολῖτα,
Νεερὴν τάχος δόνησαι,
Μέλος ὄφρα τερπνὸν εἴπω,
Γενέτην σοφὸν λιγαίνων.
Βιότου δὲ πάντα λέξω,
Πατρίδα, κλυτὸν τοκῆα,
Πόλιν ἔνθα νῦν νομεύει
Ἀγαθῇ θεοῦ προνοίᾳ.

Digitized by Google

Γενέτης μὲν ἔσκε Θωμᾶς,
Βροτὸς ὄλβιος τὰ πάντα,
Πόλις Ἀσίδος δὲ Ναρσῆν
Ἀγαθὸν τρέφε νόημα.
Δανιὴλ νέος προλάμπων
Σοφίην δίωκε σώφρων,
Διὸ καὶ δόμοις ἀνάκτων
Ἄγεται κρατεῖν δικαίως.
Ναετῶν ἀφθονίτη πᾶσα μολσῦσα
Ἱεράρχην ἱερῇ πηκτίδι μέλπας.
Ἐν ἀθεσφάτοιο βιοῦντα
Ἀρεταῖς ἄναξ δοκεύων,
Πόλιν Ἀσκάλου παρέσχεν
Ἱερὴν σοφῶς νομεύειν.
Ζάθεον νομῆα μέλπων
Πόθεν ἄρξομαι λιγαίνειν;
Ὅτι μου νόον πιέζει
Ἀρετῶν πλάτος τοκῆος.
Ζεφύρου πνέουσι κρεῖσσον
Ἀρεταὶ σοφοῦ νομῆος,
Ὅθεν ὡς κάμνος πεταζω
Πτέρυγας σοφῆς μελίσσης.
Θείκοῦ γάρ ἐστι πλήρης
Καρδίην φλέγοντος οἴστρου,
Ὅθεν ἐνθέῳ μερίμνῃ
Ἀγέλην σοφῶν νομεύει.
Σμύρνης ἀγαθὸς βλαστὸς ἀγνίῃ βρύει
Ναρσῆς, διὸ καὶ παῖδας ἀγνοὺς ἐκτρέφει.
Ἱερὸς πέλων τὰ πάντα

Digitized by Google

Δογμάτων πέφηνε κήρυξ
Ἀτρεκῶν καλῶν τε θείων,
Θεὸν εὐσεβῶς γεραίρων.
Καθαρὸν σέβας κρατίστης
Τριάδος σοφῶς διδάσκει,
Τρία μὲν πρόσωπα μέλπει,
Μίαν οὐσίαν δὲ πάντων.
Λόγον οὐ λέγει τακῆα,
Ἕτερον τὸ πνεῦμα μέλπει,
Ἵνα τῶν τριῶν προσώπων
Χύσιν ἐκφύγῃ κακίστην.
Μετὰ δὲ κλυτῶν τρισσώπων
Φύσιν οὐ θέλει διαιρεῖν,
Ὅθεν οὐδὲ τρεῖς κελεύει
Τριάδος φύσεις γεραίρειν.
Τριὰς ἦν εὐσεβείης, πάνσοφε Ναρσῆ,
Ναέτας γῆν νομίην αἰὲν ὀπάζει.
Νόος ὡς λόγον λοχεύει
Μερόπων φέρει τε πνεῦμα,
Θεὸν ὡς γόνον τεκόντα
Προφέρειν λέγει τὸ πνεῦμα.
Ξένον ἢ νέον τακῆος,
Γόνον ἢ γόνου τὸ πνεῦμα
Ἀποπέμπεται διδάσκειν
Φύσιν ἐς μίαν συνάπτων.
Ὅτε δὲ βροτὸς γενέσθαι
Γόνος ἤθελεν θεῖο,
Μόνος ἐν χθονὶ πρηΰλθε
Βροτὸς, οὐ λιπὼν τακῆα.

Digitized by Google

Παρὰ παρθένου δὲ σῶμα
Μαρὶης λέγει λαβόντα,
Δι' ὃ καὶ φύσεις ἀτρέπτους
Ἀλύτους δύο διδάσκει.
Φωσφόρον εὐσεβίης σώφρονα Ναρσῆν
Αἰὲν ἐς Ἀσκαλίην, Χριστὲ, φυλάσσοις.
Ῥύπον ἐκ βροτῶν καθαίρων
Τὰ βροτῶν ὑπῆλθε πάντα,
Τὸν ἁμαρτάδος δὲ μούνης
Ζυγὸν οὐ φέρεν, κακίης.
Σοφὸς εὐσεβῶς διδάσκων
Θάνεν, ὡς ἔφησε, Χριστὸς,
Τάχος ἐκ τάφων δ' ἀνέστη,
Θανάτῳ φθορὰν καθείρξας.
Τὸ βροτῶν ἔρεισμα Ναρσῆν
Δογμάτων τὸ τερπνὸν ἄνθος,
Τροφέα βλέπεις πενήτων,
Πάλιν ὀρφανῶν τοκῆα.
Ὑπὸ δ' ἐνθέου μερίμνης
Βλέπε καὶ ξένον νόημα,
Ἀδικουμένων ἀρωγὸν,
Σθένος ἀσθενῶν τε πάντων.
Τεκέων ἐκ κραδίης πάσας ὁ Ναρσῆς
Ἀπάτης ἀνδροφόνου ῥίζας ἀνέλκει.
Φιλέειν τὸν Χριστὸν οἶδεν,
Ἐρέει καλῶς διώκτην,
Κακίην κακῶς ποιεῦσιν
Ἀγνοεῖ φρεσὶν φυλάττων.
Χάριτος γέμων δὲ θείας

Digitized by Google

Γίνεται τὰ πάντα πᾶσιν
Ὁ σοφώτατός γε Ναρσῆς,
Ἵνα τοὺς ὅλους σαώσῃ·
Ψόγον ἐκφυγεῖν προσεύχου
Κακὴς ξένους, πολίτας,
Ἵνα τῶν ὅλων ἀμοιβὰς
Θεόθεν καλὰς κομίζοις.
Ψόγος ἐκπέσοι νομῆος
Ἅμα τε φθόνῳ κακίστῳ,
Ἵνα σὺν ξένῳ πολίτης
Ἐσαεὶ γελῶν χορεύοι.
Πτολίην Ἀσκαλίης μᾶλλον ἀείδω,
Ὅτι Ναρσῆν τεκέων εὖρε νομῆα.

XVIII.

ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝ ΣΤΑΥΡΟΝ.

Ἀσεβῶν χρόνος παρῆλθεν
Ἀγαθὴ χόρευε πίστις,
Ἀθέων νέφος ἐδάσθη,
Κιθάρη μέλισδε χάρμην.
Βαβυλὼν βάραθρον οἵτος
Ἐφάνη βροτοῖσι πᾶσιν,
Ἀθέων φύσουσα φύτλας,
Ἀνόμων τρέφουσα δήμους.
Γελόων βοῶ τὸν ὕμνον,
Θεὸν ἀξίως γεραίρων,
Ὅτι τὴν φίλην γαλήνην
Χρονίην δέδωκε κόσμῳ.
Δόμα γὰρ θεοῦ γαλήνη

Digitized by Google

Τελέθη μέγιστον, ἥ δε
Θεϊκῷ σθένει μολοῦσα,
Θεϊκῷ κράτει κρατοῦσα.
Ἐφάνη θεὸς κολάζων
Δι' ἁμαρτάδας κακίστας,
Ἐφάνη θεὸς σαώζων
Ἐλέῳ βρύων σὺν οἴκτῳ.
Ζόφος ἦν πάροιθε Μῆδος
Μερόπων γένη θερίζων
Δόρατι, ξίφει, βελέμνῳ,
Χαλεπωτάτῃ τε λύττῃ.
Θεϊκῷ χόλῳ στρατεύσας
Φλογερὴ πέφηνεν ἅρπη,
Διὸ καὶ πόλεις φλογίζει
Γλυκεροῖς ὁμοῦ πολίταις.
Ἱερὸν τρέπεσκεν ἄστυ
Ὅθι Χριστὸς ἔσχε τῶτμον,
Ὅτι Χριστὸς αὐτὸν ἦγεν
Ἰδίην πτόλιν σκυλεύσας.
Κρατερὴν πτόλιν κρατήσας
Νεκύων ὅλην γεμίζει,
Ποταμῷ πυρὸς δὲ πᾶσαν
Ὁ θεήλατος ἐκβλύζει.
Λάβε καὶ ξύλον θεοῖο
Τὸ θεοῦ μέγιστον ὅπλον,
Τὸ βροτῶν κράτιστον ἔρμα,
Τὸ παθῶν φέριστον ἄλκαρ.
Μόνον ἐν πέτρῃ γὰρ ἔστη
Κρανίου θεὸν προφαῖνον,

Digitized by Google

Μόρον εὐθέως κατέκτα
Ἅμα δαίμοσι κακίοις.
Νενεκρωμένοις βροτοῖσι
Θανάτῳ, φθορᾷ κακίοις,
Βροτέην κράτιστα βλύζει,
Θανάτου κράτος πατοῦσαν.
Ξύλον ἦν, πατὴρ ὀλέθρου
Ὅτ' Ἀδὰμ τρύγησε βρῶσιν,
Ξύλον ἦν, φονεὺς ὀλέθρου
Ὅτε Χριστὸν ἔσχεν ἥλοις.
Ὅθεν ὡς πέδον γε Πάρθου
Ξύλον εἴσιδεν Θεοῖο,
Τότε Χοσρόην φονεύει
Ὁλοῶν κρατοῦντα Μήδων.
Πολέμῳ γὰρ ἦν γενάρχης
Ὁ κακὸς κακῶν ἀνάσσων,
Γλυκερῆς δὲ τῆς γαλήνης
Κρυερὸς πέλεν διώκτης.
Ῥᾷον ἐκ βίου κυλίσθη
Ὁ βίσιν κλόνοις ταράττων,
Ὁ φόνων τὰ πάντα πλήσας
Φονικοῖς ξίφεσσι πίπτει.
Σοφὸν ἰκρίον Θεοῖο
Τόδε τὸ τρόπαιον ἔζη
Κατὰ βαρβάρων βιαίων,
Κατὰ Χοσρόου κακίσου.
Τότε καὶ θάλος γαλήνης
Ἐπὶ γῆς προῆλθε πάσης
Πολέμων πατρὸς πεσόντος,

Digitized by Google

Γενέτου κλόνων δαμέντος.
Ὑπὸ δὲ κλυτῆς γαλήνης
Θεόθεν βροτοῖς μολούσης,
Μεγάλης παῖς τε Ῥώμης
Ἐπιτέρπεται κρατίστως.
Φόβον ἐκβαλὼν διώκτου
Ἀφόβως ἐσεῖδε πάτρην,
Ὁ φυγὼν πτόλιν τυκήων
Ὁρᾶται πάλιν πολίτης.
Χαρὰν ἱκρίου λαβόντες
Ἁγίου θεῖο παῖδες
Ἐς ἑοὺς τόπους μολοῦντες,
Ἐς ἑοὺς τρέχουσιν οἴκους.
Ψόγος ἐκνόμων ἑβραίων
Ἐὰς ἐς κάρας τρεπέσθω,
Ὅτι τὸ ξύλον θεῖο
Μόλεν εἰς πτόλιν θεῖο.
Σταυρὸς ἐς εὐσεβέων γαῖαν ἀπήχθη,
Εὐσεβέων μερόπων χαίρετε φῦλαι.

XIX.

ΕΙΣ ΤΗΝ ΑΝΑΔΗΨΙΝ ΚΑΙ ΕΙΣ ΕΑΥΤΟΝ.

Ἀπὸ δὲ κλυτοῦ διαύλου
Ἀναβὰς ἐκεῖνα βάθρα
Ἐλαῶν ὄρος φιλήσω,
Ὅθεν ἐς πόλους ἀνῆλθεν.
Βάθος ἄπλετον δὲ θείας
Σοφίης, δι' ἧς με σῶσεν,
Λίαν αἰνέσας, ἐκεῖσε

Digitized by Google

Ταχέως πάλιν δρομήσω.
Γεραρούς ὅπου τὰ θεῖα
Ἑτάρους ἐμυσταγώγει,
Κρυφίους βυθοὺς φαείνων
Ὑπὸ τὸ σέγος γενοίμην.
Διὰ τῆς θύρης μεγίστης
Ἐπὶ βαθμίδας προήκων,
Πόλιος δύσει προσούσης
Ἁγίης ἴδοιμι κάλλος.
Εὐπρεπέην ὁράαν ὡς γλυκὺ σεῖο
Οὔρεος ἐξ ἐλαῶν, ἄστυ θεοῖο.
Ἐπὶ Λαζάρου δὲ τύμβον
Τετραημέρου νεκροῖο
Διαβὰς, ἄνακτι δόξαν,
Ὅς ἔγειρε τόνδε, δοίην.
Ζέσιν ἱμέρου δὲ θείου
Φρεσὶν ἰσχάνων, ἱκοίμην
Τάχα Βηθλεὲμ πολίχνην
Ὅθι παντάναξ ἐτέχθη.
Ζαθέου τετραστόου δὲ
Ἄγαν ἐκπρεποῦς τρικόγχου
Μέσον ἐσμολῶν ἐκείνου
Ἱεροῦ δόμου χορεύσω.
Βηθλεὲμ εὐαγέος κάλλεα δέρκειν
Χριστὸς ὁ κεῖθι φανεὶς πάντα με νεύσαι.
Θαμὰ χρυσοφεγγέας τε
Ὀρόων στύλους τε μούσης
Μάλα καλλίτευκτον ἔργον,
Ἀχέων νέφους λαθοίμην.

Digitized by Google

Ἰδὲην ἄνω δὲ βλέψω
Καλάθωσιν ἀστροφεγγῆ,
Ἀπὸ καλλιεργίας γὰρ
Χάρις οὐρανοῖο λάμπει.
Κατὰ τὸ σπέος γενοίμην,
Ὅθι παντάνασσα κούρη
Τέτοκε βροτοῖσι ῥύσην
Θεὸν ἀτρεκῶς βροτόν τε.
Λιπαρῇ πλακὶ προθήσω,
Θεὸν ἢ βρέφος δέδεκτο,
Βλέφαρα, στόμα, κράνος τε
Κομίσαι χάρισμ' ἐκεῖθεν.
Μεγακυδέος δὲ φάτνης
Ἐπὶ προσκύνησιν ἔλθω,
Ἄλογος δι' ἧς ὑπάρχων
Ἐτράφην λόγῳ θεοῖο.
Νεκύων ἐς ἄντρον εἶξω
Βρεφέων ἅμα σφαγέντων
Γενέσει λόγου βροτείῃ,
Ἡρώδου φθόνῳ μανέντος.
Ὦ Βασίλειε πάτερ, λῶσε νεήμων,
Αἴθε τεὴν κορυφὴν ἄρτι φιλοίην.
Ξυνετῷ λεῷ τε κλήρῳ,
Ὁσίοις ἐπισκόποις τε,
Μοναχῶν προηγέταις τε
Ἐμὸν εἴσιδω πατράρχην.
Ὃς ἐμοῦ γένους ὑπάρχει
Ἅγιον φέριστον ἔρνος,
Βασίλειος ὁ πραΰφρων,

Digitized by Google

Ὁ λίαν σεβάσμιός μοι.
Οἶσθα, μάκαρ, τίνος σὺν εἵνεκα, σεῖο
Μνήσατο θυμὸς ἐμὸς τῷ δε γε χρόνῳ.
Παπίδων ἐμῶν τὸ χάρμα,
Τειέων ἐμῶν τὸ κάλλος,
Σοφίης ἄγαλμα, ποῦ σε
Σωφρόνιε σῶφρον εὕρω;
Σωφρονίου γεραρὴν ὄψιν ἰδοίμην,
Ὃν παθέω γοόων ἵματα πάντα.
Ῥόος ὀμμάτων ἐμοῖο
Δακρύων ἀποδακρύει νῦν,
Ὅταν ἐς λογισμὸν ἔλθω
Ταχέως ἐκὰς ζενάζων.
Σὲ γὰρ ὁ φίλος τέκος τε
Πατέρα, σχέσει τε θείᾳ,
Ἐθέμην παρηγορεῖν με,
Διέπειν βίῳ τε γῆρας.
Τίπτε λάθου, γλυκερὸν τέκνον, ἐμεῖο
Ἐν μοναχοῖς, ὃν ἔθου παῖδα κομίζειν;
Τὸ πολύπλοκον δὲ πλῆθος
Ὅτε συμφορῶν συνέσχεν,
Τότε σοι φίλ' ἐτερίσθην
Πολιὴν ἔχων ἀνιγρήν.
Ὑλικὸν βίον λιπὼν γὰρ
Ἅμα σοι βιοῦν τε θνήσκειν
Ἐφάμην· τρόπῳ δὲ πείῳ,
Θεὸς οἶδεν, ᾧ διέστην.
Φρονέων πάλαι γὰρ ὄντως
Ἐνὶ φιλτάτῃ γε Λαύρῃ

Digitized by Google

Μέχρι τέρματος διάξειν
Ἔκαθεν κλόνοιο κόσμου,
. . . . . .
. . . . . .
. . . . . .
Στὰς δ' ὅσας ὑπέστην.
Ψαμάθου πλέον γὰρ εὗροις
Κραδίης ἐμῆς ἀνίας,
Ἔδαφος διάβροχόν τε
Ἔτι δακρύοις ἐμοῖσι.
Τόγε μὴν ἄεισμα τοῦτο
Ἀνέθηκά σοι ποθοῦντι,
Καθ' ὅλην φυλὴν Συρίης
Ἐμέθεν πόνους ἀείδειν.

XX.

ΕΙΣ ΤΟΝ ΠΟΘΟΝ ΟΝ ΕΙΧΕ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΟΛΙΝ ΚΑΙ ΕΙΣ ΤΟΥΣ ΣΕΒΑΣΜΙΟΥΣ ΤΟΠΟΥΣ.

Ἅγιον πόλισμα θεῖον
Ἱερουσαλὴμ τ' ἐς νῦν δὴ
Ἐθέλων πύλας παρεῖναι
Ἵν' ἀγαλλιῶν ἐσέλθω·
Εὐαγέων Σολύμων ἔνθεος εἴστρος
Αἰὲν ἐμὴν κραδίην σφόδρα δαμάζει.
Βαδιῶν ἐπὶ πλακῶν σου
Ἐς Ἀνάστασιν κατέλθω,
Ὅθι παντάναξ ἀνέστη
Θανάτου κράτος πατήσας.
Γλυκερὸν πέδον φιλήσω,

Digitized by Google

Ἱερὸν κίβον κατείδω,
Μέγαν οὐρανοῦ τε
Τετρα . . . .
Διὰ βήματος θεῖο
Μέσον ἐς τάφος θεᾶο
Γεγονὼς, πέτρην ἐκείνην
Μάλα προσκυνῶν φιλήσω.
Ἐπαναξίου δὲ τύμβου
Κίονας κύκλῳ τε κόγχας
Ἀκροκρινοχρυσομόρφους
Φιλέων, ἄγαν χορεύσω.
Ἐπὶ τριστῷον παρέλθω
Ὁλομαργαρογυρόχρουν,
Περικαλλέως γ' ἔπαυλον
Κρανίου τόπον προσέρπειν.
Ὠκεανὸς βιστῆς αἰὲν βιεύσης,
Ἀτρεκέως τε λήθης, φῶσφορε τύμβε.
Ζάθεον μεσόμφαλόν τε
Πέτραν ἐκταθεὶς φιλήσω,
Ὅθι τὸ ξύλον πεπήγει
Τὸ λύσαν ξύλου κατάραν.
Ὡς μέγα σεῖο κλέος, φαίδιμε πέτρα,
Σταυρὸς ὅπη μερόπων λύτρον ἐπήχθη.
Θαλέων χαρᾷ δ' ἐπέλθω
Ὅθι προσκυνοῦμεν ἔσσοι
Πέλομεν λεὼς θεῖο
Ἀγλαὸν ξύλον τὸ θεῖον.
Ἵνα παμμέδων ταχύνας
Κεχαραγμένῃ γραφῆς

Digitized by Google

Σέβας εἰκόνι προσοίσω,
Γόνατα δράμοιμι κάμψαι.
Κατὰ παμφαὲς δὲ βῆμα
Γεγανυμένος πορευθῶ,
Ξύλον εὖ τὸ θεῖον εὗρεν
Ἑλένη μέθουσα κεδνή.
Μετὰ κραδίης δὲ πλήρους
Κατανύξεως ἀνέλθω
Ὑπερῶον θεοῦμαι
Κάλαμον, σπόγγαν τε, λόγχην.
Νεαρὸν δ' ἔπειτα κάλλος
Βασιλικὴν εὖ κατείδω,
Μοναχῶν ὅπου χορεῖα
Νυχίους τελοῦσιν ὕμνους:
Σὺν ἐμοῖς δρόμοις ποσίν τε
Ἐπὶ τὴν Σιὼν ἀπέλθω,
Ὅθι γλωσσοπυρσόμορφος
Κατέβη χαρὰ θεοῖς.
Ὅθι μυσταὶ δὲ δεῖπνον
Τελέσας ἄναξ ἁπάντων,
Ὀπαδῶν ἔνιψεν ἴχνη
Μετριοφρόνως διδάσκων.
Χαῖρε Σιὼν, φαέθων ἅλιε κόσμου,
Ἣν παθέων στενάζω νύκτωρ καὶ ἦμαρ.
Ῥαγὲν ὡς ἀφῆκεν ᾄδου
Νεκάδας σοφῶδες ἔργῳ,
Τότε παντάναξ ὁ ῥίζας
Ἐφάνη φίλος ἐκεῖσε.
Σκοπιὴν λιπὼν Σιώνδε,

Digitized by Google

Περιφὺς πέτρην ἐφ' ἥνπερ
Δι' ἐμ' ὁ πλάσας ἐτύφθη,
Δόμον ἐς πέτραν κατέλθω.
Τόπον, οὗ κλάων ζενάζω
Σοφίης φίλων ὁ πρῶτος
Ἐὸν ἔκλυσε τὸ πῆμα,
Χαμάδις πεσὼν φιλήσω.
Χαμόθεν φέρειν ἐκείνην
Πάρετος κλίνην βεβήκει
Ὑγιὴς λόγου κελεύσει,
Βάσιν οὖν ἴδοιμι κείνην.
Πρεσβατικῆς ἁγίης ἔνδοθι βαίνω,
Ἔνθα τέκεν Μαρίην πάγκλυτος Ἄννα.
Φέρε δὴ, μάτην μετέλθω
Ἀγορῆς μέσης ὁδεύων,
Ὅθι πατρικῆς ἐτέχθη
Θαλάμοις ἄνασσα κούρη;
Ψυχοτερπέως τρυφείην
Τεμένους δ' ἐπὰν τὸ σῶμα
Τὸ δεδεγμένον τὸ σῶμα
Μαρίης θεὸν τεκούσης.
Ποταμῶν δόκην ἰάσεις
Ἀπὸ τῆς πέτρης ἐκείνης,
Θεόπαις, ὅπου τανύσθη,
Μαρίη βρύουσα πᾶσιν
Ὑποδὺς νεὼν νεώνδε
Θεομήτορος πανάγνου,
Φιλέων περιπλακείην
Ἐρατοὺς ἔμιγε τοίχους.

Digitized by Google

Γεθσημανῆ τέμενος λαμπρὸν ἀείδω
Ἔνθα τέτυκτο τάφος μητρὶ θεῖο.
Ὦ γλυκὺ πλεῖστα πέλεις ἔξοχον οὖρος,
Χριστὸς ὅθεν μεδέων οὐρανὸν ἦκεν.

XXI.

ΕΙΣ ΤΟΝ ΠΑΠΠΟΝ ΜΗΝΑΝ ΤΟΝ ΟΙΚΟΝΟΜΟΝ ΤΟΥ ΕΝΝΑΤΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΣΥΚΟΦΑΝΤΗΘΕΝΤΑ ΕΠΙ ΦΩΚΑ ΟΤΙ ΘΕΟΔΟΣΙΟΝ ΤΟΝ ΥΟΝ ΜΑΥΡΙΚΙΟΥ ΕΔΕΞΑΤΟ.

Ἄγε μοι λύρην προφῆτα,
Ἄγε τύμπανον δόνησαι,
Μαρίη, ὅπως ἀείσω
Τριάδος κράτος γεραίρων.
Τριάδι ζωοτόκῳ κῦδος ἀγείρω
Πατέρος θεσπεσίου λύτρα λιγαίνω.
Μετὰ κυμβάλων χορεύων
Τριάδος κλέος λιγαίνω,
Πατρὸς τὰ λύτρα μέλπων.
Βλαβερὸν στόνεν γὰρ ἦρεν
Καρδίης ἐμῆς μελόντα,
Γλυκερὴν χαρὰν δὲ δῶκεν
Στοναχῶν ἐμῶν διώκτην.
Γενέτης ἐμὸς θεόπτης
Γενέτης πέλεν πενήτων,
Ὁσίων ἔρεισμα Μηνᾶς
Γενέτης ξένων τε πάντων.
Διὸ δὴ θρακῶν ἀλάζωρ

Digitized by Google

Ἀρετῶν ἐμοῦ τοκῆος
Κλέος οὐ φέρων, ἐτ' αὐτὸν
Φθονερὸν τίνασσε τόξον.
Ἕνα δὲ φθόνος κακίζου
Νοερῶν ἐμῶν ἀδελφῶν
Ἐσεῦ τάχιστα, Μηνᾶς
Ὄφεως πεσὼν φαρέτρῃ.
Ζακότῳ τάλας προῆλθεν
Κραδίῃ φθόνον κορύσσων,
Νέος εὑρέθη τ' Ἰούδας
Γενέτην θέλων ὀλέσσαι.
Ἀγαθῶν ἐκ πατέρων βλαχὸς ὑπάρχων
Βελίου πῶς στυγερὸς πάϊς φαάνθης;
Ἀγαθοῦ φανεὶς τοκῆος,
Φθονερὸν τέκος κακίστου
Βελίου πόθεν φαάνθης;
Θεϊκὸν λόγον προφήτου
Τελέει, φαγὼν γὰρ ἄρτον
Γενέτου τάλας, κατ' αὐτοῦ
Πόδας ἀθλίους ἐπῆρεν.
Ἱκανὸς φθόνον δὲ θρέψας
Κατὰ θεσφάτου τοκῆος,
Μεθ' ἑταιρίδος κακίστης
Δολίους συνῆρε σείστρους.
Ψευδοκατηγορίην πατρὶ τεκόντι
Ἀντὶ τεκνοτροφίης σεῖο λοχεύεις;
Δολίην τέχνην τοκῆϊ,
Τέκος ἄθλιον, λοχεύεις,
Γλυκερῶς ἐπεὶ σ' ἔθρεψεν;

Digitized by Google

Κρατεροῦ δ' ἄνακτος ἐχθρὸν
Νεκύων δόμον λιπόντα,
Ἐνὶ δώμασιν τοκῆος
Ἱεροῖς λέγων φανῆναι.
Λόγον ἄστατόν γε τοῦτον
Ἀτρεκὲς τάλας διώξας,
Διὰ φληνάφου γυναικὸς
Φαρίης ἔφη κρατοῦντι.
Ἔρρε πατροκτασίην, ἄθλιε κοῦρε,
Ἀντὶ τεκνοτροφίης πατρὶ λοχεύων.
Μετὰ δὲ βδέλυγμα μύθων
Δολομηχάνων γε τούτων,
Ὁ ἐμὸς πατὴρ ὁ πρᾶος
Ἐνὶ χειμάσιν κατέστη.
Νομίσας τε γὰρ πυθέσθαι
Ἀτρεκεῖς λόγους ὁ ἄρχων
Μετὰ λοιδόρων ἀλιτρῶν
Γενέτην ἐμὸν συνέσχεν.
Ὁ θεὸς τῶν πατέρων ἓν σὺ γεραίρεις,
Σὲ, πάτερ, σεῖο τέκνεις θᾶττον ὀπάζει.
Ἀγαθὸς θεὸς τοκήων
Γενέτην, τάχος σαώσας,
Γλυκεροῖς τέκνοις ὀπάζοι.
Ξεναγὸν τ' ἐμὸν τοκῆα
Φθονεροῖς ὁμοῦ φιλήρῳ
Φαρίης ἔπεμψε δήσας,
Βασιλεῖ δίκην ὑφέξειν.
Ὁ δ' ἄναξ ἐμὸν τοκῆα
Μετὰ δυσμενῶν ἐπαρχῶν

Digitized by Google

Ἱερῷ πέπομφε Κοσμᾷ
Ἀτρεκὲς θέλων πυθέσθαι.
Πρόμαχος δίκης κολάζων,
Στυγεροῦ φθόνου τοκεῦσιν
Ὁ σοφώτατός γε Κοσμᾶς
Ἀτρεκὲς λέγειν διδάσκειν.
Ῥοὸς εὔλαλός τε σώζειν
Ἀτρεκεῖς λόγους φιλοῦντας,
Θανέειν δ' ἔφη κακίσως
Δολίους λέγοντας ὕθλους.
Ψευδοκατηγορίην θᾶττον ἐλέγξας,
Χριστὲ, πατρὶ γλυκερῷ λύτρον ὀπάζοις.
Ὁ θεὸς, τάχιστα τέχνην
Δολίην καλῶς ἐλέγξας,
Γενέτην φίλον σαώζοις.
Στυγερὸν φόβον, δ' ἐλόντες
Κραδίῃ φθόνον, τοκῆα
Δίχα τυμμάτων ἐπαρχῶν
Δολίων ἔλεγξαν εἴστρῳ.
Τότε δὴ φθόνον φανέντα
Δολίην τέχνην τε πᾶσαν,
Ὁ κλυτὸς τὰ πάντα Κοσμᾶς
Βασιλεῖ διῆλθε θείῳ.
Ὑπὸ δ' ἀφθίτου θεσίο
Κραδίην ἄναξ ἀέξων,
Φθόνον εὐθέως ἐπιγνοὺς
Κρίσιν ἔνθεον παρέσχεν.
Φθονερούς δίκην παρέξειν
Δολίης τέχνης κελεύσας,

Digitized by Google

Γενέτην τ' ἐμὸν κελεύει
Ἀπὸ χειμάτων ἀλύξαι.
Ὦ πάτερ, εὐσεβὴς εἶνεκα σεῖο
Ψυχοκλόνου σε Θεὸς σῶσεν ἀνάγκης.
Ἀρετῶν τεῶν τὸ πλῆθος
Θεὸς, ὦ πάτερ, νοήσας
Στυγεροῦ μόρου ἔσωσεν.
Χαλεποῦ φθόνου πεσόντος
Γοερὸν νέφος καλύφθη,
Δακρύων χρόνος παρῆλθεν
Πατέρος φίλου θανόντος.
Ψύθος ὤλετο προνοίη
Θεϊκῆς. δίκης μολούσης,
Ἀπὸ γὰρ Θεοῦ προνοίης
Γενέτευ χάρις φαάνθη.
Στονάχων σῶν τεκέων Χριστὸς ἀκούσας,
Γενέτην ἐξ ἀδίκου ῥύσατο πότμου.
Στονάχων τεῶν ἀκούσας
Τεκέων Θεὸς τακῆα
Ἀδίκου φύλαξε πότμου.

XXII.

ΕΙΣ ΤΟΝ ΚΥΡΙΝ ΠΑΥΛΟΝ ΤΟΝ ΚΑΝΔΙΔΑΤΟΝ ΚΑΙ ΜΑΡΙΑΝ ΤΗΝ ΜΗΤΕΡΑ ΑΥΤΟΥ ΚΟΙΜΗΘΕΙΣΑΝ ΕΝ ΚΥΡΙΩ.

Παῦλος.

Ἀγαθοῦ πεσόντος ἔρκους,
Μαρίης ἐμῆς τεκούσης,
Τίνα τὸν γόον τελέσσω;

Digitized by Google

Τίσι δακρύων ῥείθροις;
Τίπτε τεὸν, Μαρίη, κάλλιπες ὖια
Ποντοπορεῖν βιότου κύματα μοῦνον;
Βλαβεραὶ πνέουσιν αὖραι
Ἀφ' ἁμαρτάδος φαράγγων,
Βιότου σκάφος βροτοῖσιν
Ὑποπόντιον ποιοῦσαι.
Γνόφος ἔσχατος κακοῖσι
Ἀφ' ἁμαρτάδων ὀμίχλης
Ἀποίκτεται πραβαίνων
Βίον ἐσχάτως ταράττειν.
Διὸ νῦν ἐμοί γε Παύλῳ
Βιότου πλέοντι πόντου
Ἐδέχθη γνόφος, Θυέλλη
Ταραχοὺς τροφὰς κόμιζων.

Μαρία.

Ἐδάης ἅπαντα, τέκνον,
Ὅσα γῆς ὕπερθεν ἕρπει
Ὅτι περ νόμοισι φύτλης
Θανάτου φθοραῖς συνῆπται.
Χριστὸν ἄγων βιότου σύμπλοον ἅλμης,
Χείματος οὐ τρομέεις ἔντρομον αὔρην.
Ζυγὸν ἐνδέδωκε πᾶσιν
Ὁ πάλαι Θεὸς ποιήσας
Ἀπὸ γῆς φύσιν λαβοῦσιν
Ἐπὶ γῆν πάλιν βαδίζειν.
Θεὸς οὖν ὁ ταῦτα τεύξας
Ἐμὲ τὴν πάλαι γεγῶσαν
Θανέειν κέλευσιν, ἄρτι

Φύσεως νόμους τελοῦσαν.

Παῦλος.

Ἰαχὴν ἴαλλε, Μῆτερ,
Μέγα μοι τρυγῶντι πένθος,
Ἀχέων ὅπως τὸν ὄγκον
Ἀπ' ἐμῶν φρενῶν σκεδάσσω.
Ἀσπίδος ἡμετέρης σεῖο πεσούσης,
Ἀντιβίων με δέος δάμνα βελέμνων.

Μαρία.

Κραδίης στέρησιν οἶμοι
Φίλε παῖ τεὴν ἀρείην
Σθένος οὐκ ἔχει κομίζειν
Ἐσαεὶ κακῶς στροβοῦσαν.
Λόγον ἐκτελεῖν συνῆθε
Καθαρὸν νέφος ἀνίης,
Διὰ σὸν μέγιστον ἄλγος
Μέρος ἡ τάλαινα λεῖψεν.

Παῦλος.

Μερόπων κάκιστα τόσσα
Πάθεν οὐδὲ εἷς ἁπάντων,
Διό με στόνος δαμάζει
Βιότου κλόνον σκοποῦντα.

Μαρία.

Νόον ἐς θεὸν τιταίνων,
Γόνε, τὸν γόνον θεοῖο
Τῶν ὅλων καλῶν νομῆα
Νοεροὺς λίκνους ἀλύξοις.
Τεῖχος ἔχεις κρατερὸν, γοῦνε, τεκοῦσης
Χριστὸν, ὃς ἀντιβίων ἔθλασε κόρσας.

Digitized by Google

Ξένα δόγματα βδελύττου
Ἅμα πᾶς κακοῖς τακεῦσιν,
Ὅσα περ δόμου Θεῖο
Ἀπελαύνεται νομεῦσιν.
Ὅλος εὐσεβὴς φαείνου
Καρδίην σοφῶν καθαίρων,
Θεὸν ἀξίως γεραίρας
Πραπίσιν, λόγοισιν, ἔργοις.
Πολιοῖς γένυσι ῥάβδος,
Ἀτορουμένοισιν ὄλβος,
Νοσεροῖς ἄκος προλάμπεις,
Ἀδικουμένοισιν ἔρκος.

Παῦλος.

Ῥυπαρῶς ἀεὶ βαώσας
Ῥυπαρὸν φέρω τὸ βλέμμα
Ὅθεν ἐς Θεὸν νοῆσαι
Ἀπορῶ τοῦ σοῦ γε θάρσους.
Ἐκ μακάρων στενάζεις Παῦλος ἐτύχθην,
Μῆτερ ἐμὴ σταθερὴ, σεῖο θανούσης
Σὺ δὲ δὴ πάρος τεκοῦσα
Ἐπὶ γῆς ἐμοὶ παροῦσα,
Πέλες ἄγκυρα κρατίστη
Θεὸν ἵλεω ποιοῦσα.
Τὰ σὰ γὰρ φέριζα πάντα
Βίος εὐσεβὴς θεόφρων,
Καθαραὶ λιτῶν πορεῖαι
Ἐμὲ πρὸς Θεὸν συνῆπτον.
Ὑπὸ δὲ σκέπην μεγίστην
Τελέων τεῶν λιτάων,

Digitized by Google

Θεὸν εἶχον εὐνοοῦντα,
Βίον εἶχεν εὐδρομοῦντα.
Παῦλος ἐγὼ στονόεις πῶς ἐφαάνθην,
Μῆτερ ἐμὴ γλυκερὴ, σεῖο θανούσης;

Μαρία.

Φάος εἰσορᾷν θεῖο
Ποθέειν ἔχειν τε θάρσος,
Φίλε παῖ, φίλον θεῖο
Ἱερὸν βίον διώκοις.
Οὐρανίης Τριάδος παγκλυτον εὖχος,
Κοῦρε, σὲ παρ χθονίοις ὄντα σαώσει.
Χαρίης θεῷ φανήσῃ
Ἀπὸ πράξεων ἀλιτρῶν
Ἐπὶ θέσκελον διαίτην
Πάλιν ἐσιῶν προθύμως.
Ψόγον εἰ φύγοις δὲ φλαῦρον
Τὸ ἁμαρτάδων ὀπηδὸν,
Θεὸν εἰσίδοις ἀπαύστως
Ἐπὶ σὸν βίον σκοποῦντα.
Ἀθανάτου Τριάδος παγκρατὲς ἕρμα
Ἐκ θανάτου σε λυγροῦ, κοῦρε, σαώσει.

ΤΕΛΟΣ ΤΩΝ ΤΟΥ ΑΓΙΟΥ ΣΩΦΡΟΝΙΟΥ
ΑΝΑΚΡΕΟΝΤΕΙΩΝ.

Digitized by Google

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ ΣΩΦΡΟΝΙΟΥ

ΤΡΙΩΔΙΟΝ.

Ὠδὴ. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Πυρποληθέντα ἡδοναῖς, καὶ τὸ ὁπλικὸν ἀμαυρωθέντα, τῷ πυρὶ τοῦ σοῦ φόβου ἀνακαινίσας, Χριστὲ, φωτί με σωτηρίας κῦγασον, ἵνα σε δοξάζω εἰς πάντας.

Κόρον μισήσασα παθῶν, ἐστιάθητι καλῶν τῇ παροικίᾳ· καὶ ἡδύνθητι μᾶλλον, τῇ ἐκ νηστείας τρυφῇ, πικρίας ἡδονῶν ἐκκλίνασα, ταπεινὴ ψυχή μου, καὶ ζήσεις εἰς αἰῶνας.

Πεπωρωμένος τὴν ψυχὴν, καὶ τῇ μέθῃ τῶν κακῶν ἐσκοτισμένος, οὐδαμῶς ἀτενίζω, πρός σε τὸν μόνον θεόν· διό με οἴκτειρον καὶ φώτισον, καὶ τῆς μετανοίας ὑπάνοιξόν μοι πύλας.

Ἡ οὐρανώσασα ἡμῶν τὴν γεώδη καὶ φθαρτὴν, ἁγνὴ, οὐσίαν τῇ θερμῇ σου πρεσβείᾳ· κατευθυνθῆναι ἡμῶν ἐντεύξεις, καὶ δεήσεις ποίησον πρὸς τὸν σὸν καὶ πάντων θεὸν καὶ βασιλέα.

Ὅτι ἐγώ εἰμι ὁ ἐν θαλάσσῃ.

Νῆψον, γρηγόρησον, ςέναξον, δάκρυσον· διὰ νηςείας ὅλον, τῆς ἁμαρτίας τὸν φόρτον, ψυχὴ, ἀπόῤῥιψον· τῇ θερμῇ μετανοίᾳ, ἀπόφυγε τὸ πῦρ· καὶ διὰ πένθους, τῶν παθῶν τὸν πενθήρη χιτῶνα διαῤῥῆξον, τὴν στολὴν τὴν θείαν λαμβάνουσα.

Ὄρει προσέλθωμεν ἀρίστων πράξεων· διὰ νηστείας πάντες, τὰς χαμαιζήλους λιπόντες τῶν ἡδονῶν προσβολὰς, καὶ εἰς γνόφον εἰσδύντες σεπτῶν θεωριῶν, μόνον ὀψώμεθα Χριστοῦ τὸ ἐράσμιον κάλλος, θεούμενοι μυστικῶς θείαις ἀναβάσεσιν.

Οἴμοι τίς γέγονα; τί διαπράξομαι; τὴν ἁμαρτίαν πράττων, καὶ τὸν δεσπότην οὐ φρίττων ὁ ἀσυνείδητος· διὰ τοῦτο πρὸ δίκης κατάδικος εἰμί, δικαιοκρίτα ἀγαθὲ· ἐπιστρέψας με σῶσον, τὸν ὑπὲρ πάντας βροτοὺς σὲ παραπικράναντα.

Ἡ ἀγεώργητος γῆ, ἡ βλαστήσασα τὸν τοῦ παντὸς τροφέα,

Digitized by Google

τὸν ὑπανοίγοντα χεῖρα, καὶ εὐδοκίᾳ αὐτοῦ ἐμπεπλῶνα πᾶν ζῶον ἰσχύϊ θείᾳ, στήριξον ἄρτῳ ζωτικῷ πεπειμένας παρδίας τῷ κόρῳ τῶν δυσχερῶν ἡμῶν παραπτώσεων.

Τὸν ἐν τῇ βάλῳ Μωϋσεῖ.

Ὕπνον ἀπόβλ ψυχὴ τῆς δεινῆς ῥᾳθυμίας, καὶ προθύμως γρηγόρει πρὸς τὰς θείας ἐντολάς· ἐγγίζει ὁ νυμφίος· λαμπαδηφόρος σπεῦσον αὐτῷ προσυπαντῆσαι.

Τραυματισθέντα δεινῶς ἡδονῆς τῇ ῥομφαίᾳ, τῇ μωτώσει οἰκτίρμον τῆς εὐσπλάγχνου ῥοπῆς σου· ἴατρευσόν με λόγε, ὅπως σε εὐχαρίστως δοξάζω εἰς αἰῶνας.

Ἀπὸ παθῶν βλαβερῶν, ἀπὸ φθόνου καὶ ζήλου, ἀπὸ πάσης κακίας ἐγκρατεύσῃτε ψυχὴ σιτίοις τρεφομένη τοῖς τὴν τρυφὴν τὴν ἄνω ἀύλως προξενοῦσι.

Θεογεννήτορ ἁγνὴ, τῆς ψυχῆς μου τὰ ἕλκη, καὶ καρδίας τὰ πάθη, καὶ νοὸς τὰς ἐκτροπὰς θεράπευσον, ὡς μόνη ἁμαρτωλῶν βοηθὸς, καὶ πορθουμένων τεῖχος.

Τῶν γεγενῶν τίς ἤκουσε τοιοῦτο.

Τῶν γεγενῶν τίς οὕτως ὀλισθήσας, θεὸν παρώργισε ποτέ; τίς ταῖς ὁρμαῖς τῆς κακίας ἐπηκολούθησε, καὶ καταγώγιον ὤφθη τῆς ἁμαρτίας, ὥσπερ ἐγὼ ὁ τάλας; ἀλλ' ὡς θεὸς, ὁ θελητὴς τοῦ ἐλέους σύ με οἴκτειρον.

Θεοειδῶν ἀγγέλων αἱ δυνάμεις τὸν εὐδιάλλακτον θεὸν ἐκδυσωπήσατε, σῶσαι ψυχὴν εἰς πέλαγος βιωτικῶν νηχομένην, καὶ τρικυμίαις παθῶν χειμαζομένην, καὶ προσβολαῖς, τῶν ἐναντίων πνεύματων κινδυνεύουσαν.

Δεῦρο ψυχὴ, πτεροῖς κουφιζομένη, διὰ νηστείας ἀρετῶν, τῆς χαμαιζήλου κακίας ὑπερανάστηθι, καὶ θεωρίαις ἐντρύφα ταῖς ἀνωτάταις· τρυφὴν ταῖς προξενούσαις τῶν ἀγαθῶν, θεοειδὴς γενομένη διὰ πίστεως.

Τίς ἀκουστὰς ποιήσει τὰς αἰνέσεις σοῦ τῆς τεκούσης ὑπὲρ νοῦν τὸν αἰνετὸν καὶ δεσπότην, ἁγνὴ, καὶ κύριον, ὃν περ αἰνοῦσιν ἀγγέλων ταξιαρχίαι; αὐτὸν οὖν ἐκδυσώπει ὑπὲρ λαοῦ ἁμαρτηκότος, παρθένε ἀπειρόγαμε.

Digitized by Google

Ἐξήνθησεν ἡ ἔρημος.

Σταυρώσωμεν τὰ μέλη δι' ἐγκρατείας· νήψωμεν εἰς προσευχὰς ὡς γέγραπται, καὶ κατ' ἴχνος πολιτευσώμεθα τοῦ παθόντος καὶ πάθη θανατώσαντος.

Ἐμέσαντες τὴν ἔμπικρον ἁμαρτίαν, σπεύσωμεν τῷ τὴν χολὴν θελήματι γευσαμένῳ εὐαρεστῆσαι Χριστῷ, τῷ σταυρῷ καθηλόντι τὸν ἀρχέκακον.

Συνήθειαν λαβοῦσα ἡ ἁμαρτία ἕλκει με εἰς παντελῆ ἀπώλειαν· ἀλλὰ σύ με ταύτης ἐκλύτρωσαι τῷ σταυρῷ σου οἰκτίρμον πολυέλεε.

Δεσπόζουσα ἁπάντων τῶν ποιημάτων δέσποινα, ὡς τὸν δεσώτην τέξασα, τῆς δουλείας με ἐλευθέρωσον τοῦ δολίου καὶ μόνου πολεμήτορος.

Κάμινος ποτέ.

Κάμινος παθῶν φλογίζει τὴν ψυχήν μου· ἀλλὰ τῇ δρόσῳ τοῦ ἐλέους σου ταύτην καταμάρανον· ὁ πηγάσας ἀπαθείας κρουνοὺς πλευρᾶς ἐξ ἀκηράτου σου σταυρούμενος, εὐεργέτα, διὰ πολλὴν συγκατάβασιν.

Ὑψωσας ἡμᾶς πεσόντας εἰς κακίαν, τῇ ἐν σταυρῷ σου ἀνυψώσει Χριστέ· ὅθεν ὀλισθήσαντα ἁμαρτίας με εἰς βάραθρα, ἀνάγαγε καὶ στήριξον, πίτρα τῆς σωτηρίας, ὅπως δοξάζω τὸ κράτος σου.

Ἀόγκῳ σου Χριστέ, παθῶν τὴν σηπεδόνα ἀποκαθάρας τῆς καρδίας μου, ὅλον καθάγιασον, ὃν ὁ ὄφις ἐτραυμάτισεν ὀδοῦσιν ἰοβόλοις· καὶ δίδου μοι ἀκωλύτως θείας πρὸς τρίβους πορεύεσθαι.

Σὲ τὴν φαεινὴν λαμπάδα καὶ λυχνίαν, ἐν ᾗ τὸ πῦρ τὸ τῆς θεότητος, οἰκήσαν ἐφώτισε τοὺς νυκτοειδεῖ συσχεθέντας φθορᾷ, ἀμέλει γεραίρωμεν ἅπαντες εὐλογοῦντες, εὐλογημένη τὸν τόκον σου.

Ἀνάρχου γεννήτορος.

Ἡλίου φαιδρότερον, νυχείας ἀναλάμψασα, ἡ πολύφωτος χάρις, εὐαγγελίζεται πᾶσι τοῦ σταυροῦ τὰς ἀκτίνας, καὶ τὰς αὐ-

Digitized by Google

γὰς τοῦ τειμίου πάθους, καὶ τῆς ἀναστάσεως τὴν ἡμέραν τὴν σωτήριον.

Ἁγνείαν ποθήσωμεν, πορνείαν ἀποφύγωμεν, τὴν ὀσφὺν σωφροσύνῃ περιζωσώμεθα, ὅπως καθαροὶ ἐωσφθῶμεν τῷ καθαρῷ καὶ μόνον ἐκ πάντων ζητοῦντι τὴν κάθαρσιν, τῷ σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Χριστὲ ἐκ τοῦ φόβου σου καθήλωσον τὰς σάρκας μου· ὁ σταυρῷ προσηλώσας τὴν ἁμαρτίαν Ἀδάμ, λύσον τῶν κακῶν μου τὴν δέσιν, τοῦ πονηροῦ σύντριψον τὰ βέλη τῇ λόγχῃ σου, δέσποτα, καὶ τῆς τούτου βλάβης ῥῦσαί με.

Κριτὴν δικαιότατον καὶ μόνον εὐδιάλλακτον, ἡ τεκοῦσα παρθένε Χριστὸν κύριον, ῥῦσαί με τῆς κρίσεως κόρη, καὶ τοῦ πυρὸς καὶ τῆς τιμωρίας, ἧς μοι προεξένησεν ἁμαρτίας ἡ ἀπόλαυσις.

Ὁ σοφίσας ὑπὲρ ῥητόν.

Ὁ φωστῆρας ἐν τοῖς πέρασι τοὺς μαθητὰς ἀναδείξας τῷ κηρύγματι λόγε θεοῦ, τὰς καρδίας ἡμῶν φώτισον φωτὶ ἀρετῶν, καὶ νηστείᾳ κάθαρον, δίδους μετάνοιαν ἐπιστροφῆς τοῖς δούλοις σου, εἰς τὸ δοξάζειν σε, ὁ μόνος ὑπάρχων ὑπεράγαθε.

Ἐλήλυθας ἐκ παρθένου.

Ἐγκρατείας τὰς αὐγὰς δεχομένη ἀστράφθητι ψυχὴ, καὶ ἀπόφυγε τῆς ἁμαρτίας τὴν ζόφωσιν, ὅπως ἀναπείλῃ σοι ἡ τῆς ἀφέσεως αἴγλη θείῳ πνεύματι.

Ἀγκίστρῳ με ἡδονῆς δελεάσας ὁ δόλιος αἰχμάλωτον ἔλαβεν· ἀλλ' οἱ τὸν κόσμον ἀποστολοι λόγῳ σαγηνεύσαντες, ἐκ τῆς αὐτοῦ με κακίας ἐκλυτρώσασθε.

Ἐδείχθητε τοῦ ἡλίου τῆς δόξης αὐγάσματα, ἀπόστολοι ἔνδοξοι, πλάνης ἀχλὺν ἀπελαύνοντες· νῦν δέ με φωτίσατε τὸν ὑπὸ πάσης κακίας σκοτιζόμενον.

Κεκράξομαι ἐν νυκτὶ καὶ ἡμέρᾳ θλιβόμενος πρὸς σὲ, καὶ ῥυσθήσομαι, καὶ ἡδονῶν ὑπερβήσομαι τείχους, καὶ σωθήσομαι, τῇ σῇ παρθένε δυνάμει τειχιζόμενος.

Τῷ δόγματι τῷ τυραννικῷ.

Νηστεύσωμεν πάσης ἡδονῆς, πιπραίνοντες τὴν αἴσθησιν νη-

Digitized by Google

στείᾳ, καὶ κατανύξεως πόμα θερμῶς πιώμεθα ψάλλοντες εὐλογεῖτε τὰ ἔργα.

Τῆς στάσεως ταύτης ἐκ δεξιῶν γενέσθαι κοινωνόν με δυσωπεῖτε, ὅτ' ἂν καθίσητε κρίναι βροτοὺς σὺν Χριστῷ, ἀπόζολοι, τὸν πολλαῖς ἁμαρτίαις κρίσεως ὑπεύθυνον.

Ἐν ἅρματι θείων ἀρετῶν, νηστείᾳ καθαρθέντες ἐπιβῶμεν, καὶ πρὸς αἰθέριον ὕψος τὸν νοῦν πετάσωμεν, ψάλλοντες τὸ εὐλογεῖτε ἔργα.

Διέμεινας ἄφλεκτος, τὸ πῦρ τεκοῦσα τῆς θεότητος παρθένε· ἀλλὰ καθάφλεξον πάθη ψυχῶν, τῶν βοώντων πάντοτε εὐλογεῖτε τὰ ἔργα.

Ἡ τὸν ἀχώρητον θεὸν ἐν γαστρὶ χωρήσασα.

Ἀπερίεμμένος ἡδονῶν ἀχανὲς εἰς πέλαγος, τὴν τῆς σῆς εὐσπλαχνίας ἄβυσσον προσκαλοῦμαι· σῶσόν με κυβερνῆτα.

Τῆς εὐσπλαχνίας ἡ πηγὴ, δός μοι κατανύξεως σαλαγμόν, ὅπως ἀποκλαύσωμαι τῶν κακῶν μου τὰς ἀπείρους θαλάσσας.

Τῶν μαθητῶν σου Ἰησοῦ ταῖς σεπταῖς δεήσεσι τὴν σεπτὴν δίδου μοι ἀνάστασιν, προσυκνῆσαι καὶ τὰ θεῖα σου πάθη.

Ἡ οὐρανώσασα ἡμῶν τὸ γεῶδες φύραμα, τῇ ἐν σοὶ τοῦ θεοῦ πανάμωμε ἐνοικήσει, ῥῦσαι πάντας κινδύνων.

Ὁ φωτισμὸς τῶν ἐν σκότει.

Τὴν ἐν ἐμοὶ καθορῶν ῥᾳθυμίαν ὁ δολεόφρων σπεύδει καὶ συμπράττει τῇ ἁμαρτίᾳ· χαίρει γὰρ οὗτος τῇ ἐμῇ τεμωρίᾳ· ἀλλὰ σύ μοι δίδου διόρθωσιν σώτερ εἰς ἐκείνου ἀναίρεσιν δίομαι.

Ὁ τὰς ἀρχὰς θριαμβεύσας τοῦ σκότους ἐν τῷ σταυρῷ σου, τούτων ἐξελοῦ με τῆς κακουργίας, τὸν ἐμπεσόντα εἰς βυθὸν ἁμαρτίας, καὶ εἰς βόθρον ἀτόπων πράξεων, σοῦ δὲ τῷ ἐλέει σωθῆναι ἐλπίζοντα.

Ὁ νεκρωθεὶς ἐν σταυρῷ ἡπλωμένος, τὴν νεκρωθεῖσαν ζώωσον ψυχήν μου τῇ ἁμαρτίᾳ, καὶ τὴν σεπτήν σου ἐξανάστασιν φθάσαι ἐν εἰρήνῃ Χριστὲ ἀξιώσον πράττοντα τὰ σὰ ἐμμελῶς δικαιώματα.

Ὁ φωτισμὸς τῆς ἐμῆς ἀσθενείας, ἡ σωτηρία τῆς ἀμαυρωθεί-

Digitized by Google

σης ἁγνὴ ψυχῆς μου, σῶσόν με σῶσον ἀπολλύμενον, κόρη, καὶ χιτῶνα τῆς ἀφθαρσίας με ἔνδυσον φθαρέντα δεινοῖς παραπτώμασι.

Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὁ ταπεινώσας ἑαυτὸν, ἀνυψώθης ἐν σαυρῷ, δι' εὐσπλαχνίαν ἀνυψῶν τὸν πεσόντα βρώσει τοῦ ξύλου ποτὲ· διό σε μόνε ὑπερύμνητε τὸν δεδοξασμένον ὑμνοῦμεν εἰς αἰῶνας.

Ἀπροσεξίας νυσταγμῷ ἁμαρτίας τὸν βαρὺν ὑπίστην ὕπνον· ἀλλὰ σὺ ὁ ὑπνώσας ἐπὶ σταυροῦ δι' ἐμὲ, Χριστέ μου, ἔγειρον πτωθέντα με, μή με καταλάβῃ ἡ νὺξ ἡ τῶν παθῶν μου.

Ἐκτυφλωθεὶς ταῖς ἡδοναῖς περιρέρω τὴν ψυχὴν ἐσκοτισμένην· καὶ γελᾷ καθορῶν με ὁ δολιόφρων ἐχθρός· διό με φώτισον καὶ λύτρωσαι τούτου τῆς κακίας Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἐν ἀμελείᾳ τὴν ζωὴν διασπανήσας νυσταγμῷ τῆς ἁμαρτίας, τὴν ψυχὴν ἐβαρύθην· τῇ ἀκοιμήτῳ σου δὲ πρεσβείᾳ προστρέχω· μὴ δῴης με εἰς θάνατον ὑπνῶσαι, πανάχραντε παρθένε.

Ἡ τὸν πρὸ ἡλίου.

Τὴν λελεπρωμένην ψυχήν μου τοῖς ἀτόποις ἐνθυμήμασι, τῷ ῥαντισμῷ τοῦ αἵματός σου κάθαρον, Θεοῦ λόγε, καὶ κοινωνὸν τῆς δόξης σου με ποίησον, ὁ δι' ἐμὲ τὴν ἄδοξόν καθυπομείνας θέλων σταύρωσιν.

Ὅλος κατεκάμφθην τῷ βάρει τῶν ἀτόπων σῶν πράξεων· καὶ συνθρυπτόζων κράζω σοι φιλάνθρωπε, τῆς ψυχῆς μου τοὺς ἀνιάτους μώλωπας θεράπευσον τῷ σῷ τιμίῳ μώλωπι, ἵνα ὑμνῶ σου τὴν θεότητα.

Βρῶμα τὴν κακίαν ποιούμενος καὶ πόμα τὴν ἀμέλειαν, ὁ κατὰ πάντα μένων ἀδιόρθωτος, τῶν βρωμάτων τῇ ἀποχῇ ἀκαίρως ἐπαγάλλομαι· οὐ γὰρ τοιαύτην ἔφησε νηστείαν ἔσεσθαι ὁ κύριος.

Τὴν τῆς ἀποτόμου ἀρχαίας ἀναιρέσιν ἀποφάσεως, καὶ τῆς προμήτορος τὴν ἐπανόρθωσιν, τὴν τοῦ γένους τῆς πρὸς θεὸν αἰτίαν οἰκειώσεως, τὴν πρὸς τὸν κτίσην γέφυραν, σὲ θεοτόκε μεγαλύνομεν.

Τριστάτας κραταιούς.

Ὁ μόνος ἀγαθὸς, ἡ πηγὴ τοῦ ἐλέους, ὁ ἀμνὸς ὁ τοῦ θεοῦ

Digitized by Google

ὁ αἴρων ὡς Θεὸς τὰ τοῦ κόσμου ἐγκλήματα, σῶσόν με ἁμαρτημάτων τρικυμίαις πονλούμενον, μετανοίας πρὸς ὅρμον ἰθύνων με.

Νηστεία καθαρὰ μακρυσμὸς ἁμαρτίας, ἀλλοτρίωσις παθῶν, ἀγάπη πρὸς Θεὸν, προσευχῆς ἐπιμέλεια, δάκρυα σὺν κατανύξει προμηθία πενήτων τε, ὡς Χριστὸς ἐν γραγαῖς ἐνετείλατο.

Πληγέντα τὴν ψυχὴν ἁμαρτίας ῥομφαίᾳ, καὶ κατάστικτον πολλοῖς ὑπάρχοντα κακοῖς, ἰατρὲ τῶν ψυχῶν ἡμῶν, ἴασαι ὡς εὐεργέτης, ἐπιθεὶς μοι τὰ φάρμακα τῶν σεπτῶν ἐντολῶν σου φιλάνθρωπε.

Ἀμόλυντε σκηνὴ παναγία παρθένε, μολυνθέντα με δεινῶς παθῶν ἐπαγωγαῖς, τῇ πηγῇ τοῦ ἐλέους σε κάθαρον, καὶ δός μοι ὄμβρους κατανύξεως, δέσποινα, ἁμαρτίας βυθὸν κατακλύζοντας.

Λυτρωτὰ τοῦ παντός.

Παροδεύων τοῦ βίου τὸ ἄστατον, ληστρικοῖς λογισμοῖς περιέπεσον, καὶ πληγωθεὶς προσώζεσα· ἰατρὲ τῶν νοσούντων, δίδου μοι χεῖρα, τῶν ἁγίων σου πάντων δεήσεσι.

Καλεπῆς ἁμαρτίας κλυδώνιον τὴν ἐμὴν συνταράσσει διάνοιαν· ὥσπερ τὸν Πέτρον σῶσόν με, Ἰησοῦ, μελῳδοῦντα· πάντα τὰ ἔργα εὐλογεῖτε κυρίου τὸν κύριον.

Ἐγκαλείᾳ τὰ πάθη νεκρώσωμεν, τῇ νηστείᾳ τὸ πνεῦμα πτερώσωμεν πρὸς οὐρανὸν, καὶ κράζωμεν κατανύξει καρδίας, ἡμάρτομέν σοι, ὁ Θεὸς ὡς οἰκτίρμων συγχώρησον.

Ἐν γαστρί σου σκηνώσας ὁ ὕψιστος, οὐρανῶν πλατυτέραν σε ἔδειξε, καὶ προστασίαν ἄμαχον τῶν βοώντων παρθένε πάντα τὰ ἔργα.

Εὖα μὲν τῷ τῆς παρακοῆς νοσήματι.

Νηστεύσωμεν μήνισος πιστοὶ, τρυφήσωμεν τὴν ἀγάπην τὴν ἀνόθευτον, θρύψωμεν πένησι τὸν ἄρτον, τὸν Θεῖον σιτιζόμενοι χάριτι, καὶ δάκρυσι τὰ δάκρυα σβέσωμεν τὰ τῆς μελλούσης ἀποφάσεως.

Ταλαίπωρε σπένδον ψυχὴ, σκυθρώπασον, μετανοίας τρόπους ἔνδειξαι· νῦν ἐπὶ θύραις ἡ ἡμέρα, ὁ κρίνων ἀποτόμως καθίζεται, ἑκάστῳ ἀπονέμων τὰ ἄξια τῶν πεπραγμένων, καθὼς γέγραπται.

Digitized by Google

Οὐ κέκτημαι πράξεις ἀγαθὰς, ἐσπίλωσα τὸν χιτῶνα ὃνπερ εἵληφα θείου ἐνδύματος ἐνδύσει, ἐν σκότει ἀγνωσίας πορεύομαι· φωτί με τοῦ προσώπου σου, κύριε ἀπεγνωσμένον νῦν καταύγασον.

Μαρία κυρία τοῦ παντὸς, σαντοίοις με δουλωθέντα ἁμαρτήμασι σὺ ἐλευθέρωσον παρθένε· τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν αὐτὴ γὰρ ὑπὲρ λόγον ἐκύησας, οὐσιωθέντα τὸ ἀνθρώπινον.

Ὅτι ἐγώ εἰμι ὁ θεὸς ὑμῶν.

Στέναξον, δάκρυσον, ψυχὴ ἐπίςρεψον, μετανόησον· ἤγγικεν ἡ ὥρα, ἐπὶ θύραις ὁ κριτὴς· πρὸς ἀπολογίαν ἑτοιμάζου, καὶ βόησον, ἡμάρτηκά σοι οἰκτίρμων· ἐλέησόν με ἀγαθὲ σύ με οἰκτειρον.

Κόρον ἁμαρτίας ψυχή μου μίσησον τὸν ὀλέθριον, τρύφησον τῷ κόρῳ τῆς νηστείας ἐμμελῶς· τὰς σωτηριώδεις ἐντολὰς βρῶμα ποίησον, ἀπόλαυσιν προξενούσας αἰωνίων ἀγαθῶν διὰ πίστεως.

Ἄγγελοι, δυνάμεις, ἀρχαὶ, ἀρχάγγελοι, κυριότητες, θρόνοι, ἐξουσίαι, χερουβὶμ, καὶ σεραφὶμ, τὸν ἀγαθοδότην καὶ θεὸν ἱκετεύσατε, συγχώρησιν ὀφλημάτων καὶ παθῶν ἀπαλλαγὴν δωρηθῆναι ἡμῖν.

Ἡ μόνη κυήσασα τὸν ἄναρχον λόγον πάναγνε ἐκ σοῦ σαρκωθέντα, καὶ μὴ τραπέντα ὅπερ ἦν· μείνασα παρθένος μετὰ τόκον ἀνύμφευτε, ἱκέτευε ὑπὲρ πάντων ἡμῶν, τοῦ λυτρωθῆναι ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Οἱ θεορήμονες παῖδες ἐν καμίνῳ.

Ὁ δικαιώσας σταυράξαντα τελώνην, ὁ οἰκτειρήσας τὴν πόρνην ἀπὸ καρδίας δακρύσασαν, σῶσον οἰκτειρον σώτερ ψυχὰς τῶν ὑμνούντων σε.

Καρποφορήσωμεν πράξεις ἐναρέτους διὰ νηστείας κυρίῳ· καὶ βλαβερῶν ἀποσχώμεθα λογισμῶν, ἵνα θείας τρυφῆς ἐπιτύχωμεν.

Οἱ τῶν ἀγγέλων χοροί σε δυσωποῦσι, τῶν ἀποστόλων ὁ θῆμος, καὶ τῶν μαρτύρων τὰ τάγματα· Ἰησοῦ τῷ λαῷ σου συγχώρησιν δώρησαι.

Τὸ ἀλατόμητον ὄρος τὴν παρθένον, τὴν φωτοφόρον λυχνίαν, τὴν εὐδιάβατον κλίμακα, τοῦ θεοῦ τὸ χωρίον, πιστοὶ μακαρίσωμεν.

Digitized by Google

Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ.

Ἡ καλὴ νηστεία πιαίνουσα τὴν καρδίαν, στάχυν ἀρετῶν ὥριμον ἐνθέως ἐκβλαστάνει, ἣν ποθήσωμεν ἐν ἁγίαις ἡμέραις, τὸν ἁγιασμὸν ὑποδεχόμενοι.

Τὸν ἐν ἁμαρτίαις πολλαῖς κατεσκιλωμένον τετραυματισμένον ὁρῶν, καὶ κατακεκριμένον, ἐλεήμων τῷ σῷ ἐλέει οἰκτείρας, σῶσον ἱκεσίαις τῶν ἁγίων σου.

Οἶμοι παναθλία ψυχὴ, πῶς ἀπολογήσῃ; ποία φρίκη σε λήψεται, κριτοῦ καθεζομένου, μυριάδων παριστα μένων ἀγγέλων; σπεῦσον, οὖν πρὸ τέλους μετανόησον.

Τὸ βασιλικὸν ὄχημα, τὴν φαιδρὰν νεφέλην, ὅρος τὸ πιώτατον, ὄρος τετυρωμένον, ἀπειρόγαμε δυσωπῶ σε παρθένε, ἴασαι τὰ πάθη τῆς καρδίας μου.

Στερεωθήτω ἡ καρδία μου.

Σταυρῷ παλάμας ἐξεπέτασας, τῆς ταθείσης πάλαι χειρὸς τοῦ Ἀδὰμ πρὸς τὸ τῆς γνώσεως φυτὸν ἀναιρῶν τὸ ἁμάρτημα, διὰ σπλάγχνα οἰκτιρμῶν λόγε θεοῦ ὑπεράγαθε.

Στερέωσόν μου τὴν διάνοιαν κλονουμένην φθόνῳ τοῦ ὄφεως ταῖς τῶν παθῶν ἐπαγωγαῖς, τῷ σῷ πάθει φιλάνθρωπε, ὁ παθὼν καὶ τὴν ἀπάθειαν πιστοῖς χαρισάμενος.

Ἡ τῆς νηστείας χάρις ἔλαμψεν, ἀκρασίας σκότος διώκουσα· ἰδοὺ εὐπρόσδεκτος καὶ ἡμέρα σωτήριος· μετανοίας ἐνδειξώμεθα καρποὺς καὶ ζησώμεθα.

Καταπεπλόντων ἐπανόρθωσις, ἡδονῶν κρημνοῖς συμπτωθέντα με, καὶ ἁμαρτίας χαλεπὰ ἐμπεσόντα εἰς βάραθρα, ἐξανάστησον ἀγνὴ καὶ πρὸς ζωὴν ἐποδήγησον.

Τὸν τοὺς ὑμνολόγους ἐν καμίνῳ.

Ὁ μετὰ ἀνόμων λογισθῆναι διὰ ὠλῆθος ἐλέους καταδεξάμενος, τὰς ἐμὰς ἁμαρτίας ἐξάλειψον ἐν πίστει, ὅπως σε δοξάζω Χριστὲ εἰς τοὺς αἰῶνας.

Τῶν ἁμαρτιῶν μου τὸ χειρόγραφον, τῇ σῇ διάῤῥηξον λόγχῃ· καὶ τῆς καρδίας μου τὰς ὀδύνας θεράπευσον κύριε, πληγείσης βέλει τῆς κακίας τῶν πονηρῶν δαιμόνων.

Digitized by Google

Μεμελανωμένην τὴν καρδίαν τῆς ἁμαρτίας τῷ λύθρῳ, τῷ σῷ ἀπόπλυνον ἐκ πλευρᾶς ἀποςάξαν7ι αἵματι, Χριστέ μου, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ἡ ἀγεωργήτως ἐκβλασ7ήσασα τὸν ἐπουράνιον στάχυν, παρθένε, ἔμπλησον πεινῶσαν τὴν ταπεινὴν ψυχήν μου.

Τὴν ζωοδόχον πηγὴν τὴν ἀέναον.

Νενηςευκὼς Ἐλισσαῖος ἀνέ7ησε νενεκρωμένον τὸν παῖδα, ὡς γέγραπται· καὶ ἡμεῖς νηστεύοντες, σαρκικὰ φρονήματα ἀπονεκρώσαι πιστοὶ κατεπειχθῶμεν, ἵνα ζωῆς τῆς ἐκεῖ ἐπιτύχωμεν.

Οἶμοι ψυχὴ φοβερὸν τὸ κριτήριον, καὶ τοῦ κριτοῦ ἡ φρικώδης ἀπόφασις· σπεῦσον, μετανόησον, Χριςῷ διαλλάγηθι τῷ διὰ σὲ ἐν σταυρῷ ἀναρτηθέντι, καὶ ῥυσαμένῳ πιστοὺς κατακρίσεως.

Τῆς μετανοίας μοι πύλας διάνοιξον, τὰς τῶν παθῶν μὲ εἰσόδους ἀπόκλεισον, ὁ λῃστὴ τὴν εἴσοδον δείξας εὐεπίβατον τοῦ παραδείσου Χριστὲ τῇ σῇ σταυρώσει, ἵνα δοξάζω τὴν σὴν ἀγαθότητα.

Ὅτι εἰς βάθη κακίας ἀπῐῤῥίμμαι, καὶ λογισμοῖς ἐναντίοις χειμάζομαι δαίμοσι πειθόμενος, ἡδοναῖς θελούμενος· βοήθησόν μοι ἀγνὴ παρθενομήτορ, πρὸς σωτηρίας ὁδὸν ὁδηγοῦσά με.

Μὴ ἐν ποταμοῖς ὀργισθῇς κύριε, ἢ ἐν ποταμοῖς
ὁ θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὄρμημα.

Μέθην ἡδονῶν ψυχοφθόρων σβέσαντες, τὸ τῆς κατανύξεως πόμα διὰ νηστείας ἐμφορηθῶμεν.

Νήςευσον ψυχὴ ἀκρασίας βρώσεως, τρύφησον καλῶν θεωρίας, ἵνα τῆς ἄνω τραπέζης τύχῃς.

Ἀνθρακες πυρὸς τοῦ ἅδλε πίλοντες, φλέξατε παθῶν μου τὴν ὕλην, θεῖοι ἀπόστολοι τοῦ σωτῆρος.

Σάρκα τῷ Χριστῷ ἐκ τῆς σῆς δανείσασα, νέκρωσον σαρκός μου τὰ πάθη, ζωοκυήτορ ἁγνὴ παρθένε.

Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν ἑβραίων.

Θανατωθεὶς ταῖς πολλαῖς ἁμαρτίαις, νεκρὰν προσφέρω τὴν ψυχὴν ἐν τῷ βίῳ· διό με οἰκτείρατε, ζωηφόροις πρεσβείαις ταῖς ὑμῶν, θεόπται μαθηταὶ τοῦ κυρίου.

Digitized by Google

Περισχεθεὶς ἁμαρτίας ὁμίχλῃ, ἅδῃ προσάγγισα ἀπογνώσεως ὄντως· διό με φωτίσατε τοῦ ἡλίου τῆς δόξης μύσαι, καὶ ἀκτίνες ὑπάρχοντες θεόπται.

Λιτὸ παθῶν ἐγκρατεύου καὶ σώζῃ ψυχὴ ταλαίπωρε· ἀπορῇ γὰρ βρωμάτων νηστεία, ἀπρόσδεκτος τοῖς ὀρθῶς ἐκζητοῦσι, εἰ μὴ καὶ σφαλμάτων διόρθωσις ὑπάρχῃ.

Βάτον πυρὶ καιομένην Μωσῆς σε πρὶν ἐθεώρει, θεομήτορ παρθένε· διό μου κατάσβεσον τῶν παθῶν τὰς καμίνους, καὶ πυρὸς γέεννης ἐξάρπασον καὶ σῶσον.

Ἐν σιναίῳ τῷ ὄρει κατεῖδέ σε.

Ποταμοὶ γεγενότες ἀπόστολοι τῆς πηγῆς τῆς νοητῆς, καὶ τὸ ὕδωρ τὸ ζῶν εὑπορήσαντες ἐν καρδίᾳ καθαρᾷ, τῆς ἐμῆς ἁμαρτίας τὰ ῥεῖθρα ξηράνατε ταῖς προσευχαῖς ὑμῶν, καὶ πρὸς σωτηρίας ὁδὸν ὁδηγήσατε.

Ἁμαρτίας χειμάζει κλυδώνιον τὴν ἀθλίαν μου ψυχὴν· δεξιὰν ὡς τῷ Πέτρῳ μοι ἔκτεινον, κυβερνῆτα ἀγαθὲ· μὴ βυθός με καλύψῃ ὁ τῆς ἀπογνώσεως· βρῶμα μὴ γένωμαι κήτους ψυχοφθόρου, Χριστὲ πολυέλεε.

Ἀποστόλων χορὸς ἱκετεύει σε, Ἰησοῦ παμβασιλεῦ· δυσωπεῖ σε ἀγγέλων τὰ τάγματα· διὰ πλῆθος οἰκτιρμῶν τῷ λαῷ σου παράσχου κακῶν ἀπολύτρωσιν, βίου διόρθωσιν, καὶ τῆς βασιλείας τῆς σῆς τὴν οἰκείωσιν.

Παρθενία καὶ τόκος συνέδραμεν ὑπὲρ φύσιν ἐπὶ σοί, κιβωτὲ τοῦ σεαυτοῦ ἁγιάσματος, μητροπαρθένε ἁγνὴ· διὸ πίστει βοῶ σοι ὅλον με ἁγίασον, ὅλον ἐκλύτρωσαι πάσης ἀσελγείας παθῶν τῶν θλιβόντων με.

Ἀσεβεῖς οὐκ ὄψονται.

Ἑκουσίως δέσποτα ὑψώθης ἐν σταυρῷ, καὶ κατέῤῥαξας τὸν ἐχθρὸν ἑκουσίως· ὅθεν κατεῤῥαγμένον με ἡδονῶν εἰς βάραθρα, εὐσπλαχνίᾳ σου διόρθωσον.

Σκοτισθέντα πάθεσιν ἀτόποις τὴν ψυχὴν, φωταγώγησον Ἰησοῦ, ὁ σκοτίσας ἥλιον, σταυρῷ τεινόμενος καὶ φωτίσας ἥλιε οἰκουμένης τὰ πληρώματα.

Digitized by Google

Τὸ νηφείας πέλαγος ἐκπλεῦσαι γαληνῶς καταξίωσόν με Χριστὲ, κατευνάζων κύματα τῆς διανοίας μου· καὶ τῆς ἀναστάσεως εἰς λιμένα με καθόρμισον.

Τὴν ἁγνὴν ἁγνεύοντι τιμήσωμεν νοῖ· καλλονὴν τὴν τοῦ Ἰακὼβ ταῖς ἐνθέοις πράξεσι καλλυνόμενοι, εὐσεβῶς ὑμνήσωμεν, ὡς μητέρα τοῦ Θεοῦ ἡμῶν.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Σταυρῷ προσαγαγεῖς δι' εὐσπλαχνίαν, λῃστὴν τὸν παράδεισον ἀνέῳξας· νῦν δὲ λῃσευθέντα με, δαίμονος δεινότητι καὶ τῇ ψυχῇ ἐλόσωμον πληγὴν δεξάμενον, ἰάτρευσον ἀνοίξας μοι πύλας τὰς τῆς μετανοίας τῇ σῇ φιλανθρωπίᾳ.

Νηστείᾳ λεπτύνωμεν τὴν σάρκα, ψυχὴν προσευχαῖς καταπιάνωμεν, πένητας ἐκθρίψωμεν, πλοῦτον μὴ κενούμενον ἐν οὐρανοῖς ὠνούμενοι, καὶ ἀνακράζοντες τὸν κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε.

Τῷ πάθει σου κτίσις ἐκλονήθη, σταυρῷ σε θεασαμένη καθηλώμενον, σώτερ ὑπεράγαθε· ὅθεν ἱκετεύω σε, ταῖς προσβολαῖς κλονούμενον ἀεὶ τοῦ ὄφεως, στερέωσον τὸν νοῦν μου οἰκτίρμων σοῦ τῶν θελημάτων ἐν ἀῤῥαγεῖ τῇ πέτρᾳ.

Ἡ πύλη Θεοῦ ἡ κεκλεισμένη, ἣν μόνος διώδευσεν ὁ κύριος, ἔθυνον πρός τρίβους με θείας, καὶ διάνοιξον τῆς σωτηρίας πύλας μοι, θεοχαρίτωτε· πρὸς σὲ γὰρ καταφεύγω παρθένε, μόνη προστασία τοῦ γένους τῶν ἀνθρώπων.

Λίθος ἀχειροτμήτου ὄρους ἐξαλαξεύτου.

Λίθον σε τμηθέντα προεῖδεν ὄρους προφήτης ἐκ παρθένου, σώτερ, διαῤῥήξαντα πέτρας τῇ σῇ σαυρώσει· διὸ βαρούμενον ἀναισθησίας λίθῳ με, ὡς πανοικτίρμων, ἐλευθέρωσον.

Νήστευσον κακίας ψυχή μου, θείᾳ ἀγάπῃ ἐντρυφῶσα· θύρας ἀναπέτασον πάσαις καλῶν εἰδίκις, ἐναποφράττουσα τῆς πονηρίας εἴσοδον, δι' ἐγκρατείας καὶ δεήσεως.

Ἐμὲ τὸν κατάκριτον σῶσον, ὁ κατακρίνας τῷ σταυρῷ σου, δέσποτα σώτερ μου τὴν ἔχθραν· καὶ μὴ γεέννῃ δείξῃς ὑπεύθυνον τὸν πληγωθέντα πάθεσι, καὶ ἁμαρτίαις ἀμαυρούμενον.

Digitized by Google

Φεῖσαί μου Χριστὲ ὅτ' ἂν ἔλθῃς κρῖναι τὸν κόσμον μετὰ δόξης· λῦσον τὴν ἀχλὺν τῶν παθῶν μου, ταῖς ἱκεσίαις τῆς κυησάσης σε, καὶ κληρονόμον ποίησον τῆς οὐρανίου βασιλείας σε.

Παῖδες ἑβραίων ἐν καμίνῳ.

Ὄμβροις ἐσβέσατε αἱμάτων, παναοίδιμοι τὴν φλόγα τῆς ἀπάτης· τοῦ πυρὸς οὖν ἡμᾶς τοῦ μέλλοντος πρεσβείαις ταῖς πρὸς θεὸν λυτρώσασθε τοῦ ἀσβέστου εἰς αἰῶνας.

Στόματα φράξαντες λεόντων, τῶν βασάνων τε πυρὰν ὑπενεγκόντες, ἀθλοφόροι, τρυφὴν τὴν κρείττονα κληροῦσθε· ἧς περ τυχεῖν δεήθητε καὶ ἡμᾶς εἰς τοὺς αἰῶνας.

Ὅλῳ φωτὶ περιλαμφθέντες τῷ τοῦ πνεύματος γενναῖοι ἀθλοφόροι, μεταστάσει πιστοῖς τὴν ἄνεσιν αἰτεῖσθε, καὶ παραδείσου εἴσοδον, καὶ ζωῆς τὴν μετουσίαν.

Ὕμνον προσάγω σοι παρθένε· μὴ παρίδῃς με κακοῖς κεκρατημένον, ἀλλὰ δίδου ἀγνὴ διόρθωσιν ταχείαν, διὰ νηστείας πάσης τε ἀγωγῆς ἀγαθοτρόπως.

Νικηταὶ τυράννου καὶ φλογὸς τῇ χάριτι.

Τῶν βασάνων εἴδη ἀσθενείᾳ σώματος ὑπενεγκόντες, ἰατροὶ νοσούντων, ἀθλοφόροι ὤφθητε· ὅθεν κραυγάζω, τὴν ἐμὴν νοσοῦσαν ψυχὴν ἰατρεύσατε, χρόνῳ τῆς νηστείας διὰ τῆς μετανοίας.

Οἴμοι πῶς παρῆλθον πᾶσαί αἱ ἡμέραί μου ἐν ἀμελείᾳ; καὶ ἰδοὺ τὸ τέλος φθάνει ἀτελείωτον καλῶν λαβεῖν με· οἱ καλῶς τὸν δρόμον τελίσαντες μάρτυρες, τέλος ἀγαθόν μοι γενέσθαι δυσωπεῖτε.

Σταλαγμοῖς αἱμάτων, τὴν πυρὰν ἐσβέσατε τῆς ἀθείας, θεῖοι ἀθλοφόροι, καὶ τοῖς ἐκδημήσασι τοῦδε τοῦ βίου ἐξαιτεῖσθε ὄντως τὴν θείαν ἀνάπαυσιν, καὶ τῶν πεπραγμένων λύσιν παρὰ κυρίου.

Ἰεζεκιὴλ σε πύλην ἀδιόδευτον ἀγνὴ προεῖδε· μετανοίας πύλας πᾶσιν ὑπανοίγουσαν ἀπεγνωσμένοις· ὅθεν δυσωπῶ σε, τρίβους μοι ὑπόδειξον τὰς πρὸς τὰς ἐκεῖσε φερούσας κατακαύσεις.

Ὄρους παρῆλθες τῆς φύσεως, τὸν δημιουργόν.

Ὄφθητε θεῖοι ὡς ἄνθρακες, ὕλην πονηρᾶς ἀθείας συμφλέγοντες· καὶ ξίφει καρτερίας, στίφη συγκόπτοντες δαιμόνων ἀθλοφόροι, φωταγωγοὶ τῶν καρδιῶν ἡμῶν.

Digitized by Google

Σκότος νοητὸν μετοικίσθητε, γενναῖοι ἀθλοφόροι· διὸ φωτίσατε τὴν ταπεινὴν ψυχήν μου ἐσκοτισμένην πλημμελήμασιν.

Ἤλγησαν πόνους προφέροντες οἱ πανευκλεεῖς ἀθλοφόροι τοῦ σώματος, καὶ νῦν τοῖς μεταστάσει πιστοῖς τὴν ἄπονον ἄχραντε ἀνάπαυσιν αἰτοῦνται, καὶ παραδείσου τὴν ἀπόλαυσιν.

Φάνηθι ἄχραντε δέσποινα, θεῖος συνεργὸς τοῖς ἀχρείοις οἰκέταις σου, καιρῷ τῆς ἐγκρατείας τὰς προσευχὰς ἡμῶν προσάγουσα κυρίῳ τῷ τῶν αἰώνων βασιλεύοντι.

Ἄσμα ἀναπέμψωμεν λαοί.

Ἔχων ὡς θεὸς τὸ συμπαθὲς, μετανοοῦντα δέξαι με τὸν δαπανήσαντα τὸν βίον μου ἀσώτως· βοᾷ σοι τὸ ἅμαρτον, κατηγόρων οὐ χρῄζω, τὴν αἰσχύνην τῶν ἔργων προφέρων.

Βρῶσιν λελοιπὼς ἀγγελικὴν, παρῳμοιώθην κτήνεσιν, ἐν τῷ σιτίζεσθαι τὴν μοχθηρὰν κακίαν· ἀλλ' οὖν ἐπιστρέφοντα δέξαι με ὥσπερ ἕνα τῶν μισθίων, οὐράνιε πάτερ.

Νύκτα ὑδονῶν τὴν ἐκ τρυφῆς προσγινομένην ἅπαντες πιστοὶ ἀφίμενοι, φωτὶ τῆς ἐγκρατείας σωτηρίως προσέλθωμεν, ἵνα τῆς φωτοφόρου εὐωχίας καταξιωθῶμεν.

Χαίροις ὁ πανάγιος ναὸς, ὁ πόκος ὁ θεόβροσος, ἐσφραγισμένη πηγὴ τοῦ ἀθανάτου ῥείθρου, τὴν ποίμνην σου δέσποινα φύλαττε ἐκ παντοίων πολεμίων ἀπολιορκήτως.

Οἱ θεορήμονες παῖδες ἐν καμίνῳ.

Ἐκδαπανήσας οὐσίαν τὴν πατρῴαν μετὰ πορνῶν, ἐξεβλήθην τῶν προαυλίων τῆς χάριτος· ἀλλὰ δέξαι με πάτερ, θεῖ' ἅμετρον ἔλεος.

Ἐν φαιδροτάτῃ νησείᾳ φωταυγείαις τῶν προσευχῶν λαμπρυνθέντες, φωτοειδεῖς χρηματίσωμεν, ὅπως τῆς ἁμαρτίας τὸ σκότος ἐκφύγωμεν.

Ἐκδυσωπεῖ σε χορὸς τῶν ἀσωμάτων· τὰ χερουβὶμ ἱκετεύει, καὶ τῶν ἁγίων τὰ τάγματα· τὰς ψυχὰς ἡμῶν σῶσον, Χριστὲ πολυέλεε.

Τὸν ἀγεώργητον βότρυν συλλαβοῦσα, ἐσκοτισμένον με μέθῃ τῆς ἁμαρτίας σωφρόνισον, θεοτόκε παρθένε, ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

Digitized by Google

Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ.

Τὸν ἀπὸ τῆς σῆς μακρυνθέντα πάτερ ἀγάπης, καὶ ἡδελουσίως ὁρμαῖς ἡδονῶν δουλωθέντα, ἐπιστρέφοντα ὡς τὸν ἄσωτον δέξαι· μόνος γὰρ ὑπάρχεις πολυέλεος.

Ἄκαρπος ἐδείχθην συκῆ, μόνην τὴν κακίαν γεωργῶν ὁ ἅγιος, τὸ πῦρ μοι προξενοῦσαν· σὺ οὖν κύριε καρποφόρον με δεῖξον, πράξεις ἀγαθὰς καρποφοροῦντά σοι.

Νήστευσον ψυχή μου κακίας καὶ ῥαθυμίας, κράτησον ὀργῆς καὶ θυμοῦ, καὶ πάσης ἁμαρτίας· Ἰησοῦς γὰρ τοιαύτην θέλει νηστείαν ὁ φιλανθρωπότατος σωτὴρ ἡμῶν.

Ἡ ἀνερμηνεύτως τεκοῦσα τὸν θεὸν λόγον, τὸν καθαίροντα πνεύματι κόσμου τὰς ἁμαρτίας, ὑπὲρ δούλων σου θυσωποῦσα μὴ παύσῃ τοῦτον θεοτόκε τοῦ σωθῆναι ἡμᾶς.

Ὅτι θεὸς ἐγώ εἰμι.

Ὑιοθετήσας με διὰ λυτροῦ βαπτίσματος ὁ ὑπεράγαθος πατὴρ, πλούτῳ παντοίων κατεκόσμησε καλῶν· ἀλλ' ἐδούλευσα θέλων τοῖς ἀκάρποις λογισμοῖς, ὅθεν ἐπτώχευσα.

Ἵλεως ἵλεως, ἵλεως ἔσο κύριε· κρίνον τὴν κρίσιν μου ἐμοί, δικαιοκρίτα, τὸν μικρόν μου στεναγμὸν διὰ ἔλεος μέγα προσδεχόμενος Χριστὲ, καὶ μὴ παρίδῃς με.

Ἀποδυσάμενοι τὸ δυσαχθὲς χιτώνιον τῆς ἀκρασίας, τὴν φαιδρὰν τῆς ἐγκρατείας ἐνδυσώμεθα στολὴν, καὶ λαμπροὶ γεγονότες τὴν λαμπρὰν τοῦ λυτρωτοῦ φθάσωμεν ἔγερσιν.

Σῶσόν με σῶσόν με, ἡ τὸν σωτῆρα τέξασα· ἴδε τὴν θλῖψιν μου ἁγνὴ, ἣν ἡ πληθὺς τῶν ἀμετρήτων μου κακῶν ἐμποιεῖ καθ' ἡμέραν, τῇ ἀθλίᾳ μου ψυχῇ ἐξ ἀπογνώσεως.

Ὃν φρίττουσιν ἄγγελοι.

Θρηνῶ καὶ ὀδύρομαι, τὴν ὥραν ἐνθεῶν καθ' ἣν παραστήσομαι τῷ θρόνῳ τῷ φρικτῷ, εὐθύνας ὑφέξων τῶν πολλῶν μου κακῶν, ὧν περ ἐν ἀγνοίᾳ ἐτέλεσα καὶ γνώσει.

Μωϋσῆς καθαρτήριον νηστείαν εὑρηκὼς, θεὸν κατενόησε τὸν μόνον καθαρὸν· ψυχή μου νηστείᾳ καθαρίσθητι, ἵνα πλησιάσῃς Χριστῷ τῷ φιλανθρώπῳ.

Digitized by Google

Νηστείαν ποθήσωμεν μητέρα ἀρετῶν· τρυφὴν βδελυξώμεθα γενήτριαν παθῶν· καὶ κράξωμεν, πάτερ ὁ ἐν τοῖς οὐρανοῖς, σῶσον ἡμᾶς, σῶσον εὐχαῖς τῶν σῶν ἁγίων.

Κριτὴν ὃν ἐγέννησας, παρθένε Μαριὰμ, δυσώπει· ἐν ὥρᾳ με τῆς κρίσεως ἁγνὴ οἰκτεῖραι καὶ σῶσαι τὸν κατάκριτον, μόνη προστασία τοῦ γένους τῶν ἀνθρώπων.

Τὴν φωτοφόρον νεφέλην.

Εἰς ἁμαρτίας πελάγη, εἰς ἀπογνώσεως βάθη, εἰς τρυκυμίας λογισμῶν, καὶ παθῶν καταιγίδας περιπεσὼν ἀναβοῶ, ἐλέους ἡ ἄβυσσος βοηθεί μοι, καὶ τῇ σῇ εὐσπλαχνίᾳ ὄμβρισόν μοι, ἱλασμὸν ἁμαρτιῶν.

Διὰ νηστείας τὸ σῶμα, δι' ἐγκρατείας τὸ πνεῦμα, διὰ δακρύων τὴν ψυχὴν, ἐκαθάρωμεν πιστοὶ· καὶ καθαροὶ τῷ καθαρῷ λαμπρῶς ὑπαντήσωμεν, ὑψόμενοι τὰ σωτήρια πάθη, ἃ ὑπέστη δι' ἡμᾶς ὁ ἀπαθής.

Ὡς ὁ τελώνης στενάζω, ὥσπερ ἡ πόρνη δακρύω, ὡς ὁ ληστὴς ἀναβοῶ, μνήσθητί μου οἰκτίρμων· ὡς ὁ τυφλὸς, υἱὲ Δαβὶδ, κραυγάζω σοι, ἄνοιξον τῆς ψυχῆς μου ὀφθαλμοὺς πηρωθέντας τῇ κακίᾳ τοῦ ὄλιου πτερνιστοῦ.

Τὸ ἀλατόμητον ὄρος, τὴν ἀδιόδευτον πύλην, τὴν ἀνωτέρω οὐρανῶν καὶ τῆς κτίσεως πάσης, τὴν καλλονὴν τοῦ Ἰακὼβ, τὴν στάμνον τὴν πάγχρυσον, καὶ γέφυραν καὶ μητέρα τοῦ κτίστου, τὴν παρθένον μακαρίσωμεν λαοί.

Τὸ σταυρίωμα τῶν ἐπί σοι πεπεισθότων.

Συσταυρούμενοι τῷ δι' ἡμᾶς σταυρωθέντι, νεκρώσωμεν ἅπαντα σαρκὸς τὰ μέλη ἐν νηστείαις καὶ εὐχαῖς καὶ δεήσεσιν.

Ὁ τὴν ἄκανθαν τῆς ἁμαρτίας ἐκτίλας, σταυρώσει σου κύριε τοὺς ἀκανθώδεις λογισμοὺς τῆς διανοίας μου ἔκτιλον.

Καθοπλίσαντες τὰς διανοίας νηστείᾳ, τρεψώμεθα ἔκφυλα δαιμόνων στίφη, τῇ δυνάμει τοῦ σταυροῦ τειχιζόμενοι.

Σωματούμενος ἐκ σοῦ προῆλθεν ὁ λόγος, τὴν ἔκπτωσιν ἄχρας τε τῶν προπατόρων διὰ σπλάχνα οἰκτιρμῶν ἀνορθούμενος.

Digitized by Google

Ἀστίκτῳ πυρὶ ἐνωθέντες.

Σταυρῷ τὰς ἀρχὰς θριαμβεύσας, καὶ τὰς ἐξουσίας τὰς τοῦ σκότους φωτοδόται, ὅτ' ἂν ἔλθῃς μετ' ἐξουσίας κρῖναι κόσμον ἅπαντα, μὴ τὰ ἐμὰ λόγε θριαμβεύσῃς κρύφια, ἵνα τὴν πολλήν σου δοξάζω εὐσπλαχνίαν.

Κριτὸς ὁ κριτὴς πρὸ βημάτων ἑστὼς κατακρίνων τὴν ἔχθραν τῷ σταυρῷ σου, μακροθυμεῖ δικαιοκρίτα· διὸ κατακρίσεως αἰωνίου ῥῦσαι, τοὺς φόβῳ κραυγάζοντας· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τέλος.

Νηστείας πυρὶ στομωθέντες, παῖδες εὐσεβεῖς τὴν ἐπηρμένην πάλαι φλόγα, θείᾳ δρόσῳ ἔσβεσαν· ὄντως καὶ ἡμεῖς νηστεύοντες τὰς καμίνους πάντων παθῶν κατασβέσωμεν, ὅπως τῆς γεέννης ἐκφύγωμεν τὴν φλόγα.

Ἐκ σοῦ τοῦ θεοῦ ἡ σοφία, οἶκον ἑαυτῇ δομησαμένη ἐσαρκώθη, ἀπορρήτῳ συγκαταβάσει, κόρη ἀπειρόγαμε· σὺ γὰρ μόνη πάντων γενεῶν ἐκλέλεξαι, ἄφθαρτος ἀφθάρτου εἰς κατοικίαν λόγου.

Ἐν νόμῳ σκιᾷ καὶ γράμματι τύπον κατίδωμεν.

Τὸν ὄφιν Μωϋσῆς ἐν ξύλῳ ἀνυψῶν σὲ προετύπου Χριστὲ, σταυρῷ ἑκουσίως ὑψωθέντα, καὶ τοῦ πονηροῦ τὴν ἰοβόλον κακίαν ἀπορράπισαντα, πρὸς ἑαυτὸν δὲ τοὺς βροτοὺς ἀνελκύσαντα φιλάνθρωπε.

Πυρί με τοῦ σοῦ καθάρισον φόβου, ἀνάπτων μου τῇ ψυχῇ τὴν θείαν σου ἀγάπην, καὶ σταυρῷ τειχίζων με τῷ σῷ, ὃν ἐξεπάτησε δόλῳ ὁ παλαιὸς πτερνιστὴς, ταῖς ὑδοναῖς ἀμαυρώσας τὴν ἐμὴν Χριστὲ διάνοιαν.

Αἰσχρῶν λογισμῶν καὶ πράξεων φαύλων νηστεύσωμεν ἀδελφοὶ, ἁγνίσωμεν καρδίαν, πτερωθῶμεν θείαις ἀρεταῖς, καὶ χαμαιζήλου κακίας ὁρμὰς ἐκκλίνωμεν, ἵνα τὸ πάσχα τὸ μέγα λαμπροφόροι θεασώμεθα.

Ἐκ σοῦ τὴν ἡμῶν πτωχείαν, πλαρθένε, θέλων ἐφόρεσεν ὁ πλούσιος τῇ φύσει· ὁρατὸς δὲ γέγονεν ἡμῖν ὁ ἀοράτως τοῖς ἄνω χοροῖς ὑμνούμενος, τὴν συντριβεῖσαν εἰκόνα ἀναπλάττων ἀγαθότητι.

Digitized by Google

Χριστός μου δύναμις, θεὸς καὶ κύριος.

Νηστείαν, δάκρυα, εὐχὰς, συμπάθειαν, εὐκατάνυκτον ἦθος, γνώμην ὀρθὴν, βίου καθαρότητα ἐπιδειξώμεθα πιστοὶ, ὅπως δόξης ἀπολαύσωμεν.

Φωστῆρες φαίνεσθε τῷ στερεώματι τῆς σεπτῆς ἐκκλησίας περιφανῶς ὤφθητε, ἀπόστολοι· διὸ φωτίσατε ἡμῶν τὰς καρδίας θείῳ πνεύματι.

Ὡς θεῖοι ἄνθρακες προσαναπτόμενοι τῷ πυρὶ τῷ ἀΰλῳ τὰς ἐμπαθεῖς ὕλας καταφλέξατε τῶν καρδιῶν ἡμῶν σοφοὶ τοῦ θεοῦ ἡμῶν ἀπόστολοι.

Λυχνία ἄσβεστε νυμφῶν ὁλόφωτε, σεραφὶμ ὑπερτέρα, χερουβικὸν ὄχημα, πανάμωμε, ἁμαρτιῶν με χαλεπῶν καὶ κινδύνων ἐλευθέρωσον.

Ἐκ φλογὸς τοῖς ὁσίοις.

Μωϋσῆν ἡ νηστεία θεόπτην ἔδειξε, καὶ Ἠλίαν πυρίνῳ ἔλαβεν ἅρματι· σπεῦσον λογισμῶν βλαβερῶν ἐγκρατεύσασθαι, ὅπως χαμαιζήλου ψυχὴ ῥυσθῇς ἀπάτης.

Ὀλισθαίνων τοῖς χείρω προσεπεκτείνομαι, καὶ τῷ μώλωπι τραῦμα ἀεὶ προστίθημι· ἴασαι Χριστὲ τὴν λιθώδη μου πώρωσιν, ταῖς τῶν ἀποστόλων οἰκτίρμοις μεσιτείαις.

Οἱ τοῦ κόσμου φωστῆρες οἱ θεαυγέστατοι, τῶν παθῶν ἡμῶν νέφη διασκεδάσατε, καὶ προσκυνητὰς τῆς λαμπρᾶς ἀναστάσεως δείξατε, ὑμνοῦντας τὸν ἥλιον τῆς δόξης.

Γενεαὶ γενεῶν σε, θεομακάριστε, μακαρίζουσι πάλαι ὡς προεφήτευσαν· μόνη γὰρ βροτοῖς τὸν μακάριον τέτοκας λόγον ἀπορρήτως ἐκ σοῦ σωματωθέντα.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ὦ θεὲ καὶ κύριε πολυέλεε, τὰ τῆς ἐμῆς καρδίας ἀποκάθαρον τραύματα, μελανοίας προσπλάττων μοι φάρμακα· ἥμαρτόν σοι, οἰκτειρον, σῶσόν με, ταῖς τῶν ἀποστόλων σου εὐχαῖς, ὡς πολυέλεος.

Ὁρμαῖς ἀτόποις ἐξηκολούθησα φρενοβλαβῶς, καὶ ὅλος ἐμαυτοῦ ἔξω γέγονα, ἡδονῶν τὸ τραχὺ σιτιζόμενος· καὶ τῆς σωτη-

Digitized by Google

ριώδους καθυστερούμενος βρώσεως ὁ ἄσωτος· Χριστὲ οἰκτειρον, σῶσόν με.

Ψυχὴ κακίας μὴ καθαρεύουσα, καὶ ἡδονῶν σαυτὴν φθοροποιῶν μὴ μακρύνασα, τί ἀκαίρως ἀγάλλῃ νηστεύουσα; ταύτην γὰρ τὴν νηστείαν οὐκ ἐξελέξατο κύριος, ὁ μόνος τὴν ὑμῶν θέλων διόρθωσιν.

Φωτὶ τῷ θείῳ με φωταγώγησον, ἡ τοῦ φωτὸς παρθένε θεοτόκε λοχεύτρια· καὶ ψυχῆς μου τὸν ζόφον ἀπέλασον, ὅπως σε μακαρίζω, ἣν μακαρίζουσι πᾶσαι τῶν ἀνθρώπων γενεαί, ὡς προεφήτευσας.

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἴασαί με κύριε καὶ ἰαθήσομαι, τῷ μώλωπί σου τοὺς τῆς ψυχῆς μου ἐκκαθάρας μώλωπας, σώτερ, ὁ τὰ πάθη σαρκὶ καταδεξάμενος.

Ἀκανθοφορήσασαν καὶ χερσωθεῖσάν μου ψυχὴν παντοίαις παθῶν εἰδίαις, Χριστέ μου, καθάρισον, ὁ σεφθεὶς ἀκάνθαις δὲ ἄκραν ἀγαθότητα.

Ῥῦσαι τῆς κακίας με τοῦ πολεμήτορος, ἐπίστρεψόν με τὸν πλανηθέντα, καὶ ἐκδαπανήσαντα πάντα μου τὸν βίον ἀσώτως, πολυέλεε.

Νέον ἀπεκύησας ὡς βρέφος, ἄχραντε, τὸν πλαστουργόν μου, ὃν ἐκδυσώπει· πεπαλαιωμένον με ἐν πολλῇ κακίᾳ ἀνακαινίσαι δέσποινα.

Σοὶ τῷ παντουργῷ.

Ἥπλωσας σταυρῷ τὰς Χριστὲ παλάμας, χειρὸς τοῦ προπάτορος τὸ ἀκρατὲς ἀναιρῶν, ξύλῳ δὲ ξύλου ἴασω τὴν κατάραν· ὅθεν σε ὑμνοῦμεν εἰς πάντα.

Σοὶ τῷ θεληθετῇ τῆς σωτηρίας λόγε προσπίπτω· θελήματα τὰ πονηρότατα παῦσον ἐν τάχει ἐκ τῆς ἐμῆς καρδίας, ὁ σταυρὸν καὶ πάθη θελήσει ὑπομείνας.

Ἄσωτον ζωὴν διεστραμμένον βίον ποθήσας ἡμαύρωμαι ἐγὼ ὁ ἄσωτος· λάμψον ἀκτῖνα ἐπιστροφῆς μοι λόγε, ὁ ἡλίου φέγγος τῷ πάσχειν ἀμαυρώσας.

Digitized by Google

Παῦσον τῆς ἀμῆς ωολυοδύνου πᾶσαν καρδίας τὴν κάκωσιν, Μαρία μήτερ Θεοῦ, Θραῦσον δαιμόνων τὰ βέλη καὶ τὰ τόξα, τῶν ἐκπολεμούντων τὴν ταπεινὴν ψυχήν μου.

Ἠσαΐα χόρευε, ἡ παρθένος ἔσχεν ἐν γαστρί.

Τὴν λεωόθη πώρωσιν τῆς ψυχῆς μου, εὔσπλαγχνε Χριστέ, ἀπάλυνον, καὶ πηγὴν δός μοι ἀγαθὲ θείας καθανύξεως· ὁ ἐκ πλευρᾶς βλύσας μοι ζωὴν, τῆς ἁμαρτίας μου τοὺς χειμάρρους ἀναξήλωσαν.

Ἐμαυτὸν ἀπέῤῥιψα εἰς τὰ βάθη τῶν ἁμαρτιῶν, τὰ ὕψη καταλιπὼν τὰ τῶν ἀρετῶν· ἀλλ' ἕλκυσον, σῶσόν με ὁ ἀνελθὼν ἐπὶ τοῦ σταυροῦ, καὶ τὸ ἀνθρώπινον ἀνελκύσας πρὸς σὲ κύριε.

Γλυκασμὸς ὢν κύριε, καὶ ἡδύτης ὡς δημιουργὸς, χολῆς ἐγεύσω Χριστέ· ὅξος γὰρ πιὼν, ὑπάρξασαν ἔκπτωσιν τοῖς ἐξ Ἀδὰμ σὺ ἐπανορθοῖς· ὅθεν ὑμνοῦμέν σε οἱ σωθέντες σοῖς παθήμασι.

Παναγία δέσποινα, ἡ ἐλπίς μου καὶ καταφυγὴ, τὰ τραύματα τῆς ἐμῆς ἴασαι ψυχῆς· τὸν νοῦν μου εἰρήνευσον, ἵνα κἀγὼ χαίρων ἀνυμνῶ τὰ μεγαλεῖα σου θεοτόκε ἀεὶ παρθένε.

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης.

Αἱμάτων ὠρδεύσατε σταγόσι τῶν εὐσεβῶν καρδίας· δυσσεβούντων δὲ τὰς παρατάξεις, περιφανῶς ἐν αὐτοῖς ἐπνίξατε, ἀθλοφόροι ἀξιάγαστοι.

Δοξάσαντες μίλεσιν οἰκείοις τὸν τοῦ ωαντὸς δεσωότην, νῦν δοξάζεσθε ἀδιαλείπτως, δόξα πιστῶν ἀθληταὶ ὑπάρχοντες, καὶ μεγάλοι ἀντιλήπτορες.

Ἐν λάκκῳ ἐτέθης κατωτάτῳ· τοῖς οὖν πιστῶς θανοῦσιν, ὦ θεοῦ λόγε πᾶσι παράσχου, τῶν ἱερῶν ἀθλητῶν δεήσεσι, τῶν κταισμάτων τὴν συγχώρησιν.

Ἵνα σε φωναῖς διαπρυσίοις ἀνευφημῶμεν, κόρη· τὰς φωνὰς ἡμῶν ταύτας δεχθέναι, καὶ ἵλασμὸν ὀφλημάτων αἰτῆσαι, ὡς υἱόν σου ἱκετεύουσα.

Νέοι τρεῖς ἐν Βαβυλῶνι.

Τίνι ςέργουσα τὰ πάθη τῶν ἀλόγων ἀληθῶς ψυχὴ ἐξωμοίωσαι; τίνα ὑπερβάλλοντα ἔσχες; ἐν ἁμαρτίαις βάπτισον τῷ Χριστῷ, σῶσόν με ἀγαθέ.

Digitized by Google

Ἅγιοι τὸν ἐν ἁγίοις αἰτήσασθε ἐκτενῶς ἐπαναπαυόμενον ταύταις ταῖς ἁγίαις ἡμέραις καθαγιάσαι πάντων τῶν εὐσεβῶν τὰ φρονήματα.

Ὕψισε ὁ ἐν ἐλέει πλούσιος καὶ ἀγαθὸς, τοῖς δούλοις σου ἄφεσιν τοῖς προκοιμηθεῖσι παράσχου, χοροῖς ἁγίων τούτους συναριθμῶν ὡς φιλάνθρωπος.

Τέτοκας νομίμων δίχα, φύσεως τὸν πλαστουργὸν, γενάμενον ἄνθρωπον, ἄχραντε· αὐτὸν οὖν δυσώπει, τὰς ἀνομίας παραβλέψαι ἡμῶν ὡς φιλάνθρωπον.

Λυτρωτὰ τοῦ παντός.

Ἀπτοήτῳ χωροῦντες φρονήματι πρὸς ἐκείνους σκάμματα μάρτυρες, πόνους σαρκὸς ὑπέστητε, καὶ πρὸς ἄπονον λῆξιν μετοικισθέντες, πάντα πόνον καρδίας κουφίζετε.

Οἱ τὰ ἄνω φθαρτοῖς ἀλλαξάμενοι, σαρκικοῖς με φθειρόμενον πάθεσι, διὰ νηστείας σώσατε καὶ εὐχῶν ἐμμελείας, μάρτυρες θεῖοι, τὸν τῶν ὅλων θεὸν ἱκετεύοντες.

Ἱκεσίας Χριστε τῶν μαρτύρων σου, τὰ ἐλέη σου πᾶσι κατάπεμψον, καὶ τοῖς πρὸς σὲ τὴν εὔσπλαγχνον, μεταγάσει τοῦ βίου, λύσιν παράσχου ὀφλημάτων καὶ θείαν ἀνάπαυσιν.

Ὡς τεκοῦσα θεὸν ἀναμάρτητον, τὰς ἡμῶν ἁμαρτίας ἐξάλειψον ταῖς μητρικαῖς πρεσβείαις σου, Θεοτόκε, καὶ σῶζε ἀναβοῶντας, εὐλογεῖτε τὰ ἔργα τὸν κύριον.

Εὖα μὲν τῷ τῆς παρακοῆς νοσήματι.

Στηρίξαντες πέτρᾳ νοητῇ τὸ φρόνημα ἀθλοφόροι, ἀπαράτρεπτοι πάσαις ἐχθροῦ ταῖς πανουργίαις ἐμείνατε· διό με τρεπόμενον πρὸς πάθη ψυχοφθόρα στηρίξατε ταῖς πρὸς τὸ θεῖον παρακλήσεσιν.

Ἡ θεία καὶ ὄντως φωταυγὴς ὁμήγυρις τῶν μαρτύρων, καθικέτευε τὸν ὑπεράγαθον δεσπότην, καιρῷ τῆς ἐγκρατείας συγχώρησιν πταισμάτων ἡμῖν πᾶσι δωρήσασθαι, καὶ αἰωνίαν ἀγαλλίασιν.

Φιλάνθρωπε μόνε ἀγαθὲ, τοὺς δούλους σου ἐπ' ἐλπίδι ἀναστάσεως κεκοιμημένους αἰωνίου φωτὸς καὶ ἀνεσπέρου ἀξίωσον μετέχειν, καὶ τρυφῆς ἀπολαύσεως, ἵνα σε τόθῳ μεγαλύνωμεν.

Digitized by Google

Φωτὸς οἰκητήριον ἡ σὴ γεγένηται παναγία μήτηρ δέσποινα· ἄθεν πιστῶς ἀνεβοῶ σοι· τὰς κόρας τῆς ψυχῆς μου καθαύγασον, καὶ τρίβον τὴν εὐθείαν ὑπόδειξον τῷ σὲ γνησίως μακαρίζοντι.

Ἀρματηλάτην Φαραὼ ἐβύθισας.

Ἡ φωτοφόρος τοῦ σταυροῦ προσκύνησις πᾶσιν ἐπέφανεν, ἡλιακὴν αἴγλην σωτηρίας πέμπουσα, καὶ πάντας καταυγάζουσα τοὺς παθῶν ἀμαυρώσει πεκρατημένους· συνδράμωμεν, τοῦτον καθαρῶς ἀσπασώμεθα.

Τῇ τῆς νηστείας καθαρθέντες χάριτι, καθαρωτάτῳ νοΐ, τῷ καθαρῷ μόνῳ θεῦτε ἐκβοήσωμεν φωνὴν εὐχαριστήριον· σὺ τὸ αἷμά σου λόγε ἡμῶν εἰς λύτρον ἔξέχεας, καὶ τῷ σῷ σταυρῷ ἁγιάζεις ἡμᾶς.

Συμπεσθεὶς ταῖς προσβολαῖς τοῦ ὄφεως, ὠτῶμα ἐξαίσιον διὰ παντὸς κεῖμαι· σώτερ ὁ τὴν ἔκπτωσιν τῶν πρωτοπλάστων πάθει σου καὶ σταυρῷ ἀνορθώσας, ἀνόρθωσον καὶ ὁδήγησον σοῦ πρὸς θελημάτων ἐκπλήρωσιν.

Παρεστημένη τῷ σταυρῷ σου κύριε ἡ ἀπειρόγαμος, καὶ τὰς ἐν σοὶ τρώσεις καθορῶσα, δέσποτα, τιτρωσκομένη ἔλεγεν, οἴμοι τέκνον, ὡδῖνας ἀποφυγοῦσα τῷ τόκῳ σου, νῦν ὀδυνηρῶς κατατρύχομαι.

Ἐκτακλασίως κάμνον.

Τὸν ἰοβόλον πάθεσι καὶ ψυχὴν καὶ διάνοιαν τετραυματισμένην κεκτημένον, κύριε, ἐλέησον, οἰκτειρον, τῷ σταυρῷ θεράπευσον, καὶ ταῖς ἐκ πλευρᾶς σου κενωθείσι ῥανίσι· προθύμως ἵνα ψάλλω, ἱερεῖς εὐλογεῖτε.

Ἐπὶ τοῦ ὄρους πάλαι σε Μωϋσῆς προετύπωσε, χεῖρας ἀνυψῶν καὶ Ἀμαλὴκ τροπούμενος, σταυρὸ πανσεβάσμιε, ὃν προσκυνοῦντες σήμερον, τρέπομεν δαιμόνων τὰ ἀλλόφυλα στίφη· καὶ φόβῳ μελῳδοῦμεν, ἱερεῖς εὐλογεῖτε.

Ὑπὸ παθῶν κλονούμενον, ὑπ' ἐχθρῶν σκελιζόμενον, ὑπὸ συνηθείας πονηρᾶς ἑλκόμενον, οἰκτείρησον εὔσπλαγχνε, τῷ σῷ σταυρῷ ζωράκισον· ὅπως μελῳδῶ ἐν ἀκλονήτῳ καρδίᾳ, οἱ παῖδες εὐλογεῖτε.

Digitized by Google

Ὀδυνηρὰ στενάζουσα, μητρικῶς ἀλαλάζουσα, καὶ τὴν ἐκ τῶν σπλάγχνων συνοχὴν μὴ φέρουσα, στυγνῷ ἐνητένιζες τῷ ἐκ τῆς σῆς τεθέντι γαστρὸς τέκνον ἐκβοῶσα, τί τὸ ὅραμα τοῦτο, πῶς πάσχεις ὁ τῇ φύσει ἀπαθὴς; πάντως θέλων τὸ γένος τῶν ἀνθρώπων παθῶν ἐλευθερῶσαι.

Ἔφριξε πᾶσα ἀκοή.

Ἐγγόνους πάλαι Ἰακὼβ εὐλογῶν προδιετύπου τρανώτατα σαυρὸν τὸν τίμιον· δι' οὗ οἰκτίρμων ἡμᾶς εὐλόγησον, ἁγιασμοῦ παρεκτικὴν χάριν παρεχόμενος τοῖς προσκυνοῦσιν αὐτόν, καὶ τὸν πάντων λυτρωτὴν σὲ δοξάζουσι.

Νηστείας ὕδατι πιζοὶ, καθαρθέντες καὶ ψυχὴν καὶ διάνοιαν, τὸ ζωοδώρητον καὶ θεῖον ξύλον περιπτυξώμεθα· πρόκειται πᾶσιν ἐμφανῶς, βρύον θείαν ἄφεσιν, καὶ φῶς οὐράνιον, καὶ ζωὴν, καὶ ἀληθῆ ἀγαλλίασιν.

Κριτὴν σε οἶδα φοβερὸν ἐλευσόμενον ἐν δόξῃ θεότητος, πάντων τὰ κρύφια ἐλέγχειν τότε μέλλοντα κύριε· διό σοι κράζω ἀγαθὲ· ἥμαρτον, συγχώρησον, μὴ θριαμβεύσῃς μου τὰ πολλὰ καὶ χαλεπὰ πλημμελήματα.

Τὸν ἄρνα πάλαι ἡ ἀμνὰς, θεωρήσασα σταυρῷ καθηλούμενον· καὶ σκοτιζόμενον ἡλίου φέγγος, κλαίουσα ἔλεγεν, ἥλιε δόξης Ἰησοῦ, ἔδυς θανατούμενος· ἀλλὰ ἀνάτειλον τῆς ἐγέρσεως τὸ φῶς τοῖς ποθοῦσί σε.

Ὅτι ἐγώ εἰμι θεὸς, ὁ πάλαι τὸν Ἰσραὴλ.

Μέσον τῆς κτίσεως, ὃν καθυπέμεινας σταυρὸν, Μεσία λόγε θεοῦ, τῷ τῆς νηστείας σήμερον μεσασμῷ, πιστῶς προσκυνοῦμεν, αἰτούμενοι κατιδεῖν καὶ τὴν ἀνάστασιν τὴν σήν.

Ῥάβδῳ δυνάμεως προτυπωθείσῃ τῷ Μωϋσῇ τὴν θάλασσαν τῶν παθῶν διατεμόντες, φθάσωμεν πρὸς τὴν γῆν τῆς ἐπαγγελίας· καὶ μάννα τοῦ νοητοῦ ἐμφορηθῶμεν διαψιλῶς.

Τίς μὴ θρηνήσῃ σε, τίς μὴ πενθήσῃ σε ψυχὴ, ποθοῦσαν τὰ πονηρὰ, οὐκ ἐκζητοῦσαν πόθῳ τὰ ἀγαθὰ, δικαίου κριτοῦ δὲ καταφρονοῦσαν ἀεὶ, μακροθυμοῦντος ἐπὶ σοί;

Σάρκα γενόμενον ἀναλλοιώτως τὸν Χριστὸν παρθένε κυοφο-

Digitized by Google

ρεῖς· ὃν ἐκτενῶς ἱκέτευε, σαρκικῶν παθῶν ἀπαλλάξαι τοὺς προσκυνοῦντας σαρκὶ, ὃν καθυπέμεινε σταυρόν.

Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῶα αὐτοῦ.

Ὁ συσσείσας θεμέλια πάσης τῆς γῆς ὡς θεὸς, ὑψωθεὶς ἐν ξύλῳ, ἄσειστον πᾶσιν ἐδωρήσω πιστοῖς ἔρεισμα κύριε, τὸ σωτήριον ὅπλον τοῦ σταυροῦ σου· ὃν περ προσκυνοῦντες, σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἀπαστράπτον θεώμενοι ὑπὲρ ἡλίου βολὰς, τοῦ σταύρου τὸ ξύλον, θεῦτε νηστείᾳ ἀστραπτόμενοι νῦν ἀσπασώμεθα, ἀρυόμενοι χάριν φωτοφόρον, σκότος ἐκμειοῦσαν τῶν ὑπερυψούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὕδωρ ζῶν τὸ ἀλλόμενον εἰς αἰωνίαν ζωὴν σὺ ὑπάρχων λογε, αἷμα καὶ ὕδωρ ἐκ πλευρᾶς ἐν σταυρῷ ἔβλυσας θέσπιστα, ἁμαρτίας χειμάῤῥους ἀναπέλλων· ὅθεν δυσωπῶ σε, ξήρανον παθῶν μου τὰς πονηρὰς ἐκβλύσεις.

Νοητὸν ὡς ἁγίασμα, τὸν ἐν ἁγίοις θεὸν ἀναπαυόμενον τίκτεις ἁγία θεομῆτορ ἁγνὴ, πάντα τὰ πέρατα ἁγιάζοντα θείᾳ κυβερνήσει σήμερον παρθένε ξύλου παναγίου ἐν ᾧ σαρκὶ ἐπάγη.

Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραήλ.

Εὐλογητὸς εἶ κύριε, ὁ θεὸς τοῦ Ἰσραὴλ, ὁ σταυρῷ σου λύσας τὴν ἀρχαίαν ἀρὰν· καὶ τοῦτον ἡμῖν δωρησάμενος κραταίωμα καὶ καταφυγὴν, καὶ ἀσφαλῆ κρηπίδα· δι' οὗ τοὺς ἐχθροὺς ἡμῶν νῦν κερατιοῦμεν.

Ὅτι σειραῖς συσφίγγομαι· τῶν ἁμέτρων μου κακῶν, καὶ τὰς τρίβους σοῦ τὰς σωτηρίους Χριστὲ, ἐκὼν ἐπιγνῶναι οὐ βούλομαι· τῷ σῷ με ἐπίστρεψον σταυρῷ, τὴν πώρωσίν μου λύων, δι' ἄφατον ἔλεος τῆς σῆς εὐσπλαγχνίας.

Τὴν φαρισαίου ἔπαρσιν μεμνησάμενος κακῶς, κατηνέχθην πτῶμα χαλεπὸν καὶ δεινὸν, καὶ κεῖμαι ἐχθρῶν καταπάτημα· ἀλλ' οἰκτειρον σῶσόν με Χριστὲ, ὁ ἑαυτὸν δι' οἶκτον ταπεινώσας ὕψιστε βασιλεῦ τῆς δόξης.

Αἱ γενεαί σε ἅπασαι μακαρίζουσιν ἁγνὴ· Ἰησοῦς γὰρ μόνος ὁ τεχθεὶς ἐκ τῆς σῆς νηδύος, αὐτὸς ὡς ἐπίστασαι ἐποίη-

Digitized by Google

σε κόρη μετὰ σοῦ παρθένε μεγαλεῖα· ὃν δυσώπει σώζεσθαι πόλιν καὶ λαόν σου.

Κύριος ὢν πάντων καὶ κτίστης.

Κύριος ὢν πάντων καὶ κτίστης θεὸς, μέσον γῆς ἐπὶ σταυροῦ ὑψώθης· πρὸς ἑαυτὸν ἀνυψῶν τῶν ἀνθρώπων πεσοῦσαν οὐσίαν κακίστῃ τοῦ ἐχθροῦ συμβουλίᾳ· ὅθεν σε πιστῶς δοξάζομεν, τῷ σῷ πάθει στερεούμενοι.

Καθάραντες αἰσθήσεις νηρείας φωτὶ, τοῦ σταυροῦ ταῖς νοηταῖς ἀκτῖσι, πλουσιωτάτως πιστοὶ αὐγασθῶμεν· καὶ τοῦτον ἐμφανῶς προκείμενον σήμερον ὁρῶντες, χείλεσιν ἁγνοῖς καὶ στόματι καὶ καρδίᾳ προσκυνήσωμεν.

Τόπον οὗ ἔστησαν οἱ πόδες Χριστοῦ, προσκυνήσωμεν σταυρὸν τὸν θεῖον, πέτρᾳ Χριστοῦ ἐντολῶν στηριχθῆναι τοὺς πόθους αἰτοῦντες ψυχῶν ἡμῶν, καὶ κατευθυνθῆναι ταύτῃς διαβήματα ὁδὸν εἰς εἰρήνην θείᾳ χάριτι.

Κόρης ἐξ ἀνάνδρου προῆλθες Χριστὲ, προσλαβόμενος ἐκ ταύτης σάρκα ἔννουν καὶ ἔμψυχον, καὶ σταυρῷ σου ἐχθρὸν ἀφανίσας, φθαρεῖσαν τῶν βροτῶν τὴν οὐσίαν πάλιν ὡς θεὸς ἐκαίνισας· διὸ δόξαν σοι προσφέρομεν.

Νόμων πατρῴων οἱ μακαριστοί.

Μέσης ἡμέρας σταυρουμένου σου, μέσον τῆς γῆς βουλήσει κόσμου τὰ πέρατα, μέσον φάρυγγος τοῦ δράκοντος ἐξήρπασας οἰκτίρμων· διὸ ἐν μέσῃ θείων ἑβδομάδι νηστειῶν προσκυνοῦντες κρανγάζομεν τὸν τίμιον σταυρόν σου· τὸν κύριον ὑμῶν, τὰ ἔργα εὐλογεῖτε.

Χαρᾶς σημεῖον ὅπλον, ἄῤῥηκτον τῆς ἐκκλησίας τεῖχος, μάρτύρων καύχημα, ἀποστόλων ἐγκαλλώπισμα, ἀρχιερέων σθένος ἐνδυναμώσας τὴν ἐξασθενοῦσάν μου ψυχὴν, προσκυνεῖν σε ἀξίωσον ἐνθέως μελῳδοῦντα τὸν κύριον.

Θρηνῶ καὶ κλαίω καὶ ὀδύρομαι, ὅτ' ἂν εἰς νοῦν μου λάβω τὸ δικαστήριον τὸ ἀδέκαστον μακρόθυμε, κατάκριτος ὑπάρχων· διό μου φείσαι, καὶ τὸν ἐπικείμενον κλοιὸν τῆς ψυχῆς μου ἐλάφρυνον, ἵνα χαίρων κρανγάζω, τὸν κύριον ὑμῶν τὰ ἔργα εὐλογεῖτε.

Digitized by Google

Ἐτύπου βάτος τὸ μυστήριον τοῦ ὑπὲρ νοῦν σου τόκου, κόρη πανάμωμε· ὡς ἐκείνη γὰρ δέμνιος, ἄφλεκτος πῦρ τεκοῦσα, Χριστὸν σωτῆρα τὸν ἀνυψωθέντα ἐν σταυρῷ, ὃν δυσώπει ῥυσθῆναί με πυρὸς ἀναβοῶντα τὸν κύριον.

Ἀπορῶ πᾶσα γλῶσσα.

Ὁ Ἐλισσαῖος πάλαι ποταμοῦ τὴν ἀξίνην ἀνέλκων ξύλῳ, σὲ τὸ ζωοδώρητον ἐτύπου σταυρὲ ξύλον, δι' οὗ ἐκ βυθοῦ ἀνείλκυσε Χριστὸς τὰ ἔθνη εἰδωλικῆς μανίας, ἐν σοὶ προσηλωθείς· ὅθεν σὲ προσκυνοῦντες τὸ κράτος αὐτοῦ δοξάζομεν.

Ἥλιου σέλας, σώτερ, μετεβλήθη εἰς σκότος τῇ σῇ σταυρώσει· φέγγος τε σελήνης ἐμειώθη, καὶ στοιχεῖα τρόμῳ ἠλοιώθη ἅπαντα· διὸ βοᾷ σοι ἀλλοιωθέντα σκότει παθῶν τὸν λογισμὸν λόγε σῇ δεξιᾷ ἀλλοιώσας, φώτισον σῶσόν με.

Τῷ μώλωπί σου ἴασαι ψυχῆς μου τὰ πάθη, πλευρᾶς σου τρώσει παῦσον ἐποδύνους μου τὰς τρώσεις τῶν δαιμόνων· ἥλοις σου Χριστὲ ἐξήλωσον τὰς ἐνηδόνους καὶ ἐμπαθεῖς ὀρέξεις, δεδούς μοι ἀπαθῶς πάθη σοῦ τὰ σεπτὰ προσκυνῆσαι καὶ τὴν ἀνάστασιν.

Ὡραῖον κάλλει τέτοκεν ὡραῖα σε κόρη, ὃν καθορῶσα, κάλλος ἐν τῷ πάσχειν οὐδὲ εἶδος κεκτημένον, σώτερ θρηνοδοῦσα ἔλεγεν, ἐκπλήττομαί σου τὴν ὑπὲρ νοῦν υἱέ μου ταπείνωσιν δι' ἧς σώζεις ταπεινωθεῖσαν τὴν φύσιν τῆς ἀνθρωπότητος.

Ἐπὶ τῆς θείας φυλακῆς.

Ἁγιασμοῦ παρεκτικὴν χάριν δωρούμενος ἡμῖν, ἅγιε σταυρὲ, ἀποστόλων καύχημα καὶ στήριγμα, πρόκεισαι εἰς προσκύνησιν· σήμερον πάσῃ τῇ οἰκουμένῃ, τὸν τῆς νηστείας καιρὸν κατευμαρίζων ἡμῖν.

Σκιογραφούσας τὸν σταυρὸν χεῖρας ἐκτείνας, Ἀμαλὴκ ἔτρεψε Μωϋσῆς· ὃν τυποῦντες, χεῖρας ἐκπετάσωμεν, νηστείαις καὶ δεήσεσι, στίφος ὅπως τρέψωμεν δαιμόνων ἐκπολεμούντων ἡμᾶς διὰ παντὸς φθονερῶς.

Θείῳ ἀρότρῳ τοῦ σταυροῦ κατενεώσατε τὴν γῆν θεῖοι μαθηταὶ, καρποφόρον ταύτην ἀναδείξαντες, βλαστάνουσαν εὐσέβειαν· ὅθεν ὑμᾶς φωναῖς αἰτησίοις ἀνευφημοῦμεν, ἀεὶ Χριστὸν δοξάζοντες.

Digitized by Google

Μήτερ θεοῦ τοῦ ἀγαθοῦ, ἀγάθυνόν μου τὴν ψυχήν· ἣν ὁ πονηρὸς συνηθείᾳ πονηρᾷ ἐκάκωσεν, ἀθλίως δελεάσας με, ὅπως ὡς σωτηρίας αἰτίαν ὑμνολογῶ σε ἀεὶ τὴν πολυύμνητον.

Αὕτη ἡ κλητὴ καὶ ἁγία.

Χαίροις ὁ σταυρὸς ὁ τριμερὴς καὶ θεῖος, ἐν ᾧ ὁ εἷς τῆς τριάδος σάρκα φορέσας ἐπάγῃ, ἐμπαγέντας ὑμᾶς ἀσεβείας εἰς βυθὸν λυτρωσάμενος, ὃν ὑπερψοῦμεν.

Σθένος τὸν σταυρὸν κραταιὸν κεκτημένοι, τοὺς δεινῇ δυνασείᾳ τοῦ πονηροῦ δουλωθέντας ἠλευθέρωσαν οἱ τοῦ λόγου μαθηταὶ ἀνακράζοντες, σὲ ὑπερυψοῦμεν Χριστέ.

Οἶμοι τί φρικώδες τὸ βῆμα ἐκεῖνο, ἐν ᾧ λόγε καθίσας, τὰ πεπραγμένα κρυφῇ μοι φανερώσεις Χριστέ, στηλιτεύων τὴν ἀναισθησίαν μου· ἀλλὰ φεῖσαι ὢν συμπαθὴς, φεῖσαί μου τότε.

Κόλπων οὐκ ἐκστὰς τῶν πατρῴων, ἐν κόλποις ἀνεκλίθης παρθένου, ἐπ' ἀνακλήσει τοῦ γένους οὗ ἐφόρεσας διὰ σπλάγχνα Χριστὲ τὸ ὁμοίωμα· ὅθεν σε ὑμνοῦμεν.

Φωτίζου φωτίζου.

Φαιδρύνου φωτίζου, ἡ ἐκκλησία τοῦ Χριστοῦ τοῦ σταυροῦ ταῖς ἀκτίσιν, ὃν φέρεις προκείμενον πάντων εἰς προσκύνησιν· σὺ δὲ πληθὺς πᾶσα τῶν δαιμόνων, σκότους πλησθεῖσα ἀπόδραθι.

Κράτος ἰσχυρατείας ὁ θεῖος πέφυκε σταυρὸς, συνεργὸς ἀγρυπνούντων, νηστευτῶν ἐνίσχυσις, πολεμουμένων ὑπέρμαχος· τοῦτον πιστοὶ πόθῳ συνελθόντες, περιχαρῶς προσκυνήσωμεν.

Θεμέλιοι θεῖοι τῆς ἐκκλησίας τοῦ Χριστοῦ, ἱδρασμῷ εὐσεβείας, πάντας συντηρήσατε, καὶ ἐπὶ πέτραν στηρίξατε τὴν ἀῤῥαγῆ τοῦ ἐκλεξαμένου ὑμᾶς, ἀπόστολοι ἔνδοξοι.

Χαρὰν συλλαβοῦσα τοῦ ἀρχαγγέλου τῇ φωνῇ, τὰς ἐμὰς νῦν καρδίας τὴν λύπην ἀφάνισον τὴν ψυχοφθόρον, καὶ δίδου ἀγνὴ χαροποιὸν πένθος, ὅπως εὕρω ἐκεῖ τὴν θείαν παράκλησιν.

Παῖδες εὐαγεῖς ἐν τῇ καμίνῳ.

Πάθος σου τοῦ ἀπαθοῦς ὁρῶσα ἡ κτίσις συνέπασχε μακρόθυμε· ἥλιος ἐσβέννυτο, πέτραι διεῤῥήγνυντο, πᾶσα γῆ ἐσείετο φόβῳ κραυγάζουσα, τὸν κύριον ὑμνεῖτε τὰ ἔργα.

Digitized by Google

Θηρίοις δεινοῖς τοῖς τοῦ καλάμου, θεοτόκέ μου οἰκτίρμων ἐπιτίμησον, ἔνδον με συνθλίβουσι σώτερ ὁ τὴν ἄτιμον ὑπενεγκὼν τυπτόμεν ὕβριν καλάμῳ Χριστὲ, τιμῆσαι προελόμενος πάντας, τοὺς ἀτιμασθέντας τῇ πάλαι παραβάσει.

Εἰς νοῦν τὸ φρικτόν σου ὅτ' ἂν λάβω κριτὰ δικαιότατε κριτήριον, τρέμω καὶ ἐξίσαμαι, φρίττω καὶ ὀδύρομαι, κατανοῶν τὰ ἔργα μου δίκης ἐπάξια· διό σου τὴν πολλὴν εὐσπλαγχνίαν, σώτερ μὴ νικήσῃ τὸ πλῆθος τῶν κακῶν μου.

Τεκοῦσά σε ἄνευθεν ὠδίνων, ὀδύνας τῇ σῇ σταυρώσει καθυφίσταμαι, φλέγοντας τὰ σπλάγχνα μου· ἕλοις γὰρ προσήλωσαι τὴν σὴν πλευρὰν μακρόθυμε, ἐξορυττόμενος, ὁ πάναγνος ἐβόα παρθένος· ἦν ὡς θεοτόκον, συμφώνως ἀνυμνοῦμεν.

Ἅπας γεγενὴς σκιρτάτω τῷ πνεύματι.

Ξύλῳ τοῦ σταυροῦ τὴν φλόγα ἐμάρανας τῆς ἁμαρτίας Χριστὲ· χεῖρας πεπαρμένος δὲ χειρὸς ἐρρύσω τοῦ πολεμήτορος τὸν ἀκρατῶς ἐκτείναντα χεῖρας πρὸς βρῶσιν καρποῦ· οὗπερ μόνου φεύγειν τὴν μετάληψιν ἀπεφήνω Χριστὲ πολυέλεε.

Πάθος σου Χριστὲ τὸ πᾶσιν ἀπάθειαν βροτοῖς πηγάσαν φαιδρῶς· βλέψαι καταξίωσον ἐν ἀπαθείᾳ τοὺς προσκυνοῦντας πιστῶς τὸν σὸν σταυρὸν τὸν τίμιον, τὰς ἁμαρτίας ἡμῶν παραβλέπων, καὶ τῆς ἀναστάσεως ἀληθεῖς σου υἱοὺς ἐργαζόμενος.

Ὑψωσας ἡμᾶς πεσόντας εἰς βάραθρα τῇ ἀνυψώσει σου· ἔλυσας τὸν πάλαι, καὶ τῷ πατρί σου ἡμᾶς κατήλλαξας· ὑπὲρ ἡμῶν τὸ αἷμά σου καταβαλόμενος, εὐεργέτα· ὅθεν σε δοξάζομεν, ὡς θεὸν λυτρωτὴν τῶν ψυχῶν ἡμῶν.

Μόνῃ τοῦ θεοῦ σοφίαν κυήσασα τὴν ἐνυπόστατον, σόφισόν με δέομαι τοῦ τῆς κακίας διαφυγεῖν σοφιστοῦ ἐπιβολὰς καὶ ἔνεδρα καὶ πανουργεύματα, θεοτόκε κόρη ἀπειρόγαμε, κραταιὸν τῶν πιστῶν καταφύγιον.

Ἐν πελάγει τοῦ βίου.

Ὑπερίβητε ὅρους σαρκὸς ἀθληταί, πολλῇ ὑπομονῇ ὑπενεγκόντες τιμωρίας πόνους· διὸ ἅπαντα πόνον καὶ θλῖψιν κουφίζετε τῶν ὑμᾶς ἀνυμνολογούντων.

Digitized by Google

Μυριάσιν ἀγγέλων στρατὸς ἡνώθη ἁγίων ἀθλητῶν, καὶ ἱκετεύει τὸν πανάγαθον θεὸν, ἐγκλημάτων μυρίων ἡμᾶς ἐκλυτρώσασθαι, ἡμερῶν τεσσαρακοντάδι.

Νεκρωθεὶς καὶ ἐν τάφῳ Χριστὲ ὑπνώσας, ἀνέστησας νεκροὺς· καὶ τοῖς ἐν πίστει τεθνεῶσι νέμεις ἀγαθότητος πλούτῳ, σώτερ, τὴν ἀνάπαυσιν, μετὰ πάντων τῶν σῶν ἁγίων.

Ὁ θεοῦ θεὸς λόγος ζητῶν θεῶσαι τὸν ἄνθρωπον, ἁγνὴ ἐκ σοῦ σαρκοῦται καὶ βροτὸς ὁρᾶται· ὃν ἀπαύστως δυσώπει εὑρεῖν ἡμᾶς ἔλεος ἐν καιρῷ τῆς ἀπολογίας.

Τῇ εἰκόνι τῇ χρυσῇ.

Στολισθέντες ἀθληταὶ τὴν ἀφθαρσίαν ἐνθέως τῇ ἀπεκδύσει τῆς φθειρομένης σαρκὸς, τῷ δι' ἡμᾶς σάρκα ἐξ ἀφθόρου προσλαβόντι γυναικὸς, νῦν παρίστασθε φαιδρὸν· διό με ἐνδύσατε περιβολὴν ἱερὰν, γεγυμνωμένον κακῶς.

Ἐγκρατῶς πολιτευθεὶς τῶν ἀθλοφόρων ὁ δῆμος, τῆς ἐγκρατείας ἡμᾶς τὸ στάδιον ἐνδυναμοῦ τρέχειν ἀκωλύτως, ὡς κηρύξας τὸν Χριστὸν ἐν σταδίῳ ἀνδρικῶς, καὶ παρεστὼς βήματι στεφηφορῶν ἐν φωτὶ, μετὰ ἀγγέλων Χριστοῦ.

Ἱκεσίαις ὁ θεὸς τῶν σῶν ἁγίων μαρτύρων, τοὺς κοιμηθέντας πιστοὺς οἰκέτας σου, τοῦ παραδείσου πολίτας δεῖξον, καὶ φωτὸς τοῦ νοητοῦ, καταξίωσον αὐτοὺς ἀπαύστως τοῦ βοᾷν σοι, εὖ ὁ θεός.

Σὲ τὴν μόνην ἀγαθὴν ἐκδυσωποῦμεν παρθένε· κεκακωμένους ἡμᾶς ἀγάθυνον, καὶ ἐκτενῶς τὸν Χριστὸν δυσώπει, φύσει ὄντα ἀγαθὸν, ἐγκρατείας τὸν καιρὸν, τὰ ἀγαθὰ πράττοντας, ἀποπληρῶσαι ἡμᾶς, ὑμνολογοῦντας αὐτόν.

Ἐν πυρὶ φλογός.

Μεγαλώνυμοι Χριστοῦ τοῦ θεοῦ καὶ σεπτοὶ ἀθληταὶ, ἅπαντας τοὺς καταχρέως μεγαλύνοντας ὑμᾶς, μεγάλων ἐγκλημάτων καὶ τῶν ἐκεῖ βασάνων λυτρώσασθε ὑμῶν πρὸς αὐτὸν μεγίσταις ἱκεσίαις.

Ἁγιόλεκτον Χριστοῦ τοῦ θεοῦ, καὶ στερρὸν ἀληθῶς στράτευμα, μαρτύρων δῆμοι, ἁγιάσατε ἡμῶν τὸν νοῦν καὶ τὰς καρ-

Digitized by Google

θίας, ἐν ταύταις ταῖς ἁγίαις ἡμέραις τὰς νηστείας, ὑμῶν ἁγίαις ἱκεσίαις.

Ῥεῖθρα βλύζουσιν ἀφίστως τὰ ὑμῶν ἀθληταὶ αἵματα καὶ τῶν λειψάνων οἱ σοροὶ θαυμαστικῶς· διὸ τοὺς μεταστάντας τῷ ῥείθρῳ τοῦ ἑλίους δροσίσατε πρεσβείαις ὑμῶν, Χριστοῦ συγκληρονόμοι.

Τὸν σταυρὸν Χριστοῦ τὸν τίμιον θεοτόκε ἁγνὴ βλέψαντας καὶ ἐκ καρδίας προσπνήσαντας ἡμᾶς, ταῖς σαῖς πρὸς τὸν δεσπότην ἀξίωσον πρεσβείαις ἐδεῖν καὶ τὰ πάθη τὰ σεπτά, παθῶν κεκαθαρμένους.

Ὅτι ἐποίησί μοι μεγάλα.

Ὑπάρχοντες φωστῆρες, ἀπλανεῖς Χριστοῦ ἀθληταί· φωτίσατε ἡμῶν τοὺς λογισμούς, καὶ νευρώσατε ποιεῖν τὰ φωταυγῆ καὶ καθαρὰ θεοῦ θελήματα.

Ῥομφαῖαι καθορᾶσθε, κατασφάττουσαι δυσμενεῖς, γενναῖοι τοῦ κυρίου ἀθληταί· ἀλλὰ ῥύσασθε ἡμᾶς ἐκ τῶν βελῶν τοῦ πονηροῦ, ταῖς προστασίαις ὑμῶν.

Ἀνάπαυσον ἐν κόλποις τοῦ πιστοῦ Χριστὲ Ἀβραὰμ, τοὺς δούλους σου τοὺς πίστει ἐξ ὑμῶν ἐκδημήσαντας πρὸς σὲ τὸν τοῦ παντὸς δημιουργὸν καὶ ὑπεράγαθον.

Σαρκός μου τὰς κινήσεις ἀπονέκρωσον ἡ θεὸν σαρκὶ ἀποτεκοῦσα ὑπὲρ νοῦν, καὶ παράσχου φωτισμὸν τῇ διανοίᾳ μου ἁγνὴ ὡς ὑπεράγαθος.

Ὁ τὰ ὕδατα πάλαι πνεύματι.

Τὰς ἡμῶν διανοίας θείῳ ἁρότρῳ πιώσαντες τῆς ἐνθέου νηστείας, ἀρετῶν ἄσταχυν καρποφορήσωμεν· ὅπως μὴ πεινάσωμεν εἰς τὸν αἰῶνα τρυφῶντες· τρυφὴν τὴν ἀδάπανον ἐπαγαλλόμενοι.

Πολυχρόνια πάθη ἐνδοθεν φέρων, σκοτίζοντα τὴν ἀθλίαν ψυχήν μου, πρὸς τὴν σὴν, ἄχρονε λόγε ἀχρόνου πατρὸς, δύναμιν ἀκτητον συντετριμμένῃ καρδίᾳ προσρέχω καὶ δέομαι, οἰκτειρον σῶσόν με.

Ἡ καλλίστη νηστεία στρέφει καρδίαν, πιαίνουσα λογισμοῖς θεαρίστοις, καὶ παθῶν ἔβυσσον ἀποξηραίνουσα, ὄμβροις κατα-

Digitized by Google

νύξεως ἀποκαθαίρει τοὺς πίστει αἴνεσιν προσάγοντας τῷ παντοκράτορι.

Πολυώνυμε κόρη χαίροις ἁγία, παρθένε θεοκυήτορ Μαρία, τῶν πιστῶν καύχημα, κατάρας λύτρωσις, κλίμαξ ἐπουράνιε, ἀκατανόητον θαῦμα, βάτε ἀκατάφλεκτε, γῆ ἀγεώργητε.

Βαβυλωνία κάμινος.

Ταῖς βλαβεραῖς τοῦ ὄφεως πλάναις ἐξελκόμενος, σώτερ, δειλεάζομαι δεινῶς, καθ' ἡμέραν τῷ ἄλγειμον προστιθέμενος ἄλγος· διὸ κραυγάζω σοι ἰατρὲ τῶν νοσούντων, ἐπίστρεψον σῶσόν με.

Νενηστευκὼς ἀνέστησε παῖδα Σουμανίτιδος πάλαι δυναμούμενος σαφῶς Ἐλισσαῖος τῷ πνεύματι· ἡμεῖς δὲ νεκρωθέντες ταῖς ἡδοναῖς τῶν παθῶν, ζωηφόρῳ νηστείᾳ, πιστοὶ ἀναζήσωμεν.

Τοὺς Νινευίτας ἔσωσας, κύριε φιλάνθρωπε, πάλαι μετανοήσαντας ἐν κλαυθμῷ καὶ νηστείᾳ ὡς εὔσπλαχνος· καὶ ἡμᾶς τῷ ἐλέει τῷ σῷ οἰκτείρησον, ἀποροῦντας δι' ἔργων ἐξομολογεῖσθαί σου.

Ἡ μετὰ τόκον ἄφθονος μείνασα, πανάμωμε, λύτρωσαι, διόμεθα ἁγνὴ, καταφθορᾶς τοὺς δούλους σου, πιστῶς τοὺς μελῳδοῦντας ἐν ὁμονοίᾳ ψυχῆς εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον.

Καινὸν τὸ θαῦμα καὶ θεοπρεπές.

Κρατῆρα θεῖον πλήσασα νυνὶ κατανύξεως ἡ τῆς νηστείας χάρις σαφῶς συγκαλεῖται, ἅπαντας πιεροὺς ἐκβοῶσα μετ' εὐφροσύνης, δεῦτε ἀπολαύσατε, τὴν μέθην παθῶν ἀποβαλόντες, ἵνα μελλούσης ἀξιωθείητε ἀπολαύσεως.

Ἐγγὺς ἡ κρίσις, πρόσεχε ψυχὴ, συνειδήσεως ἐπιμελοῦ, καὶ ὁράλτε καλῶς τὰ σὲ ἀκατάκριτον ἀεὶ συντηροῦντα· εἰ ἑαυτοὺς γὰρ ὧδε ἀνακρίνομεν, οὐδ' ὅλως ἐκεῖ κατακριθῶμεν, ἄνευ μαρτύρων, ἔνθα ὑπεύθυνοι κατακρίνονται.

Ἀρχαὶ, δυνάμεις, θρόνοι, χερουβὶμ, κυριότητες, καὶ ἐξουσίαι, καὶ σεραφὶμ, ἄγγελοι, ἀρχάγγελοι, θεὸν δυσωπεῖτε τῶν νηστειῶν τὸν χρόνον διανύσαι ἡμᾶς τὸ τούτου εὐάρεστον ποιοῦντας, ἵνα ὡς θεῦλοι εὐαρεστήσαντες δόξης τύχωμεν.

Μετὰ μαρτύρων μετὰ προφητῶν τὴν τεκοῦσάν σε μετὰ ὁσίων

Digitized by Google

πάντων Χριστὲ, δυσωποῦσαν πρόσδεξαι ἀεὶ ὑπὲρ δούλων παροργισάντων σὲ τὸν εὐδιάλλακτον, καὶ μόνον δεσπότην καὶ σωτῆρα, ᾧ ἀσωμάτων τάξεις παρίστανται τρόμουσαι.

Πρόσεχε γῆ καὶ οὐρανέ.

Ἀδιαλείπτοις προσευχαῖς καὶ ἐγκρατείᾳ καὶ θεωρίᾳ πτερώσωμεν τὰς ψυχὰς πρὸς θεῖον ἔρωτα.

Τῆς ἀκρασίας τὸν κρυμὸν διεκφυγόντες θαλφθῶμεν πάντες τῆς ἐγκρατείας φωτὶ ἐν θείῳ πνεύματι.

Ἵνα τι θείων ἀρετῶν τὴν σηπεδόνα τῆς ἁμαρτίας, ἀποβαλοῦσα ψυχὴ θεῷ κολληθητι.

Ἐπανεπαύσατο Χριστὸς ἐν σοὶ τῇ μόνῃ εὐλογημένῃ, καὶ σάρκα τὴν ἑαυτοῦ ἐκ σοῦ ἐφόρεσεν.

Τὸν ὑπ' ἀγγέλων ἀσιγήτως.

Ἐν ἀποκρύφῳ ἐνεδρεύων καθ' ἡμέραν ὁ παμπόνηρος, ἐπιζητεῖ με συλλαβεῖν καὶ κατάβρωμα ποιήσασθαι· αὐτοῦ με τῆς κακίας ῥῦσαι σώτερ ὁ σώσας τὸν Ἰωνᾶν ἐκ τοῦ κήτους.

Διὰ νηστείας καθαιρόμενοι ἀρετῶν ὄρει προσέλθωμεν, καὶ ἀκούσωμεθα τρανῶς τί λαλήσει ἐν ἡμῖν ὁ θεὸς, λαλήσει γὰρ εἰρήνην, καὶ φωτισμὸν, καὶ ἴασιν ψυχικῶν συντριμμάτων.

Ἁμαρτημάτων ἀμαυρότητι καθεκάστην ἐκτυφλούμενος, ἀδυνατῶ κατανοεῖν τὰ θαυμάσια σοῦ κύριε· διό μου τῆς καρδίας τοὺς ὀφθαλμοὺς διάνοιξον Ἰησοῦ φωτοδότα.

Τῶν οἰκτιρμῶν σου ταῖς ῥανίσιν ἀεὶ πάρθενε ἀμόλυντε, τοὺς μολυσμοὺς τοὺς ἐμπαθεῖς τῆς καρδίας μου ἀπόπλυνον, θακρύων ὀχετούς μοι παρεκτικοὺς καθάρσεως ψυχικῆς δωρουμένη.

Σὲ τὴν ἀκατάφλεκτον βάτον.

Φλόγα τοῦ πυρὸς τοῦ ἀστέκτου κατὰ νοῦν κεκτημένοι, θερμοτάτῳ λογισμῷ τῆς μετανοίας, τῷ πυρὶ νῦν προσέλθωμεν πάθη φλογίζοντι.

Στόματος νηστεύοντος πάλαι πυραπτόμενος λόγος ἐξελθὼν ζηλωτικῶς κλονεῖ στοιχεῖα· τοῦτον ζήλου ψυχὴ καὶ καλῶς πολιτεύθητι.

Βῆμα τὸ φρικτὸν ἐννοοῦσα παναθλία ψυχή μου, τὰς πορίας σου ἀεὶ πρὸς θελημάτων ἀποπλήρωσιν τοῦ λυτρωτοῦ διευτρέπιζε.

Digitized by Google

Τὴν ἐσκοτισμένην ψυχήν μου ἡδονῶν ἐπικλύσει, φωταγώγησον ἁγνὴ ἡ φῶς τεκοῦσα, ἵνα πόθῳ καὶ πίστει ἀεὶ μεγαλύνω σε.

Οὐρανίης ἀψίδος.

Καλακρίνας τὴν ἔχθραν ἐν τῷ σταυρῷ ἔτεινας, δικαιοκρίτα, παλάμας· νῦν δὲ κατάκριτον ὄντα με πταίσμασι σῶσον τὸν ἄσωτον σώτερ, τὸν παραπικράναντα σὲ τὸν φιλάνθρωπον.

Τὴν κτηνώδη σοφήσας παθοποιὸν βίωσιν, σοῦ τῶν ἐντολῶν ἐμακρύνθην, σώτερ πανάγαθε, ξένοις δουλούμενος καὶ ἀκαθάρτοις πολίταις· νῦν δὲ ἐπιστρέφοντα δέξαι με εὔσπλαγχνε.

Μογιλάλου ὡς πάλαι τὰς ἀκοὰς ἤνοιξας, ἄνοιξον ψυχῆς μου τὰ ὦτα γνώμῃ κωφεύοντα, καὶ ἐνωλίζεσθαι σοῦ τὸν σωτήριον λόγον Ἰησοῦ ἀξίωσον μόνε φιλάνθρωπε.

Ἡ σωτήριος πύλη, ἡ πρὸς θεὸν γέφυρα, τῶν ἁμαρτάδων ἡ προσάτις πάναγνε δέσποινα, περιστατούμενον ταῖς συμφοραῖς με τοῦ βίου, καὶ κλυδωνιζόμενον κόρῃ κυβέρνησον.

Ἑπταπλασίως κάμινον.

Τῷ ἀκοιμήτῳ ὄμματι ἐπιβλέψας με οἰκτίρμον, τῷ τῆς ῥαθυμίας νυσταγμῷ κρατούμενον καὶ ὕπνῳ δουλεύοντα τῶν ἡδονῶν ἐν κλίνῃ παθῶν, ὁ ἐπὶ σταυροῦ τὴν κεφαλήν σου προσκλίνας, καὶ θέλων ἀφυπνώσας καὶ τὴν νύκτα μειώσας, Χριστὲ τῆς ἁμαρτίας φῶς ὢν δικαιοσύνης.

Πλουτοποιοῖς χαρίσμασι κοσμισθεὶς ἐκ βαπτίσματος, μᾶλλον τὴν πενίαν τῶν καλῶν ἠγάπησα· καὶ ξένος γεγένημαι τῶν ἀρετῶν ὁ τάλας ἐγὼ· χῶραν εἰς μακρὰν ἀποδημήσας κακίας· διό με ἐπισπάψας ἀνακάλεσαι, σώτερ, τῷ σῷ σταυρῷ τειχίσας εἰς πάντας τοὺς αἰῶνας.

Μίσην παθῶν ἀπόῤῥιψον, καὶ δακρύων ἐκζήτησον τὸν καθαρτικόν, διὰ νηστείας οἶνον, ψυχὴ, καρδίαν εὐφραίνοντα, καὶ ἡδονὰς μαραίνοντα, καὶ τὰς τῆς σαρκὸς ἀποτεφροῦντα καμίνους· καὶ σπεῦσον τῷ παγέντι διὰ σὲ ἐπὶ ξύλου Χριστῷ συσταυρωθῆναι καὶ ζῆσαι εἰς αἰῶνας.

Θεογεννήτορ πάναγνε τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας τὰς οὐλὰς ἐξάλειψον πηγαῖς ἀκοσμήχουσα ταῖς ἐκ πλευ-

Digitized by Google

ρᾶς τοῦ τόκου σου, καὶ τοῖς ἐξ αὐτῆς ἀποκαθαίρουσα ῥείθροις· πρὸς σὲ γὰρ ἀνακράζω, καὶ πρὸς σὲ καταφεύγω, καὶ σὲ ἐπικαλοῦμαι τὴν κεχαριτωμένην.

Ἐξέστη ἐπὶ τοῦτο ὁ οὐρανός.

Ὁρῶν σε ἡπλωμένον ἐπὶ σταυροῦ τὰς ἀκτίνας συνέστειλεν ἥλιος, πᾶσα δὲ γῆ τρόμῳ ἐκλονήθη παμβασιλεῦ, ἐθελουσίως βλέπουσα πάσχοντα τὸν φύσει σε ἀπαθῆ· διό σε ἱκετεύω τὰ πάθη τῆς ψυχῆς μου ὡς ἰατρὸς Χριστὲ θεράπευσον.

Ὁδοὺς σωτηριώδεις καταλιπὼν τὰς εἰς ᾅδην φερούσας διώδευσα σκότος δεινὸν, ἔχων περικύκλω τὰς ἡδονὰς, καὶ τῶν παθῶν τὸν ὅλισθον, καὶ τὴν καταιγίδα τῶν λογισμῶν· διό σε ἱκετεύω, τῷ σῷ σταυρῷ με σῶσον Χριστὲ ὡς μόνος πολυέλεος.

Χειμῶνι συνεχόμενος λογισμῶν καὶ παθῶν τρικυμίαις ποντούμενος, καὶ ἡδονῶν σάλῳ χειμαζόμενος χαλεπῶς, τὸ τῆς νηςείας πέλαγος ἔφθασα τὸ πρᾷον καὶ γαληνὸν· ἐν ᾧ με κυβερνήσας τῷ σῷ σταυρῷ οἰκτίρμων πρὸς σωτηρίαν ἐγκαθόρμησον.

Συνέλαβες παρθένε δίχα σπορᾶς τὸν τὰ σύμπαντα δημιουργήσαντα, λόγον θεοῦ, ἄνευ θελημάτων τῶν τῆς σαρκὸς· ἄνευ φθορᾶς δὲ τέτοκας, ἄνευθεν ὠδίνων τῶν μητρικῶν· διό σε θεοτόκον καὶ γλώσσῃ καὶ καρδίᾳ ὁμολογοῦντες μεγαλύνομεν.

Εἰσακήκοα κύριε τῆς οἰκονομίας σου.

Ἐγκρατείᾳ ζήσαντες οἱ πεφωτισμένοι Χριςοῦ ἀπόστολοι, ἐγκρατείας τὸν καιρὸν ἡμῖν μεσιτείᾳ θείᾳ εὐμαρίζουσιν.

Δωδεκάχορδον ὄργανον μέλος ἐκελάδησε τὸ σωτήριον, μαθητῶν χορὸς ὁ ἔνθεος, πονηρὰ συγχέων μελῳδήματα.

Ἐπομβρίαις τοῦ πνεύματος πᾶσαν τὴν ὑφήλιον κατηρδεύσατε, τὸν αὐχμὸν ἀποδιώξαντες τῆς πολυθείας παμμακάριστοι.

Ταπεινώσασα σῶσόν με τὸν ὑψηλοφρόνως πολιτευόμενον, ἡ τεκοῦσα τὸν ὑψώσαντα τοὺς κατεῤῥαγμένους κόρη πάναγνε.

Τὸν ἄναρχον.

Ὡς ἄνθρακες τοῦ πυρὸς τοῦ ἀΰλου συμφλέξατε τὰ ὑλώδη μου πάθη, ἀνάπτοντές μοι νῦν τὸν ἔρωτα τῆς θείας ἀπόστολοι ἀγάπης.

Digitized by Google

Τὰς σάλπιγγας τὰς εὐήχους τοῦ λόγου ταμήσωμεν, δι' ὧν πέπτωκε τείχη ἀνίδρυτα ἐχθροῦ, καὶ τῆς θεογνωσίας ἠδράσθησαν ἐπάλξεις.

Ἰνδάλματα ἐμπαθῆ τῆς ψυχῆς μου συντρίψατε, οἱ ναούς τε καὶ στήλας συντρίψαντες ἐχθροῦ, ἀπόστολοι κυρίου, ναοὶ ἁγιασμένοι.

Ἐχώρησας τὸν ἀχώρητον, φύσει ἐβάστασας τὸν βαστάζοντα πάντα, ἐθήλασας ἀγνὰ τὸν τρέφοντα τὴν κτίσιν, Χριστὸν τὸν ζωοδότην.

Κυρίως θεοτόκον σὲ ὁμολογοῦντες.

Πηγαὶ τοῦ σωτηρίου νάματος δεεχθέντες, τὴν ἐκτακεῖσαν ψυχήν μου ἀπόστολοι τῆς ἁμαρτίας, τῷ δίψει καταδροσίσατε.

Ὡς ἅλες τῶν νοερίμων ὄντες δεδαγμάτων, τὴν σηπεδόνα ψυχῆς μου ξηράνατε, καὶ τῆς ἀγνοίας τὸ σκότος ἀποδιώξατε.

Νηχόμενον πελάγει τῷ τῆς ἀμελείας, καὶ ὑποβρύχιον ἤδη γενόμενον, σῇ δεξιᾷ ὡς τὸν Πέτρον σῶσον φιλάνθρωπε.

Χαρὰν ὡς τετοκυῖα, πένθος μοι παράσχου, δι' οὗ τὴν θείαν παράκλησιν δέσποινα ἐν τῇ μελλούσῃ ἡμέρᾳ εὑρεῖν δυνήσομαι.

Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ὁ ἐκτείνας οὐρανὸν ὡσεὶ δέρριν, ἐξέτεινας τὰς παλάμας ἐν σταυρῷ, Ἰησοῦ ὑπεράγαθε· διὸ ἱκετεύω σε κατατεινόμενον ἐχθροῦ με ταῖς ἐπηρείαις οἰκτείρησον.

Ἀφύπνωσας ἐν σαυρῷ ἑκουσίως φιλάνθρωπε, ἐγρήγορσιν σωτηρίας ἡμῖν παρεχόμενος τοῖς κειμένοις, κύριε, ἐν κατωτάτῳ ἀπολείας· ὅθεν σε πίστει δοξάζομεν.

Τοῦ πάθους σου τὴν ἡμέραν ἑορτὴν καταξίωσον, τοὺς δούλους σου φωτισθέντας νηστείας φαιδρότητι, καὶ τὴν ζωηφόρον σου σώτερ ἀνάστασιν, ὑμνοῦντας τὸ κράτος τῆς βασιλείας σου.

Ὁρῶσά σε ἠρτημένον σταυρῷ ἡ πανάμωμος ἠλάλαζε τετρωμένη τὰ σπλάγχνα, καὶ ἔλεγε διὰ σπλάγχνα κύριε σῶν οἰκτιρμῶν παθεῖν ἠνέσχου, πᾶσι παρέχων ἀπάθειαν.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος.

Ἡμβλυνας τοῦ πονηροῦ σῶτερ τὰ κέντρα, καθηλούμενος ὕλαις

ἐν ξύλῳ ἀκανθῶν διάδημα ἀπεδήσαω χλευαστικῶς, ἐρριζῶν τῆς παραβάσεως τὴν ἄκανθαν· διὸ ἀνυμνοῦντες ἀναμέλπωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον.

Ἥπλωσας ἐπὶ σταυροῦ Χριστὲ παλάμας, τὸ ἀνθρώπινον ἐπισυγκάγων πρὸς τὴν σὴν ἐπίγνωσιν· καὶ λόγχῃ τὴν σὴν πλευρὰν κεντηθῆναι κατεδέξω, ἀναβλύσας ἡμῖν πηγὴν φωτισμοῦ τοῖς φυγαμέλπουσιν· εὐλογείτω ἡ κτίσις πᾶσα.

Ῥείθροις ὑσπλαγχνίας σου οἰκτίρμον, ἀποκάθαρόν μου τὴν καρδίαν ἁμαρτίας δήγματι σπιλωθεῖσαν· καὶ ποταμοὺς καλανύξεως παγάζειν με ἀξίωσον Χριστὲ Ἰησοῦ, ἵνα κραυγάζω σοι· εὐλογείτω ἡ κτίσις πᾶσα.

Στάρνον σε τὸ μάννα κεκτημένην τῆς θεότητος ἔγνωμεν κόρη, κιβωτὸν καὶ τράπεζαν καὶ λυχνίαν θρόνον θεοῦ καὶ παλάτιον καὶ γέφυραν μετάγουσαν πρὸς θείαν ζωὴν ἀναμέλποντας, εὐλογείτω ἡ κτίσις πᾶσα.

Τύπος τῆς ἁγνῆς λοχείας σου.

Εἶδεν Ἡλιοῦ τὸν κύριον ἐν λεπτοτάτῃ αὔρᾳ λεπτύνας πρότερον σάρκα νηστειῶν καὶ προσευχῶν ἐπιδόσεσιν· ὃν ζηλοῦσα ψυχή μου ἀπόῤῥιψον τῶν ἡδονῶν τὸ πάχος, ὅπως θεάσῃ τὸν παθούμενον.

Ξύλῳ ἀνυψώσας πρότερον ὁ Μωϋσῆς τὸν ὄφιν, σῶτερ ἐτύπου σου τὴν ἀνύψωσιν τὴν ἐν σταυρῷ ὑπεράγαθε, ἰοβόλου κακίας τοῦ ὄφεως δι' οὗ ἀπελυτρώσω πάντα τὰ ἔθνη προσκυνοῦντά σε.

Τάφῳ ῥαθυμίας κείμενος ἐπῴδαροῦντα ἔχω λίθον πωρώσεως, τὸν ἀείζωον μὴ συνιὼν σῶτερ λόγον σου, καὶ τοῦ φόβου σου μὴ αἰσθανόμενος· οἰκτείρησόν με, σῶσον τῷ σῷ ἐλέει πολύελεε.

Πάντων ὑπερτέρα δέσποινα τῆς τῶν παθῶν κακίας δεῖξον ὑπέρτερον, τὸν δοξάζοντα παναληθῆ θεοτόκον σε καὶ ὑμνοῦντα τὸν τόκον σου ἄχραντε, τὸν ἀπαταληψίᾳ θεοχαρίτωτε νοούμενον.

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο.

Ἡ ὑπέρφωλος ῥιπὴ γυρις τῶν θείων σου μαρτύρων πολυέλεε, ἐν τῷ φωτί σου τῷ ἀδύτῳ νῦν περιπολεῖ· αὐτῶν ἱκεσίαις φωταγωγὸν καὶ ἱλασμὸν ἁμαρτιῶν πᾶσι παράσχου ἡμῖν.

Digitized by Google

Ὡς ὡραῖος ὁ καιρὸς ὃν ἡμῖν ἐδώρησας τῆς ἐγκρατείας κύριε, ἐν ᾧ οἰκτιρον τὰς ψυχάς ἡμῶν ὡς ἀγαθός, εὐχαῖς τῶν ἁγίων ἀθλητῶν τῶν τὰ ὡραῖα καὶ σεπτὰ ἀτρῴκτων πάθη σου.

Διελθόντας πολυόδυνον κλυδώνιον τοῦ βίου τοὺς οἰκέτας σου ἐγκαθόρμησον εἰς λιμένα δέσποτα ζωῆς, βοᾷ μετὰ πάντων ἐκλεκτῶν εὐλογητὸς εἶ ὁ Θεός.

Ἡ τοῦ νόμου τὸν δοτῆρα ἀπεπάρθενε, κυήσασα ἱκέτευε τὰς ἀνομίας ὑπεξάραι πάντων ἐν καιρῷ τῆς νῦν ἐνεστώσης τοῖς καλῶς προαιρουμένοις ἐξασκεῖν θείας νηστείας σπουδῆ.

Ἐκ φλογὸς τοῖς ὁσίοις βρόσον.

Τῶν ἁγίων μαρτύρων τὰ κατορθώματα, ἐπουράνιοι νόες ὑπερεθαύμασαν· τούτων προσευχαῖς τὰ ἕλκη σου θέσπιστα ἐν ἡμῖν πλουσίως θαυμάστωσον οἰκτίρμον.

Οἱ τὸ κῦρ θείᾳ δρόσῳ καταπατήσαντες ἀθληταὶ τοῦ κυρίου ἀξιοθαύμαστοι, ῥύσασθε ἡμᾶς τοῦ πυρὸς τοῦ κολάζοντος ταῖς πρὸς τὸν δεσπότην θερμαῖς ὑμῶν πρεσβείαις.

Ὑπεράγαθε σῶτερ τοὺς ἐκθυμήσαντας ἐξ ἡμῶν ὀρθοδόξους, ζωῆς ἀξίωσον τῇ ἐν οὐρανῷ καὶ ἁγίας λαμπρότητος, ταῖς τῶν παναγίων μαρτύρων ἱκεσίαις.

Ἱκεσίαις οἰκτίρμον τῶν κυησάσης σε καὶ ἁγίων μαρτύρων καὶ ἀποστόλων σου φώτισον ἡμῶν τὰς ψυχάς, τοῦ δοξάζειν σε ἐν ἀγαλλιάσει ψυχῆς εἰς τοὺς αἰῶνας.

Θεὸν ἀνθρώποις ἐδεῖν ἀδύνατον.

Ὡς φῶς νηστείας ἡ χάρις λάμπουσα, ἔργα φωτὸς προτρέπεται τελεῖν τοὺς ἐχίφρονας· ἐν αὐτῇ φωτισθῆναι σπουδάσωμεν, ὅπως τὰ φωλοφόρα πάθη δῴωμεθα τοῦ τὰ σκοτεινὰ πάθη Ἀδὰμ πάθεσι λύσαντος.

Σαφῶς ὡς ἥλιος ἀνατείλαντες ἔβασαν τὴν γῆν ἀκτῖσιν εὐσεβείας οἱ μάρτυρες, καὶ λαμπάσι θαυμάτων ἐφώτισαν, καὶ τῆς πολυθείας σκότος ἠφάνισαν· ὧν ταῖς ἱκεσίαις ὁ Θεὸς ἡμᾶς ἐλέησον.

Ἡ σὴ φθασάτω χρηστότης κύριε τοὺς ἐξ ἡμῶν φρικώδει μεταστάντας κελεύσει σου, κυκλωσάτω αὐτοὺς σοῦ τὸ ἔλεος καὶ καθ-

Digitized by Google

οδηγησάτω πρὸς τὰ σκηνώματα τὰ καταυγαζόμενα φωτὶ, τῷ τοῦ προσώπου σου.

Φωνῇ ἀγγέλου βουλῇς τὸν ἄγγελον τῆς τοῦ πατρὸς ἀῤῥήτως θεοτόκε ἐκύησας· τὰς φωνὰς οὖν τῶν δούλων σου πρόσδεξαι, ἅσκερ τῷ τῆς ψαλτείας χρόνῳ προσάγομεν· καὶ ταύτας προσάγαγε θεῷ ὡσπερ θυμίαμα.

Ὠδὴν εἰρμικόν.

Τὰ πάθη νεκρώσωμεν δι' ἐγκρατείας, τὸ πνεῦμα ζωώσωμεν δι' ἐνθέων πράξεων, ὅπως ὀψώμεθα Χριστοῦ τὰ πάθος τὸ ἁγιον καθαρωτάτῳ νοΐ.

Ἀσπλάγχνου ζηλώσαντα πλουσίου τρόπους, Χριστὲ πολυεύσπλαγχνε, ἱκετεύω σύνταξον Λαζάρῳ πένητι, λυτρούμενός με τῆς φλογὸς καὶ τοῦ ἀσβέστου πυρός.

Ἐκ πάντων ἐνήχευσα κατορθωμάτων, εἰς κόρον ἀπήλαυσα τῶν σφαλμάτων κύριε· νῦν οὖν πεινῶντά με σωτηριώδους καὶ σεπτῆς ἔμπλησον βρώσεως.

Ἐμὲ τὸν κατάκριτον ἐν καταδίκῃ, πανάχραντε θέσποινα, ἐρρεμμένον ἔργων μου σῶσον οἰκτείρησον, τὸν πανοικτίρμονα θεὸν ἀποκυήσασα.

Ὃν φρίττουσιν ἄγγελοι.

Ἀκάρπους ἐπλούτησα ὁ τάλας λογισμοὺς, ψυχὴν κατεμόλυνα ἀθέσμοις ἡδοναῖς, καὶ σκότος κυκλοῖ με ἀπογνώσεως· αὔγασόν μοι φέγγος θεοτόκε τῆς μετανοίας.

Ὡς πάλαι ἐφώτισας τυφλὸν ἐκ γενετῆς, ψυχήν μου καταύγασον μὴ βλέπουσαν τὸ φῶς τὸ σὸν, ἐλεήμον, ἀλλ' ἐν σκότει δεινῶς λήθης συγχωσθεῖσαν καὶ μερίμναις τοῦ βίου.

Νηστεύσας ἀνέωξεν Ἠλίας οὐρανὸν, καὶ ὄμβροις κατήρδευσε διψήσασαν τὴν γῆν· νηστεύσωμεν ῥείθροις κατανυττόμενοι ψυχικῶν δακρύων ὅπως ἐλεηθῶμεν.

Ὡς ἔμψυχος ἄμπελος ἐξήνθησας ἡμῖν τὸν βότρυν τὸν εἰπηρον, πηγάσαντα βροτοῖς πάρθενε τὸν οἶνον τῆς ἀφέσεως, καὶ τῆς ἁμαρτίας ξηράναντα τὴν μέθην.

Digitized by Google

Τὴν ζωοδόχον πηγὴν τὴν ἄϊνον.

Θανατωθεὶς τοῖς πολλοῖς πλημμελήμασι τῆς ἀμελείας ἐν τάφῳ συνέχομαι, λίθον ἀπογνώσεως ἔχων ἐπικείμενον· ὅπερ διάρας Χριστὲ τῷ σῷ ἐλέει, ὥσπερ τὸν Λάζαρον πρὶν ἐξανάστησον.

Τὴν τοῦ πλουσίου ἐκφύγωμεν μίμησιν κατακριθέντος εἰς φλόγα τὴν ἄσβεστον, καὶ Λαζάρου στέρξωμεν τὸ ἐν πόνοις ἔμπονον· ὅπως ἐντεῦθεν ἡμᾶς ἀποθημοῦντας ὁ Ἀβραὰμ ἐν τοῖς κόλποις εἰσδέξηται.

Τὴν ταλαντόνεον νηστείαν ποθήσωμεν· ταῖς προσευχαῖς ἐσωμόνως σχολάσωμεν, κλαύσωμεν, πενθήσωμεν, καὶ θερμῶς στενάξωμεν· ὅπως ἡμᾶς Ἰησοῦς παρακαλέσῃ, καὶ βασιλείας μετόχους ἐργάσηται.

Τῆς παρθένιας τὸ θεῖον κειμήλιον, τῶν προπατόρων τὴν μόνην ἀνόρθωσιν, τὴν πηγὴν τὴν βρύουσαν εὐσπλαγχνίας ἄβυσσον, τὴν καλλονὴν Ἰακὼβ, τὴν θεοτόκον, οἱ δι' αὐτῆς σεσωσμένοι ὑμνήσωμεν.

Ὅτι ἐγώ εἰμι θεὸς ὁ μάννα ἐπομβρίσας.

Θέλων ἐπτώχευσας ὁ φύσει πλούσιος Χριστὲ, ἐπείνασας νηστεύσας ὁ ἐμπιπλῶν πᾶν ζῶον· διό με κόρεσον πεινῶντά σου τὴν χάριν, καὶ θεῖξον τῆς ἐκεῖ τραπέζης λόγε κοινωνόν.

Παῖδας στομώσασα δυνατωτέρους τοῦ πυρὸς ποτὲ ἐν Βαβυλῶνι ἐργάσατο νηστεία· αὐτοὺς ζηλώσασα ψυχή μου μὴ ῥαθύμει καὶ πῦρ τῶν ἡδονῶν πνεύματος σβέσεις δροσισμῷ.

Λάζαρον πτωχόν με ἁμαρτιῶν θεῖξον Χριστὲ, καὶ σκόρπισον τὸν πλοῦτον ὃν περ κακῶς συνῆξα· τῶν ἀμυθήτων μου πταισμάτων ἐλεήμον, καὶ θός μοι λογισμὸν ἐπιστροφῆς ὡς ἀγαθός.

Χαῖρέ σοι βοῶμεν τῇ θεξαμένῃ τὴν χαρὰν ἡ κεχαριτωμένη, πάρθενε θεοτόκε· θεὸν ὃν ἔτεκες δυσώπει λυτρωθῆναι κινδύνων καὶ φθορᾶς τοὺς ἀνυμνοῦντάς σε ἀεί.

Ἐκ φλογὸς ὁσίοις δρόσον.

Ἐννοιῶν μου τὰ πλήθη τῶν παραπτώσεων, καὶ πληττόμενος κέντρῳ τῆς συνειδήσεως, ὥσπερ ἐν φλογὶ ὀδυνῶμαι ὁ ἄθλιος· οἰκτειρόν με λόγε θεοῦ τῷ σῷ ἐλέει.

Digitized by Google

Παραβλέψας Λαζάρου τὰ κατορθώματα τοῦ ἀσπλάγχνου πλουσίου τρόπους ἐζήλωσα εὔσπλαγχνε Χριστὲ· ἐπιστρέψας με οἰκτειρον, ὅπως σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ψυχικαῖς ἀσθενείαις περικρατούμενος, καὶ τεθνήξεσθαι μέλλων δι' ἀπογνώσεως τῆς σῆς Ἰησοῦ ἐπισκέψεως δέομαι τῆς ζωοποιούσης τοὺς σὲ προσκαλουμένους.

Παναγία πάρθενε σύ με διάσωσον τῆς ἐμῆς ἀσθενείας· γενοῦ βοήθεια ἡ τὸν θελητὴν τοῦ ἐλέους κυήσασα, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Τὸ πρὶν τὸν ἄνθρωπον τὸν πρωτόπλαστον, γεῦσις πικρὰ δεινῶς ζοῦ παραδείσου ἐξέωσε καὶ θανάτου τοῖς βρότοις ὑπέζευξε· νήστευσον ὦ ψυχή μου, φεῦγε τὴν μίμησιν, φεῦγε τῆς τρυφῆς τὴν ἡδονὴν τὴν πολυόδυνον.

Εἰς νοῦν λαμβάνων σου τὸ κριτήριον καὶ τῆς φλογὸς τὸ ἄσκεπτον κριτὰ δικαιότατε ἐμαυτὸν κατακρίνω πρὸ κρίσεως· δέδοικα γὰρ καὶ τρέμω ἄμετρα πταίσας σοι ὡς ἄλλος οὐδεὶς ἐπὶ τῆς γῆς· διό με οἰκτειρον.

Παθῶν ἐκπλύνωμεν ἀμαυρόζητα φωτιζικαῖς εὐχαῖς, καὶ ἀρετῶν κλάδους φέροντες ὑπαντήσωμεν Χριστῷ ἐπισπεύσωμεν, πόθῳ προσδοκωμένῳ νῦν ἐπιβήσεσθαι ἑτοιμαζομένῳ τε παθεῖν, διὰ τὸ σῶσαι ἡμᾶς.

Ἐκ σοῦ παρθένε θεοχαρίτωτε τοῖς ἐν νυκτὶ δεινῶν κεκρατημένοις ἀνέτειλεν ὁ φωτὸς καὶ εἰρήνης Χριστὸς χορηγός, τὴν ἐξ ἀπροσεξίας λύων παράβασιν, καὶ τὴν ἀπολύτρωσιν ἡμῖν σαφῶς δωρούμενος.

Στειρωθέντα μου τὸν νοῦν.

Τῇ δυνάμει τοῦ σταυροῦ δυναμώσας μου τὸν νοῦν, ἐξασθενοῦντα προσβολαῖς πονηραῖς πρὸς τὸ θέλημα τὸ σὸν ἴθυνον κύριε.

Ῥαθυμίας νυσταγμῷ ἐπὶ κλίνης ἡδονῶν καθεύδοντά με διανάστησον Χριστὲ, καὶ τῶν σῶν προσκυνητὴν παθῶν ἀνάδειξον.

Λαμπρυνθέντες τὰς ψυχὰς τῇ νηστείᾳ, καθαροὶ προσυπαντῆσαι ἐπιχθῶμεν Χριστῷ πρὸς τὴν Ἱερουσαλὴμ ἐπισημοῦντι σαρκί.

Digitized by Google

Τῇ κακίᾳ ἐχθροῦ τὴν ψυχὴν θανατωθεὶς ἐν τάφῳ κεῖμαι ἀμελείας πολλῆς· ἀλλὰ τάχυνον Χριστὲ ἐξαναστῆσαί με.

Μὴ φλεχθεῖσα τῷ πυρὶ τῆς θειότητος ἁγνὴ κατάφλεξόν μου τὰς ὑλώδεις ὁρμὰς τῶν παθῶν, ὅπως ἀεὶ κόρη δοξάζω σε.

Τὸν ἐν τῇ βάτῳ Μωϋσῆ.

Τῆς ταπεινῆς μου ψυχῆς τὸν βαρύτατον λίθον, τῆς δεινῆς ῥᾳθυμίας ἀποκύλισον Χριστὲ, καὶ ἔγειρόν με τάφου τοῦ τῆς ἀναισθησίας, ἡ ζωὴ τῶν ἁπάντων.

Πρὸς Ἰουδαίαν Χριστὲ πάλιν ἔρχῃ ζητοῦσαν τῆς ζωῆς σε τὸ ξύλον διὰ ξύλου ἀνελεῖν, ποθῶν ἀθανατίσαι τοὺς τεθανατωμένους ᾗ διὰ ξύλου βρώσει.

Θάνατον φίλου τοῖς σοῖς προεδήλωσας φίλοις· διὰ σπλάγχνα εἰκότως ὁ προγόνης καὶ θεὸς ὢν ἔμελλες ἐγείρειν ἐκ τάφου τετταρταῖον εἰς σὴν δοξολογίαν.

Ἐν σοὶ παρθένε ἁγνὴ τεθεώρηνται ὄντως τοῦ θεοῦ αἱ τροπαὶ τοῦ φυλάξαντος τὴν σὴν ἀγνείαν μετὰ τόκον ἐσφραγισμένην σαφῶς εἰς πάντας τοὺς αἰῶνας.

Τῶν γηγενῶν τίς ἤκουσε τοιοῦτο.

Ὁ Δανιὴλ νηστείᾳ πεφραγμένος ἔφραξε στόματα θηρῶν· τοῦτον ζηλῶσα ψυχή μου τὸν ὠρυόμενον καθάπερ λέοντα ὁρᾶν, καὶ ἐκζητοῦντα κατάβρωμα ποιῆσαι πᾶσαν ψυχὴν, τῇ σῇ σαυτοῦ συμμαχίᾳ ἀποδίωξον.

Λόγε θεοῦ τὴν τεθανατωμένην ταῖς ἁμαρτίαις μου ψυχὴν, καὶ καθειργμένην ἐν τάφῳ τῆς παραβάσεως, ζωοπαρόχῳ σου λόγῳ ἐξανάστησας προσφέρειν σοι βαΐα τῶν ἀρετῶν, ὡς νικητὴ τοῦ θανάτου καταξίωσον.

Ὁ οὐρανὸν ὡς θρόνον κεκτημένος καὶ ὑποπόδιον τὴν γῆν, ὁ τοῦ θεοῦ πατρὸς λόγος, πῶλῳ ὀχούμενος, ἐπὶ τὴν πόλιν εἰσέρχεται τὴν ἁγίαν, ἐκ στόματος νηπίων αἶνον τερπνὸν ὡς βασιλεὺς τῶν ἁπάντων καθαρτίσασθαι.

Ἐν γυναιξὶ σὺ μόνη ὡραιώθης ὦ ὑπερθαύμαστε ἁγνὴ, τὸν ὡραιότατον λόγον ἀποκυήσασα τὸν ὑπὲρ πάντας φανέντα βροτοὺς ὡραῖον· αὐτὸν οὖν ἐκδυσώπει τὸ εἰδεχθὲς καθωραΐσαι πάρθενε τῆς καρδίας μου.

Digitized by Google

Τὴν θείαν ἐννοήσας σου κίνωσιν.

Ἀκτῖσι τῆς ὑμῶν παρακλήσεως κατῳκισμένους ἐν σκιᾷ ἁμαρτημάτων φωτίσατε τοὺς εὐσεβῶς φωναφόρους ὑμᾶς ἐνευφημοῦντας ἀπόστολοι.

Ἀγάπην συμπαθείᾳ συζεύξαντες πρὸς ἱκεσίαν τῷ Χριστῷ, πιστοὶ ἐκπέμψαι σπουδάσωμεν, ὅπως ἡμᾶς ἀναστήσῃ ἐκ τάφου τῶν κρυφίων παθῶν ἡμῶν.

Φιλίας σαρκικῆς ἀφειδήσωμεν οἱ νεκρωθέντες τῇ ψυχῇ, καὶ προσφιλεῖς χρηματίσωμεν τοῦ λυτρωτοῦ, ὅπως ᾄδου ῥηκτῆς ἡμᾶς λυτρώσηται κρίσεως.

Προίσης τοῦ Λαζάρου τὴν κοίμησιν, ὃν μετ' ὀλίγον ἀνιεῖσι, ἐκ θηλαζόντων προσδέξῃ Χριστὲ κλαδοφορούντων τὸν αἶνον, τοῦ πάθους σου τοῦ θείου τὰ σύμβολα.

Ἐκ σοῦ τὸ θεῖον ὕδωρ ἀνέβλυσεν ἀθανασίας καὶ ζωῆς θεοκυήτορ παναμωμε, οὗ οἱ γευόμενοι δίψης ἀγρὶ θανατηφόρου μυσθήσονται.

Καὶ τῷ παντουργῷ.

Λίθον τὸν βαρὺν ἐκ τῆς ἡμῶν καρδίας διάρας πρεσβεύσατε τὸν πανοικτίρμονα, λίθοι φανέντες τοῦ ἀκρογωνιαίου λίθου θεηγόροι ἀπόστολοι κυρίου.

Ἄγωμεν, τοῖς σοῖς προσανεφώνησε φίλοις· ὁ φίλος μου Λάζαρος ᾄδῃ κεκοίμηται· τοῦτον ἐγείρων ἐκτρίψῳ τοῦ θανάτου τὴν ὀλεθροτόκον κακίαν εἰς αἰῶνας.

Πρᾶοι τὴν ψυχὴν καὶ ταπεινοὶ τὴν γνώμην γενόμενοι χάριτι, ὑποδεξώμεθα πρᾶον τὸν πάντων ἐρχόμενον δεσπότην, τὴν ἀλαζονείαν τοῦ πονηροῦ συντρίψαι.

Πύλην σε φωτὸς πεφωτισμένος βλέπει προφήτης πανάμωμε· τὸν φωτοδότην γὰρ τίκτεις ἀφράστως ἡμῖν ὁμοιωθέντα, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἡσαΐα χόρευε.

Τῆς φιλίας ῥῦσαί με τοῦ δολίου, δέσποτα Χριστέ, ὁ φίλους σου τοὺς σοφοὺς λίαν μαθητὰς· μεθ' ὧν ἀφικόμενος ἐξεγείρεις φίλον σου πιστὸν σῶτερ τὸν Λάζαρον, εὐχαριστῶ σοι.

Digitized by Google

Συμπληρώσει κύριε τῆς νηστείας πλήρωσον ἡμῶν καρδίαν τε καὶ τὸν νοῦν εὔσπλαγχνε χαρᾶς ταῖς τῶν ἀποστόλων σου ἱκεσίαις τῶν εἰλικρινῶς ἠγαπηκότων σε τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ὀδωδὼς τοῖς ἕλκεσι τῆς κακίας τάφον κατοικῶ τῆς ῥᾳθυμίας Χριστὲ· ὅθεν σοι βοῶ, ἀνάστησον, σῶσόν με, ὅπως κἀγὼ κλάδοις ἀρετῶν καθυπαντήσω σοι, ἀνακράζων ὡσαννᾶ τῷ θεῷ.

Ἐν δυσὶ θελήμασι καὶ οὐσίαις (1) τέτοκας ἡμῖν υἱὸν τὸν μονογενῆ κόρη τοῦ πατρὸς γενόμενον ἄνθρωπον, ἵνα ἡμᾶς δείξῃ κοινωνοὺς φύσεως, ἄχραντε, θειοτέρας ὁ ὑπέρθεος.

Ἀνάτειλόν μοι κύριε.

Ἐπὶ σταυροῦ κύριε ὑπνώσας μεταβέβληκας εἰς ὕπνον δέσποτα τὸν θάνατον· Λάζαρος γὰρ, ἐβόας, ὁ φίλος κεκοίμηται· ἀλλὰ ἀπελεύσομαι ἐξυπνίσαι νῦν αὐτόν.

Σῶν προφητῶν κηρύγματα πληρῶν προφητευόμενα, προφητοκτόνῳ πόλει κύριε οἰκτίρμον παρεγένου, κτανθῆναι θελήματι τὸν ἀποκτανθέντα με, διασώζων τῆς φθορᾶς.

Οἱ σῶμα τὸ δυσήνιον τῷ λόγῳ ὑποτάξαντες δι' ἐγκρατείας καὶ δεήσεως μονασταὶ καὶ μιγάδες, Χριστῷ ὑπαντήσατε πώλῳ ἐπιβαίνοντι, ἐρχομένῳ τε παθεῖν.

Ῥανίσι τοῦ ἐλέους σου κατάρδευσον πανάμωμε, τὴν ἐκτακεῖσάν μου διάνοιαν φλογμῷ τῆς ἁμαρτίας, καὶ τὸν ἐσβεσμένον μου τῆς καρδίας ἄναψον λύχνον πύλη τοῦ φωτός.

Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ.

Τὴν ἀνάστασιν καὶ ζωὴν ἔχουσαι γυναῖκες προσφιλῆ, τί ἀποδύρεσθε πικρῶς; παραγίνεται καὶ ζωώσει τὸν γνήσιον φίλον, τῇ αὐτοῦ ἀναστάσει τὴν ἔγερσιν πάντων προμηνύων ὁ μόνος εὐεργέτης.

Καταγώγια μοναστῶν ἀνοίχθητε ὡς ἄρνες λογικοὶ, τῷ ἀρχι-

(1) Animadvertamus orthodoxam S. Sophronii in liturgico libro confessionem duarum in Christo naturarum et voluntatum, contra tunc grassantes monophysitas haereticos et monothelitas; quam ego sane perspicuam confessionem aemulari velim orientales catholicos liturgicorum librorum scriptores vel editores, omni verborum ambiguitate remota.

Digitized by Google

ποίμενι Χριςῷ ἀπαντῆσαι ὡς κλαδιφόροι, προέρχεται θέλων ὡς ἀρνίον σφαγῆναι ὁ κύριος, ὅπως τὴν τοῦ λύκου ὀλέσῃ τυραννίδα.

Ἐρχομένῳ πρὸς Βηθσφαγῆ κρότου σου ποδῶν ὁ δυσμενὴς ἥσθετο ᾅδης, καὶ ποδῶν τοῦ Λαζάρου ἥπτετο λέγων· εἰ μέλλει φωνεῖν σε ἡ ζωὴ, μὴ μελλήσῃς, ἀλλ' ἔξελθε, ἔγνων τὴν ἐμὴν γὰρ κατάλυσιν ἐν τάχει.

Ἱεραί σε τῶν προφητῶν χηρύττουσι φωναὶ συμβολικῶς, πύλην ἐξ ἧς τοῖς ἐν σκότει καὶ σκιᾷ καθημένοις ἀνέτειλεν ἥλιος παρθένε ὁ μόνος φωτοδότης.

Ὅτι ἐποίησέ μοι μεγάλα.

Ἰδοὺ προαναφώνεις, ἀναβαίνομεν, Ἰησοῦ, πρὸς πόλιν τὴν ἁγίαν καὶ χερσὶ μιαιφόνων ἀληθῶς παραδοθήσομαι ςαυρῷ ἀποκτανθῆναι σαρκί.

Θανάτου θέλων λόγι ἐξαρπάσαι φίλον τὸν σὸν, σαρκὶ θανατωθῆναι δι' ἡμᾶς κατεπείγῃ ἑκόντι, ἀθανατίζων τοὺς βροτοὺς μόνε ἀθάνατε.

Βαΐα σωφροσύνης ἐπισείσωμεν τῷ Χριστῷ, ἐν πώλῳ μετριάζοντι σαρκὶ, καὶ προσείπωμεν αὐτῷ ἐπὶ τὸ πάθος ὁ ἐλθὼν εὐλογητὸς εἶ σωτήρ.

Φρικτή σου ἡ λοχεία θεοτόκε μῆτερ Χριστοῦ· διό σε μακαρίζομεν πιστῶς γενεαὶ τῶν γενεῶν, δοξολογοῦντές σε ἁγνὴ εἰς τοὺς αἰῶνας· ἀμήν.

Ἑπταπλασίως κάμινον.

Τότε ἐμοὶ γνωσθήσεσθε μαθηταὶ, σῶτερ ἔλεξας, ὅτε ἐντολῶν ἐκπληρωταὶ γενήσεσθε ἐμῶν ὥσπερ ἔφησα· ἐθελοντὶ ἐρχόμενος πάθος πρὸς σεπτὸν, δι' οὗ ἀπάθειαν πᾶς τις κομίσεται κραυγάζων ἱερεῖς ἀνυμνεῖτε.

Ἐν ἑαυτοῖς ταπείνωσιν ἀληθῆ περιφέροντες, τὸν ταπεινωθέντα με θεὸν μιμήσασθε, τοῖς φίλοις ἐβόησας, πάθος Χριςὲ πρὸς θεῖον μολῶν· ὁ οὖν ὑψηλὸς θέλων γενέσθαι καὶ πρῶτος, τῶν πάντων δοῦλος ἔςω τῇ προθέσει, κραυγάζων· λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς πάντας τοὺς αἰῶνας.

Ῥῦπον παθῶν τοῦ σώματος καὶ ψυχῆς ἐκκαθάρωμεν, καὶ τῷ

Digitized by Google

καθαρῷ ἀκολουθῆσαι σπεύσωμεν, πρὸς πάθος ἀπάθειαν παρασχόμενον πᾶσι βροτοῖς σπεύδοντι Χριστῷ, ᾧ μελῳδεῖ πᾶσα κτίσις, οἱ παῖδες εὐλογεῖτε.

Ἄνευ ὠδίνων τέτοκας τὸν τὴν Εὔαν ῥυσάμενον ἐκ τῶν ὀδυνῶν, ὧν ἡδονῇ τῆς βρώσεως κλαπεῖσα ἐκέκτητο, θεοκυήτορ δέσποινα· ὃν ἐθελοντὶ πρὸς τὸ μακάριον πάθος ἐρχόμενον ὁρῶσα, ὀδυνᾶσαι καὶ μέλπεις, λαὸν ὑπὸ Χριστὸν κ. τ. λ.

Ἐξέστη ἐπὶ τοῦτο οὐρανός.

Ἰδόντες τὸν ὁμαίμονα Ἰωσὴφ πρὸς πατρὸς ἀδελφοὶ ἀφικόμενον φθόνῳ δεινῷ λάκκῳ καταφέρουσι, καὶ μακρὰν ἀπεμπολοῦσι φέροντα πάθους τὴν εἰκόνα τοῦ ἀπαθοῦς Χριστοῦ τοῦ βασιλέως, ὃν μαθητὴς δολίως ἀπεμπωλῆσαι ἑτοιμάζεται.

Ὡρῶν καὶ ἡμερῶν τε δημιουργὲ, ἀγνοεῖν τὴν ἡμέραν προέφησας τῆς τοῦ παντὸς κόσμου συντελείας τοῖς μαθηταῖς· ὅρους ἡμῖν τιθέμενος μετριοφροσύνης λόγε θεοῦ, δι' ἧς ἀνυψωθέντες, τοῦ πλάνου τὰς ἐπάρσεις σῇ δυναστείᾳ ταπεινοῦμεν ἀεί.

Σταυρώσωμεν τὰ μέλη δι' ἀληθοῦς ἐγκρατείας, Χριστῷ συσταυρούμενοι, καὶ ἡδονῶν φύγωμεν τὸ βάρος τὸ δυσαχθὲς, καὶ ἐντολῶν γινώμεθα θείων τοῦ σωτῆρος ἐκπληρωταὶ, ἵνα ἐν τῇ μελλούσῃ τῆς κρίσεως ἡμέρᾳ, τῆς κατακρίσεως ῥυσθείημεν.

Ἣν πάλαι κατηράσω λόγε συκῆν ἁμαρτίας δηλοῦσαν τὸ ἄκαρπον.

Ἐν βυθῷ κατέστρωσε ποτέ.

Συνελθόντες δεῦτε τῷ Χριστῷ πάντες συνανέλθωμεν, τῶν ἐλαιῶν ἐπὶ τὸ ὄρος σήμερον, κἀκεῖ ἀκουσόμεθα οἷα φθέγγεται τοῖς αὐτὸν ἀγαπήσασι, περὶ τῆς δευτέρας τούτους ἐκδιδάσκων ἐπελεύσεως.

Ἐν ἐλαίῳ ἔργων ἀγαθῶν πάντες ἑτοιμάσωμεν τὰς ψυχικὰς λαμπάδας· ὁ νυμφίος γὰρ ἐξαίφνης ἐφίσταται· μὴ ἀνέτοιμοι εὑρεθῶμεν, ἀνώνητα κρούοντες τὴν θύραν, καὶ μὴ συμπαθείας ἀξιούμενοι.

Προπορεύονταί σου μαθηταὶ, πάθος πρὸς ἑκούσιον λόγε θεοῦ σὲ καθορῶντες σπεύδοντα· Ἰούδας ὁ δόλιος εὐτρεπίζεται τοῖς ἀνόμοις προδοῦναί σε· οὗ τῆς ἀπονοίας πάντας καὶ πωρώσεως ἐξάρπασον.

Digitized by Google

Τὸν υἱὸν καὶ λόγον τοῦ πατρὸς, ὑπὲρ ἐσωμάτωσας σῶν ἐξ ἀγνῶν αἱμάτων κόρη δίσποινα, πρὸς τὸ πάθος σκεύδοντα ὃ εὐδόκησεν ὑπομεῖναι, ὡς εὔσπλαγχνος βλέπουσα τετρώσκῃ, τούτου μακρόθυμον δοξάζουσα.

Δεῦτε λαοὶ ᾄσωμεν.

Τὸ πονηρὸν ἄρτι συνήχθη συνέδριον, καὶ πονηρὰ βουλεύεται τοῦ θανατῶσαί σε τὴν ζωὴν τῶν ἁπάντων, Ἰούδαν συνεργάτην Χριστὲ λαβόμενον.

Ἡ τοῦ λεπροῦ πάλαι σκηνὴ ἱλαστήριον τὸν ἱλασμὸν χωρήσασα πάντων γεγένηται· ὃν εὑροῦσα ἡ πόρνη μυρίων ὀφλημάτων λύσιν κομίζεται.

Νόμους τοὺς σοὺς μὴ συντηρήσας ὁ δείλαιος, φιλαργυρήσας ὤλετο, καὶ παραδοῦναί σε φονευταῖς ἐνθυμεῖται Ἰούδας τὴν ἀγχόνην ἀντικληρούμενος.

Πῶς δι' ἡμᾶς ἦρχῃ παθεῖν ὑπεράγαθε; πῶς παραστῆναι βήματι ὡς κριθησόμενος τοῦ Πιλάτου ἀνέχῃ; ἀμέτρητος ὁ πλοῦτος τῆς εὐσπλαγχνίας σου.

Αἱ περὶ σοῦ πάλαι παρθένοι ᾀδόμεναι τῶν θεηγόρων ἔχραντε ῥήσεις πεπλήρωνται· καὶ γὰρ ἔτεκες λόγον σαρκὶ θελουσίως πάθῃ δεξάμενον.

Ἐν βυθῷ κατέστρωσε ποτέ.

Ἐν κυμβάλοις νῦν δανιτικοῖς ὕμνον ἐπινίκιον τῷ λυτρωτῇ εὐχαριστοῦντες ᾄσωμεν· εἷλε γὰρ τὸν θάνατον, ἀπολύτρωσιν καὶ ζωὴν χαρισάμενος τοῖς πεπεδημένοις ἀπὸ τοῦ αἰῶνος ὡς φιλάνθρωπος.

Ἐν νεκροῖς ὀφθεὶς μετὰ ψυχῆς, νίκρωσιν ἐκούσιον ὁ τῇ σαρκὶ Χριστὲ καταδεξάμενος, ψυχὰς ἠλευθέρωσας, καὶ συνήγειρας, καὶ φωτὶ κατελάμπρυνας μόνε ζωοδότα, πάσχα τὸ σεπτὸν καὶ καθαρτήριον.

Ὁ τυθεὶς ἀμνὸς ὑπὲρ ἡμῶν πάσχα τὸ σωτήριον, ἐκ τῶν νεκρῶν ἀναβιώσας σήμερον, ᾅδην ἠχμαλώτευσεν, ἀφελόμενος οὓς δεσμῶτας κατέκτε κράζοντας, μεγάλη μόνε λυτρωτὰ ἡ δυναστεία σου.

Digitized by Google

Ὁ παρθένων δείξας σε ἀγνὴν καὶ μετὰ τὴν κύησιν, ἐκ τῶν νεκρῶν ἐξαναζὰς τριήμερος τὴν κτίσιν ἐφαίδρυνεν, ἀπειρόγαμε παναγία Θεονυμφε, ὁ δεδοξασμένος κύριος, ἐνδόξως γὰρ δεδόξασται.

Ἐξήνθησεν ἡ ἔρημος ὡσεὶ κρίνον κύριε.

Ἐξάξας ἐν ἀνδρείᾳ πεπεδημένους κύριε, τῇ ὑπὸ γῆν καθόδῳ σου ἀλαζῶνα παρεπικραίνοντα, ἐθανάλωσας ὄφιν τῷ θανάτῳ σου

Ἡμέρα ἣν ἐποίησεν ὁ εἰπτίρμων κύριος, αὕτη ὑπάρχει· πνεύματι καὶ καρδίᾳ ἀγαλλιώμενοι ἐν αὐτῇ εὐφρανθῶμεν καὶ χορεύσωμεν.

Διώκτου τυραννίδος λελυτρωμένοι αἵματι τοῦ καθαροῦ ἀμώμου τε ἱερείου, νῦν συζησώμεθα ἑορτὴν ἐν αἰνέσει ἀλαλάζοντες.

Τὸ χαῖρε σοι προσνίμει ἐκ τάφου λάμψας κύριος· σοὶ γὰρ καὶ μόνῃ ἄχραντε πρέπει χαρίτωτε, ἡ τῆς Εὔας τὴν λύπην ἀφανίσασα.

Ἐλήλυθας ἐκ παρθένου.

Ἐκ τάφου σε ἀνατείλαντα ἥλιον ἄδυτον, ἀστέρες πολύφωτοι οἱ μαθηταὶ θεασάμενοι, πᾶσαν τὴν ὑφήλιον τῇ τοῦ κηρύγματος αὐγῇ κατεφώτισαν.

Χορεύσωμεν ἑορτὴν συστησάμενοι πνεύματι· ἀνέστη ὁ κύριος, πάσχα τὸ θεῖον εὐφρόσυνον χάριν παρεχόμενος τοῖς τὴν αὐτοῦ προσκυνοῦσι συγκατάβασιν.

Μνούσασαι τὴν σεπτὴν σου γυναῖκες ἀνάστασιν, τοῖς φίλοις σου δέσποτα περιχαρῶς τοῦτο ἔλεγον, ἴδομεν τὸν κύριον, καὶ πρωτοδότως τὸ χαῖρε ἀπειλήφαμεν.

Συγχαίρει σοι γυναικῶν μυροφόρων πανάμωμε χορὸς ἀγιώτατος, ἐξαναστάντα θεώμενος λόγον ὃν εἰκύησας ὑπὲρ αἰτίαν καὶ λόγον.

Ὁ τοῦ φωτὸς χορηγός.

Ὁ φωτὸς χορηγὸς ὑπὸ τὴν γῆν μετὰ ψυχῆς γέγονε, καὶ τοὺς ἐκεῖ δεσμῶτας ἐξάξας ἀνέστη κραταιῶς, τὴν ἀθανασίαν πιστοῖς χαρισάμενος.

Συνενεκρούμην σοι χθὶς νενεκρωμένῳ δι' ἐμὲ κύριε· σημέρον δὲ

Digitized by Google

συζωοποιοῦμαι, ζωὴν ἀληθινὴν ἔχων σε καὶ πάσχα ψυχῆς καθαρτήριον.

Βακτηρευόμενοι καὶ στηριζόμενοι σταυρῷ φάγωμεν τὸ καθαρὸν πάσχα, τὰς πικρίδας σαρκὸς τῶν ἡδονῶν ἐκ τῆς διανοίας ἡμῶν ἀπελαύνοντες.

Ἡ βασιλὶς τοῦ παντὸς τὸν βασιλέα τοῦ παντὸς τέξασα, ὡς ἐκ παστοῦ τοῦτον τὸν γαστρός σου ὡραῖον ὁρῶσα τάφου προελθόντα, ἀγάλλου καὶ χόρευε.

Ἐν ἀβύσσῳ πλασμάτων κυκλούμενος.

Λαμπροφόρος ἡμέρα ἐγέρσεως, πάντες λαμπροφόροι ψυχαῖς χρηματίσωμεν· ὁ λυτρωτὴς ἐγήγερται, τὰ τοῦ ᾅδου κενώσας βασίλεια.

Ἱερῶν γυναικῶν ὁ κατάλογος, βλέψας τὴν ζωὴν ἐκ νεκρῶν ἀνατείλασαν, τοῖς μαθηταῖς συνέχαιρε, καὶ τὸ πάσχα τὸ θεῖον ἑόρταζεν.

Ἀπεπαύθη τῆς λύπης τὰ δάκρυα, ὁ χαροποιὸς Ἰησοῦς γὰρ ἐγήγερται, συνεξεγείρας ἅπασαν τῶν βροτῶν τὴν οὐσίαν ὡς εὔσπλαγχνος.

Παρθενίας τὰς πύλας οὐκ ἠνοίξας, μνήματος σφραγῖδας οὐκ ἔλυσας θίσποτα, ἐξαναστὰς τριήμερος, ὁ βουλήσει τὰ πάντα ἐργαζόμενος.

Ἀντίθεον πρόσταγμα.

Διώκτης ὀλέθριος ἐξηφανίσθη τοῦ ᾅδου κεκίνωται τὸ ἀφεγγὲς βασίλειον· Χριστὸς γὰρ τὸ ἄχρονον φῶς καὶ ἀνόλεθρον ἔγραψεν ἀνίτειλε, χαρᾶς τὴν οἰκουμένην πληρώσας σήμερον.

Κρουνοὺς ἐπαφῆκάς μοι ἀθανασίας, πλευρὰν ὀρυττόμενος καὶ χεῖρας ὑπερράγαδε· θανάτῳ δὲ θάνατον σῶτερ ἐνέπρωσας, καὶ συνεξανέστησας νεκροὺς τῇ σῇ ἐγέρσει ὁ ὑπερένδοξος.

Κλαιούσαις ἐβόησας ταῖς μυροφόροις Χριστὲ, ἐξεγήγερμαι· τὸν θρῆνον ἀπορρίψατε, τοῖς φίλοις μου εἴπατε, καὶ θυπαντῆσαί μοι καὶ τὴν ἐπινίκιον ᾠδὴν ἀναφωνῆσαι τῇ δυναστείᾳ μου.

Παρθένον τηρήσας σε μετὰ τόκον, ὁ πάντα βουλήματι τῷ θείῳ ἐργαζόμενος, ὡράθης ὡς ἄνθρωπος θεοχαρίτωτε πᾶσι τὴν ἀνάστασιν δοὺς, ὡς εὐεργέτης καὶ ὑπερένδοξος.

Digitized by Google

Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὡς ἐκ παστάδος φωταυγὴς καὶ ὡραῖος, Ἰησοῦ, νυμφίος ὤφθης, ὁ παννύσας τῷ τάφῳ τὴν ἀφθαρσίαν ἡμῖν· νεκρώσας φόλακας, ζωώσας δὲ τοὺς πεπισλευκότας εἰς σὲ τὸν ζωοδότην.

Ἀθανατίσθητε ὑμεῖς τῷ θανάτῳ μου, τοῖς σοῖς ἐβόας φίλοις· καὶ τὸ πάσχα τὸ μέγα ταῖς πατριαῖς τῶν ἐθνῶν μεγάλως λαμπρῶς τε κηρύξατε, ἵνα γνῶσι πάντες Χριςὸν νικοποιόν με.

Ζήσεσθε φίλοι μαθηταὶ ἐν ἐμοὶ· καὶ γὰρ ἐγὼ ζωὴ ὑπάρχων ἐξανίστην ἐν δόξῃ, καθὼς ὁρᾶτε ὑμεῖς· ἐβόας, σαλπίσατε σάλπιγγι ἐν ἀγαλλιάσει ψυχῆς εἰς τοὺς αἰῶνας.

Ἐγηγερμένον ἐκ νεκρῶν ἡ παρθένος τὸν υἱὸν θεασαμένη, ὡραιώθης ἐβόα ζωοποιέ μου υἱέ, θανάτῳ νεκρώσας τὸν θάνατον· ὅθεν σε δοξάζει συμφώνως πᾶσα κτίσις.

Τὸν ἐκ θεοῦ θεὸν λόγον.

Ὁμοιωθεὶς κατὰ πάντα ἁμαρτήματος δίχα ἀνθρώποις Ἰησοῦ συμβασιλεῦ θνήσκεις καὶ τάφῳ κατάκεισαι· μὴ φθορᾶς μετασχὼν δὲ ἀνίςασαι, καινίζων τοῖς πιςοῖς ἀφθαρσίας εἰσόδους τῇ θείᾳ ἀναστάσει σου.

Αὕτη ἡμῶν ἡ ἡμέρα ἣν ἐποίησεν ὄντως ὁ κύριος ποιήσας ἐν αὐτῇ ἔνδοξά τε καὶ ἀπόῤῥητα· ἐν αὐτῇ εὐφρανθῶμεν, καὶ κράξωμεν μεγάλῃ τῇ φωνῇ, τὸ σεβάσμιον πάσχα ἡμῶν ἐτύθης κύριε.

Τί μετὰ μύρων ζητεῖτε τὸ πολύτιμον μύρον; τοῦ ᾅδου τὸ δυσῶδες ἀφελών, λύσιν δεσμώταις δείπνευσε, καὶ ἀνέςη ἐν δόξῃ· ἐμπλήσθητε χαρᾶς, ταῖς γυναιξὶν ὁ ἀςράπτων τῷ τάφῳ ἄγγελος ἀνεβόησεν.

Σὺν γυναιξὶ μυροφόροις, σὺν σοφοῖς ἀποστόλοις, ὁρῶσα τὸν υἱόν σου καὶ θεὸν ἐγηγερμένον πανάμωμε ἐκ νεκρῶν, καθὼς εἶπεν, ἑόρτιον ἀνάλαβε χαράν, δυσωποῦσα ἀπαύστως σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ τὰ ὕδατα πάλαι.

Ὁ τὴν γῆν ἐφ' ὑδάτων πάλαι κρεμάσας, κρεμνᾶται ἑθελουσίως τῷ ξύλῳ· ἐκ πλευρᾶς βρύει δὲ ὕδωρ ἀφέσεως, καὶ τὴν ἀναβλύζουσαν τῇ παραβάσει κακίαν ξηραίνει ὡς εὔσπλαγχνος, ὅτι δεδόξασται.

Digitized by Google

Ἐκ τῆς γῆς πρὸς τὰ ἄνω ἀνενεχθέντες, τοῦ πάσχα τὴν λαμπροτάτην ἡμέραν, ἐν αὐτῇ σήμερον χορεύσαντες, κεῖνον ἀνακράξωμεν τῷ νεκρωτῇ τοῦ θανάτου, μόνῳ βασιλεῖ ἡμῶν, ὅτι δεδόξασται.

Τὸ ἀτίμητον μύρον τί μετὰ μύρων, γυναῖκες, ἀπεζητήσατε, ἐν τάφῳ ὁ φανεὶς ἄγγελος λαμπρῶς ἐβόησεν; ἅπιτε κηρύξατε τοῖς μαθηταῖς, ἐξανέστη, καὶ κατευωδίασε τὴν γῆν τὰ πίρατα.

Τὸν υἱόν σου παρθένε ἐγηγερμένον ἐκ τάφου ὡραῖον κάλλει ὁρῶσα, μαθηταῖς ἄχραντε λαμπρῶς συνέχαιρες ἄφθορε σοι κραυγάζομεν χαρᾶς ἡ αἰτία, χαῖρε ἡ ἀνιύρτους, ζωῆς φανέρωσις.

Λαός μου, ὅτι πάντων κυριεύω νεκρῶν καὶ ζώντων.

Ὡς θεὸς κατ' κατάγω καὶ ἀνάγω ἐκ γῆς, καὶ σώζω φωνὴν βοῶντας, σῶσον σῶτερ ὁ σώσας τὸν Ἰσραὴλ ἐκ δουλείας.

Τὸ κατασκήνωμα ἰδόντες οἱ παράνομοι σχιζόμενον, τῇ σῇ σταυρώσει λυτρωτὰ διεσχίσθησαν ὡς γέγραπται· καὶ μὴ κατανυγέντες, ὅξος πεῖν προσέφερόν σοι χολῇ μεμιγμένον.

Τὴν ἁμαρτίαν μου ἔζήλωσας ἠλώθεις ἐν ξύλῳ πόρευ, καὶ ἐν τῷ τάφῳ ὡς νεκρὸς ἀφυπνώσας, τοὺς ὑπνώττοντας ἐξήγειρας ἐκ τάφων βλέψαι τὸ φῶς τῆς ἀναστασεώς σου σῶτερ ζωοδότα.

Ὦ πάσχα μέγα καὶ σεβάσμιον τῆς φθορᾶς δι' οὗ ἐρύσθημεν, καὶ σκοτασμοῦ τῶν ὀδυνῶν καὶ δουλείας τοῦ πικροῦ Φαραὼ θεοῦ υἱὲ καὶ λόγε δίδου ἡμῖν κατατρυφῆσαι τῆς σῆς βασιλείας.

Τὸν γεννηθέντα ἐξ ἀγνῶν σου καὶ παρθένε αἱμάτων Χριστὸν, καὶ σαρκωθέντα ἐν σαρκὶ καὶ ταφέντα καὶ ζωώσαντα τοὺς πάλαι τεθαμμένους δίδου ἡμῖν, εὐίλατον μητρικὴ παῤῥησίᾳ.

Ὦ ἐκ μὴ ὄντων τὰ πάντα.

Ἥλιε δόξης ἀόρατε βασιλεῦ ὁρῶν σε κρεμάμενον, φῶς συνέστειλεν ἥλιος, καὶ ἡ γῆ ἐσείετο, καὶ ἐδονεῖτο τῷ φόβῳ σου ἡ κτίσις.

Σήμερον ὤφθη ὡραῖος ὡς ἐκ κοίτου Χριστὸς πορευόμενος ἐκ τοῦ τάφου ὁ κύριος, καὶ τὴν ὡραιότητα ἡμῖν τῆς θείας ἐγέρσεως θωρῆσαι.

Digitized by Google

Πάσχα κυρίου τὸ μέγα καὶ ἱερὸν Χριστός· ἐκ τοῦ τάφου γὰρ δεσμῶν ἐλευθερώθητε ἁμαρτίας σήμερον, τὸν καταλύτην τοῦ ᾅδου ἀνυμνοῦντες.

Τὸν σταυρωθέντα ταφέντα καὶ ἐκ νεκρῶν καθὼς προεμήνυσεν ἐγερθέντα τρίημερον, θεομήτορ εἵπησαι, τοῦ διασῶσαι τοὺς δούλους σου παρθένε.

Ἔθου πρὸς ἡμᾶς.

Βήματι κριτοῦ ὁ κριτὴς Πιλάτου παρίστηκας, φρικτὰ ἐμπτυσμοὺς καὶ ῥαπισμοὺς καὶ καλαβὰς εἰς ᾅδην ἐρράπισας, ταύτου τὸ βασίλειον ἐξαναστήσας πάλαι οὗς κατέκτεινεν.

Πάσχα ἑορτῶν ἑορτὴ λαμπρὰ καὶ πανήγυρις πασῶν πανηγύρεων, πεῖσοι τῷ νικητῇ ταῦ ᾅδου βοήσωμεν, εἰργάσω παράδοξα ἡμᾶς ζωώσας· δόξα τῇ δυνάμει σου.

Χαίρει μαθητῶν ὁ χορὸς ἰδὼν τὸν διδάσκαλον, θάνατον θανάτῳ ἀληθῶς καταβαλόντα, καὶ τὰ βασίλεια τοῦ ᾅδου κενώσαντα καὶ ἀναστάντα τάφου, καθὼς ἔφησεν.

Μόνη γυναικῶν τοκετὸν παράδοξον ἔσχηκας, μόνη καθαρᾶς ἐκ τῶν νεκρῶν ἐγηγερμένον κόρη παναμωμε τὸν μόνον θεὸν ἡμῶν, ὃν ἐκδυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἐπὶ τῆς γῆς ὁ ἀόρατος ὤφθης.

Ἐπὶ σταυροῦ ἑκουσίως ὑπνώσας τοὺς ἐν νεκροῖς ἀκουσίως ὑπνοῦντας μετὰ ψυχῆς ἐν αὐτοῖς καταβὰς φιλάνθρωπε κραταιῶς συνεξανέστησας.

Μετὰ νεκρῶν μὴ ζητεῖτε τὸν ζῶντα· μετὰ κλαυθμῶν τὴν παράκλησιν πάντων βλέψαι μὴ θέλετε, ὁ ἀστράπτων ἄγγελος μυροφόροις ἀπεφθέγγετο.

Τῶν μαθητῶν ἐκ νεκρῶν σε ὁ θεῖος ἑωρακὼς ἀναλάμψαντα, λόγε, χαρᾶς πεπλήρωται καὶ κρατεῖ ἐν πνεύματι πάσχα θεῖον καὶ σωτήριον.

Ὃν ἐκ τῶν σῶν παναγίων αἱμάτων ὑπερφυῶς ἐσωμάτωσας λόγον, ἀναβιώσαντα ἐκ νεκρῶν τριήμερον ἐθεάσω μητραπάρθενε.

Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν.

Ἄσατε καὶ ψάλατε τῷ θεῷ ἑλόντι πάθει τὸν ἀπάντων πο-

Digitized by Google

λίμιον, καὶ πανηγυρίσατε λαοὶ φυλαὶ καὶ γλῶσσαι τῆς γῆς, καὶ κροτήσατε ἐξανίστη ὁ κύριος.

Τέτρωται τῇ λόγχῃ σου ὁ ἐχθρὸς, καὶ ἡ φλογίνη ῥομφαῖα νῶτα δίδωσι τοῖς τὴν σὴν ἀνάστασιν εὐσεβῶς καταγγέλλουσι, καὶ ὑμνοῦσί σε Ἰησοῦ ὑπεράγαθε.

Σήμερον τὴν ἔγερσίν ἀληθῶς αὐτὴν ἑορτάζομεν τοῦ δεσπότου τῆς κλίσεως ἐν αὐτῇ· τὸν κόσμον γὰρ ἑαυτῷ συνανίστησι, καὶ ἐνέκρωσε νεκρωθεὶς τὸν πολέμιον.

Πάναγνε ἡ μόνη τῷ πλαστουργῷ καὶ τοῖς ἀνθρώποις, ὑπὲρ νοῦν μεσιτεύσασα τὸν υἱόν σου ἱλεων, τοῖς ἐσταικόσι δούλοις σου καὶ ὑπέρμαχον χρηματίσαι δυσώπησον.

Τρεῖς παῖδες ἐν καμίνῳ.

Κροτήσατε τὰ ἔθνη ψαλμικῶς χεῖρας σήμερον, ἐξανέστη ὁ Χριστὸς συνεξεγείρας νεκροὺς· μεγαλοφώνως βοῶντας εὐλογητὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Στησώμεθα χορείαν μυστικῶς ἀλαλάζοντες, τῇ τοῦ πάσχα ἑορτῇ καὶ ἀνακράξωμεν· ὁ τὰ μεγάλα ποιήσας εἰς ἀπολύτρωσιν ἡμῶν εὐλογητὸς εἶ Χριστέ.

Γυναῖκες ἀπὸ θείας γραφικῶς δεῦτε σήμερον, τῇ Σιὼν εὐαγγελίσασθε τὴν ἔγερσιν τοῦ ἐκ παρθένου τεχθέντος, καὶ τῶν ὠδίνων τῶν πικρῶν τὴν Εὔαν λύσαντος.

Νεφέλη φωτοφόρε ὁ οἰκήσας τὴν μήτραν σου· ὑπὲρ λόγον μίγας ἥλιος παρθένε Χριστὸ ἐξανατείλας τοῦ τάφου, πᾶσαν ἐφώτισε τὴν γῆν θείαις λαμπρότησιν.

Ἀστέκτῳ πυρὶ ἐνωθέντες.

Ἀκάνθαις στεφθεὶς ἑκουσίως πρόῤῥιζον τὴν ἄκανθαν τῆς πλάνης ἀποτέμνεις, ἐν μνημείῳ κατακλεισθεὶς δὲ πάντας τοὺς ἐν μνήμασι ἐξεγείρεις, πάσχα κροτοῦντας αἰώνιον ἄναρχε ἀνάρχου πατρὸς υἱὲ καὶ λόγε.

Ἄπειτε ὑμεῖς εἰς τὰ ἔθνη πάντα ἀποστόλοις ἀνεβόα ὁ δεσπότης· διαγγέλλοντες τὴν ἐκ τάφου φρικώδη μου ἔγερσιν, καὶ τοῦ ᾅδου ὄντως παντελῆ καθαίρεσιν, ὅπως τε θανόντων καὶ ζώντων βασιλεύω.

Digitized by Google

Χαίρετε βοᾷς μυροφόροις σοῦ τοὺς ἱεροὺς κρατούσαις πόδας, ὧν τὸν κρότον ἡ ϖρομήτωρ πρὶν ἐφοβήθη, καὶ εὐαγγελίστριας ἀποςόλοις ταύτας δεικνύεις, ὁ κύριος ἀνέστη λεγούσας, καὶ ζῇ εἰς τοὺς αἰῶνας.

Χαίρεις χαρμονῇ ἀνεικάστῳ βλέπουσα παρθένε, θεοτόκε τὸν υἱόν σου ὡς ϖρωτότοκον ἐκ γαςρός σου· οὕτω καὶ ϖρωτότοκον ἐκ νεκρῶν νῦν δόξῃ θείᾳ ἀνερχόμενον, ϖρῶτον τὰ τοῦ ᾅδου κενώσαντα ταμιεῖα.

Ἐν νόμῳ σκιὰν καὶ γράμματι·

Τὴν ξύλῳ ποτὲ βλαστήσασαν φθορὰν ξύλῳ ἰάτρευσας, ἐν τάφῳ συγκλεισθεὶς δὲ τοὺς ἐν τάφοις ἤγειρας νεκροὺς· πάσχα τὸ μέγα καὶ θεῖον λόγε ἀνάρχου πατρὸς ὁ τοὺς βροτοὺς συμπολίτας τῶν ἀγγέλων ἐργασάμενος.

Κλαιούσαις ποτὲ ἐβόα γυναιξὶν ὁ θεῖος ἄγγελος, χαρὰν ἀναλαβοῦσαι ἀποστόλοις σπεύσατε εἰπεῖν, ὡς ὁ δεσπότης ἀνέστη, καὶ νῦν προάγει ὑμᾶς εἰς Γαλιλαίαν, ὡς εἶπεν ϖρὸ τοῦ ϖάθους ὁ φιλάνθρωϖος.

Ἀγάλλου ἡ γῆ ἀγάλλου οὐρανὲ βροτοὶ σκιρτήσατε, ὁ κύριος ἀνέστη, κατεϖόθη θάνατος· λοιϖὸν οἱ ἐν δεσμοῖς ἀϖ' αἰῶνος ἠλευθερώθησαν, ϖάσχα κροτοῦντες τὸ μέγα τὸ φαιδρόν τε καὶ χαρμόσυνον.

Τὸ θρῆνος ἁγνὴ μετῆλθέ σοι λοιϖὸν εἰς ἀγαλλίαμα· ἰδοὺ γὰρ ὁ υἱός σου καὶ δεσπότης ϖάντων καὶ θεὸς, ὃν ἐν ϛαυρῷ κατενόεις κάλλος μὴ ἔχοντα, ἐγηγερμένος ὡραῖος ϖᾶσαν κτίσιν ἐκαλλώϖισεν.

Εὐφραίνεται ἐϖὶ σοί.

Εὐφραίνεσθε οὐρανοὶ, ἀγαλλιάσθω δὲ ἡ γῆ ἅϖασα, ἐκ τῶν νεκρῶν σήμερον ϖάντων ἡ ζωὴ γὰρ ἐγείρεται.

Ἠμαύρωται ὁ ἐχθρὸς τῇ ἐϖιλάμψει σου Χριστὲ ἥλιε, εἶδον δὲ φῶς ἄδυτον οἱ ϖρὶν ἐν τῷ σκότει καθήμενοι.

Δουλείας τοῦ νοητοῦ ἀϖαλλαγέντες Φαραὼ σήμερον, ϖάσχα θεοῦ ἅγιον ἁγιαστικῶς ἑορτάσωμεν.

Εὐφραίνου μῆτερ ἁγνὴ τὴν εὐφροσύνην τοῦ ϖαντὸς βλέϖουσα, τὸ κατηφὲς λύσασαν ᾅδου, καὶ βροτοὺς ἀναϖλάσασαν.

Digitized by Google

Ἐπαρθέντας εἶδοῦσα ἡ ἐκκλησία.

Ἐπὶ ξύλου ὥσπερ ἄμπελος ζωοδότα ἀναρτηθεὶς ἐπήγασας, οἶνον σωτηρίας πάντας τὸν εὐφραίνοντα, διό σοι κραυγάζομεν δόξα τῇ δυνάμει σου κύριε.

Πύλαι ᾅδου σοι ἠνοίγησαν σῶτερ φόβῳ· καὶ πυλωροί σε βλέψαντες περιβεβλημένον σολὴν ἐκδικήσεως ἐξέζησαν, ἔφριξαν, καὶ ἀπὸ προσώπου σου ἔφυγον.

Μετὰ μύρων σε γυναῖκες τὸ θεῖον μύρον ἐπιζητοῦσαι ὄρθριαι, ἦλθον πρὸς τὸ μνῆμα· ἄγγελον εὑροῦσαι δὲ τὴν σὴν καταγγέλλοντα ἔγερσιν σῶτερ κατεπλάγησαν.

Ἐσαρθέντα σε ἐν ξύλῳ ἰδοῦσα λόγε ἡ σὲ τεκοῦσα ἔστενε, τάφῳ δὲ τεθέντα καὶ νεκροὺς ἐγείραντα, εὐφραίνετάι βλέπουσα· ἣν ὡς θεοτόκον δοξάζομεν.

Σὺ κύριε μου φῶς εἰς τὸν κόσμον.

Σὺ κύριε χερσὶν ὁ ποιήσας τὸν ἄνθρωπον, ἐξέτεινας ἐπὶ ξύλου τὰς ἀχράντους σου χεῖρας, πλευρὰν ἐξορυττόμενος.

Σὺ κύριε ταφεὶς ὡς νεκρὸς ἐν τῷ μνήματι, ἐνέθαψας τὴν κακίαν τοῦ νεκρώσαντος κόσμον, καὶ πάντας ἐξανέστησαν.

Ὦ πάσχα ἱερὸν καὶ σεπτὸν καὶ σωτήριον· ὦ ἔνθεος εὐφροσύνη, διὰ σοῦ τοῖς ἀγγέλοις οἱ γῆινοι συνήφθημεν.

Συνέλαβες Χριστὸν καὶ ἀφθόρως ἐκύησας, πανάμωμε, τὸν τοῦ ᾅδου τὴν ἰσχὺν καθελόντα, καὶ σώσαντα τὸν ἄνθρωπον.

Θύσω σοι μετὰ φωνῆς.

Βρώσει με τῇ τοῦ ξύλου κλαπέντα καὶ θνήξαντα, τῇ τοῦ ἐχθροῦ συμβουλίᾳ ὑψωθεὶς ἐν ξύλῳ ἀνεκαλέσω, καὶ πεσόντα εἰς φθορὰν ἀφθαρσίᾳ ἐτίμησας.

Σινδόνι ἐνειλιθεὶς ταφῇ παραδέδωσαι καὶ διαῤῥήξας τοῦ ᾅδου θείᾳ δυναστείᾳ τὰ σπάργανα, ἐξανέζης ὡς θεὸς ζωοδότα τοῦ μνήματος.

Κύριον τοῦ παντὸς κυριώνυμε τέτοκας, τὸν καθελόντα τὸ κῦρος τοῦ θανάτου, πᾶσί τε τοῖς ἀνθρώποις παρασχόντα ἀθανασίαν καὶ ἀπολύτρωσιν.

Digitized by Google

Ἐν τῇ καμίνῳ ἁβραμιαῖοι παῖδες.

Ζωῆς τὴν πέτραν προσηλωθεῖσαν ξύλῳ τῷ τοῦ σαυροῦ, πέτραι καθορῶσαι πάλαι φόβῳ πολλῷ διερράγησαν, καὶ ἥλιος τὸ φῶς ἀπέκρυψε, καὶ τὰ τῆς γῆς ἐσείσθη θεμέλια.

Ἐπανακλήσει τῶν πεπτωκότων ἀνακέκλησαι οἷα βασιλεὺς, ἐν τάφῳ στρατιωτῶν φυλαττόντων σε φιλάνθρωπε, εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου κύριε.

Ἅδου ταμιείων πεπεδημένους ἐξήρπασας λόγε, τοῦ πατρὸς δυνάμει παντουργικῇ, καὶ βοῶντας ἐξανίστησας εὐλογημένος εἶ.

Ἐγηγερμένον ἐκ τῶν νεκρῶν τὸν ζωῆς κύριον κόρη, κατιδοῦσα χαίρεις συμμαθηταῖς σὺν αὐτοῖς τε μέλπεις πάντοτε· εὐλογημένος εἶ.

Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὑψωσας παλάμας ἐν σταυρῷ, καὶ τὰ θεμέλια τῆς γῆς ἐδόνησας· τοὺς δὲ τὴν ἔκπτωσιν δέσποτα διὰ ξύλου ὑπομείναντας πρὸς ἑαυτὸν χαρμονικῶς βοῶντας εἵλκυσαι, εὐλογεῖτε πάντας.

Δάκκῳ σε κατέθεντο νεκρὸν νεκροῦντα θάνατον, ζωοποιοῦντα δὲ οὓς ἀπενέκρωσε δήγματι ἰοβόλῳ ὁ ἀρχέκακος, λόγε θεοῦ μονογενὴς· διὸ βοῶμέν σοι εὐλογεῖτε.

Πάσχα ἡ χαρμόσυνος ἡμῖν ἡμέρα ἔλαμψεν, ἐν ᾗ ἐσχήκαμεν τὴν ἀπολύτρωσιν ἅπαντες οἱ δουλείᾳ συνεχόμενοι τοῦ πολεμήτορος ἐχθροῦ, ὅθεν κραυγάζομεν εὐλογεῖτε πάντα.

Ὁ πᾶσι τὸ εἶναι παρασχὼν αἰτίαν ἔσχηκε σὲ τῆς σαρκώσεως, καὶ προελήλυθεν ἄφθορος ἐξ ἀφθόρου τῆς νηδύος σου ὁ ἀφθαρσίαν τοῖς νεκροῖς ἐμπνέων μέλπουσιν εὐλογεῖτε πάντα.

Λίθος ἀχειρότμητος ὄρους.

Ξύλου με καρπῷ, συμβουλίᾳ τραυματισθέντα τοῦ βελίαρ, σὺ τραυματισθεὶς ἐπὶ ξύλου Χριστὲ ἴασω· καὶ τῆς καλάρας με ὑπὲρ ἡμῶν γενόμενος, λόγε, κατάρα ἠλευθέρωσας.

Τὸν ζωοποιοῦντα τὰ πάντα ἐν τοῖς νεκροῖς πῶς ἐκζητεῖτε; λύσας τοῦ θανάτου τὸ κράτος καθὼς προεῖπεν, νῦν ἐγήγερται, ταῖς μυροφόροις ἔλεγεν ὁ ἐξαστράπτων θεῖος ἄγγελος.

Ὦ μακαριώτατον πάσχα δι' οὗ ἐκ γῆς μετεβιβάσθη πᾶσα

Digitized by Google

τῶν ἀνθρώπων ἡ φύσις πρὸς τὴν ἐκεῖθεν μακαριότητα πάσχα σεπτὸν καὶ ἄμωμον, σὺ τῶν πιστῶν ἡ ἀπολύτρωσις.

Χαῖρε τῆς χαρᾶς ἡ αἰτία, χαῖρε κατάρας ἀνηρίτις, χαίροις ὀρθοδόξων τὸ κλέος τῶν σὲ ὑμνούντων τὸ καταφύγιον, θεογενήτορ πάναγνε δι' ἧς φθορᾶς ἠλευθερώθημεν.

Ἵππον καὶ ἀναβάτην.

Ὅλος ἐπιθυμία καὶ ὅλος ὢν γλυκασμός, Ἰησοῦ, ἀπεγεύσω χολῆς σταυρῷ κρεμάμενος τὴν προσγινομένην μοι ἁμαρτίαν δίσποτα πικρωτάτην σαρῶς ἰώμενος.

Ἤκουσε καὶ εὐφράνθη Σιὼν ὡς γέγραπται, ἀναστάντος σου λόγε· αἱ ταύτης θυγατέρες γὰρ πρῶται σε τεθέανται καὶ τὸ χαῖρε δέχονται, τῆς κατάρας ἀπολυτρούμενας.

Δεῦρο καὶ τὴν κινύραν Δαυὶδ ἀνάκρουσον· συστησώμεθα λέγων ἑορτὴν ἀλαλάζοντες, αὕτη ἣν ἐποίησεν ὁ δεσπότης, κύριος ἡ ἡμέρα τῆς ἀναστάσεως.

Χαίροις εὐλογημένη θεοχαρίτωτε, μετὰ σοῦ ὁ δεσπότης, ὁ καθελὼν τὸν θάνατον, καὶ λύσας τὸν ἄνθρωπον τῆς κατάρας, δίσποινα μεσιτείᾳ σου μητροπάρθενε.

Ὅτι ἐγώ εἰμι θεὸς ὁ σάρκα.

Ξύλῳ κατέκρινας τὴν ἁμαρτίαν Ἰησοῦ, καὶ ᾅδην ἐχμαλώτευσας τεθεὶς ἐν τῷ μνημείῳ, καὶ ἀνέστης ὡς θεός, συνεγείρας τὸν κόσμον δοξολογοῦντα τὴν δυναστείαν σου.

Πάντα κροτήσατε χεῖρας τὰ ἔθνη ψαλμικῶς, ἀνέστη τὰ βασίλεια κενώσας τοῦ θανάτου ὁ ἀθάνατος θεός, βασιλεύει ἀεὶ δὲ γῆν ἐπὶ πᾶσαν ὡς βασιλεὺς τοῦ παντός.

Πάσχα σωτήριον πάσχα ἀνάκλησις ψυχῶν, ἡμέρα εὐφροσύνης καὶ χαρᾶς αὕτη ὑπάρχει· εὐφρανθῶμεν μυστικῶς καὶ Χριστὸν τὸν τῶν ὅλων θεὸν σωτῆρα δοξολογήσωμεν.

Ὃν ἐσωμάτωσας λόγον πανάμωμε ἀγνὴ εὐφραίνου, ἐκ νεκρῶν ἐγηγερμένον καθορῶσα, καὶ ἱκέτευε αὐτὸν, τοὺς ἀεί σε τιμῶντας σῶσαι κινδύνων καὶ περιστάσεων.

Ὁ πήξας ἐπ' οὐδένος τὴν γῆν.

Φωστῆρες ἐπὶ ζαυροῦ σε βλέποντες ἥλιε ἁπλωθέντα γνόμῃ τὸ

Digitized by Google

φῶς συνέστειλαν, γῆ πᾶσα ἐσείσθη, ναοῦ φατδρότης διερράγη καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, καὶ νεκροὶ τῶν τάφων ἀνέστησαν.

Σινδόνι καθαρωτάτῃ φόβῳ εἱλίσας σε Ἰωσὴφ καλύπτει λόγε ἐν μνήματι τὸν προσεπενδύοντα ἀεὶ τὸν οὐρανὸν νεφέλαις, καὶ τοῦ προπάτορος ἐνθάψαντος πᾶσαν ἁμαρτίαν φιλάνθρωπε.

Τὸν λίθον ἀποκυλίσας ἀπὸ τοῦ μνήματος, γυναιξὶν ἐβόα ὁ θεῖος ἄγγελος τίνα μετὰ μύρων ὡς θνητὸν ἀφίκεσθε ζητοῦσαι; ὁ ζωοδότης ἐξεγήγερται, θείας ὑμηδίας ἐμπλήσθητε.

Ἐκ τάφου ὡς ἐκ παστοῦ νυμφίον, πανάμωμε, τὸν Χριστὸν ὁρῶσα ἐκπορευόμενον ὅλον ὡραιότατον σαφῶς, χαρὰν ἀναλαβοῦσα τοῖς μαθηταῖς αὐτοῦ συνέχαιρες, λέγουσα ἀνέστη ὁ κύριος.

Τὴν θείαν ἐννοήσας σου κένωσιν.

Τὸν ὄφιν ἐπὶ ξύλου ἐνέκρωσας, καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς, ὁ ἐν νεκροῖς ὢν ἐλεύθερος, ἐλευθερίαν παρέσχες δεσμώταις τοῖς ἐκεῖσε ὑπάρχουσιν.

Ὁ κύριος σαφῶς ἐβασίλευσεν, ἀγαλλιάσθω πᾶσα γῆ, οὐ κυριεύει ὁ θάνατος, οὐ βασιλεύει ὁ ᾅδης· οὓς εἶχε γὰρ δεσμίους ἐξέμεσεν.

Γυναῖκες μετὰ μύρων θεόφρονες τί ἐν τῷ τάφῳ ὡς θνητὸν, Χριστὸν ζητεῖτε; ἐγήγερται τὸ τοῦ θανάτου δυσῶδες ἐνθάψας, καὶ πιστοὺς εὐωδίασε.

Χριστὸν τὸν προελθόντα ἐκ μήτρας σου, καὶ παρθενίας μηδαμῶς σφραγῖδας λύσαντα ἄχραντε, καὶ ἀναστάντα ἐν δόξῃ δυσώπει εἰρηνεῦσαι τὰ σύμπαντα.

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ὄρυξαν τὰς χεῖράς σου σῶτερ καὶ πόδας σου οἱ θεοκτόνοι ἐπὶ σταυροῦ· σε φθόνῳ ἀναρτήσαντες, καὶ χολὴν καὶ ὄξος ποτίσαντες μακρόθυμε.

Ἡ ζωὴ ἐν μνήματι πῶς κατατίθεται; πνοὴν ὁ πᾶσι βροτοῖς παρέχων ἄπνους πῶς γνωρίζεται; τοῖς νεκροῖς ἐμπνέων ζωὴν καὶ ἀπολύτρωσιν;

Πάσχα τὸ μακάριον δι' οὗ ἀνήλθομεν ἐκ γῆς κευθμόνων, πάσχα δουλείας δι' οὗ ἐλυτρώθημεν, καὶ ἐπαγγελίας πρὸς γῆν διεβεβάσθημεν.

Digitized by Google

Χαίρετε ἀπειρόγαμε καὶ παντευλόγητε κατάρας λύσις, δι' ἧς ὁ κόσμος ἀνέζη τοῦ πτώματος, καὶ τοῦ ζωοδότου δοξάζει τὴν ἀνάστασιν.

Μαινομένην κλύδωνι.

Σταυρωθεὶς ἀνέωξας κεκλεισμένον τῇ παρακοῇ Ἰησοῦ Χριστέ μου τὸν παράδεισον, καὶ ἀναστὰς πάντας πιζοὺς συνανέζησας.

Ἔθεντο ἐν λάκκῳ σε κατωτάτῳ ἄφωνον νεκρὸν, τὸν νεκροῖς ἐμπνέοντα ἀνάστασιν ζωοδότα, καὶ τοὺς ἐν ᾅδῃ ζωώσαντα.

Γυναιξὶν ἐβόησε θρηνωδούσαις ἄγγελος ποτὲ· ὁ Χριζὸς ἐγήγερται, πορεύθητε, ἀποστόλοις τούτου τὴν ἔγερσιν εἴπατε.

Χαῖρέ σοι προσφθέγγεται ὡς αἰτίᾳ οὔσῃ τῆς χαρᾶς, ἀναζὰς παρθένε ἐκ τοῦ μνήματος ὁ δεσπότης, ὃν ὑπὲρ πάντων ἱκέτευε.

Ὁ ὑπερυψούμενος τῶν πατέρων κύριος.

Ὁ ἀπερινόητος σάρκα ἐνδυσάμενος σταυρὸν κατεδέξατο, καὶ θάνατον ὤλεσε θανάτῳ τοὺς θανόντας βουληθεὶς ἀθανατίσαι.

Πάσχα ἡ πανήγυρις πάντες ἑορτάσωμεν, Χριζὸς ἐκ τοῦ μνήματος ἠγέρθη τριήμερος, φωτίζων τοὺς βοῶντας ὁ θεὸς εὐλογητὸς εἶ.

Γύναι τί τοῖς θάκρυσι πικρῶς νῦν συγκέχυσαι, Χριζὸς ἀπεφθέγγετο πλησίον τοῦ μνήματος τῇ κόρῃ μελῳδούσῃ ὁ θεὸς εὐλογητὸς εἶ.

Μόνη πρὸ τῶν ἄλλων σε γυναικῶν τεθέαται, Χριζὲ ἐκ τοῦ μνήματος ὡραίως ἀστράψαντα, ἡ μόνη παναγία ἐπακούσασα τὸ χαῖρε.

Σοὶ τῷ παντουργῷ.

Σὲ τὸν παντουργὸν ἀναρτηθέντα ξύλῳ χολὴν οἱ παράνομοι ἐχθροὶ ἐπότιζον μίλι ἐκ πέτρας θηλάσαντες δειψῶντες πάλαι ἐν ἐρήμῳ τῇ σῇ Χριστὲ προστάξει.

Νέκρωσιν Χριστὲ ἐπὶ σταυροῦ ὑπέστης, τεθεὶς δὲ ἐν μνήματι νεκρὸς τριήμερος πάντας ἐγείρεις νεκροὺς τοὺς ἀπ' αἰῶνος, ἀνυμνολογοῦντας τὴν σὴν φιλανθρωπίαν.

Δεῦτε μυζικῶς ἀλαλαγμῷ ἐνθέῳ τὰς χεῖρας κροτήσωμεν, καὶ μελῳδήσωμεν, πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε.

Digitized by Google

Χαίρεις ἐκ νεκρῶν τὸν κτίστην κατιδοῦσα ἀγνὴ ἐγειρόμενον, καὶ πᾶσι νέμοντα χάριν ζωήν τε, καὶ τὴν ἐλευθερίαν τοῖς ὁμολογοῦσιν αὐτὸν θεὸν τῶν ὅλων.

Ἡσαΐα χόρευε.

Ὁ Χριστὸς ἐγήγερται καταλύσας κράτος τοῦ ἐχθροῦ, εὐφραίνεσθε οὐρανοὶ χόρευε ἡ γῆ, οὐκέτι ὁ θάνατος βασιλεύει, οὓς γὰρ πονηρῷ κράτει ἐδίσμευσεν, ἀφῃρέθη θείῳ νεύματι.

Γυναικῶν κατάλογος μυροφόρων τάφον τῆς ζωῆς προέφθασεν ἐν σπουδῇ μύρα ἐμφανῶς κομίζον μυρίσαι σε, τὸν τῶν μύρων θεῖον μυρισμόν· ἐξαναστάντα δὲ κατιδών σε ἐμεγάλυνε.

Δεκτὴ ἣν ἐποίησεν ὁ δεσπότης κύριος ἐστὶν, ἡμέρα περιφανὴς καὶ περικαλλὴς, ἐν ταύτῃ χορεύσωμεν· ἐκβοῶντες δέσποτα Χριστὲ σῶσον τοὺς δούλους σου, τοὺς ἐν πίστει προσκυνοῦντας σε.

Παρθενίας κάλλεσιν ὡραιώθης ἄχραντε ἀγνὴ, τεκοῦσα τὸν ποιητὴν πάντων καὶ θεὸν, τὸν ᾅδην σκυλεύσαντα καὶ τοῖς νεκροῖς νέμοντα ζωὴν, οὗ τὴν ἀνάστασιν θεοφρόνως ἑορτάζομεν.

Τμηθείσῃ τμᾶται.

Μωϋσῆς ἐτύπου πάλαι σου Χριστὲ τὴν θείαν σταύρωσιν τὸν ὄφιν ἀνυψῶν· καὶ γὰρ σταυρωθεὶς ἀνέωξας ἡμῖν σῶτερ τοῦ παραδείσου πύλας· τεθεὶς δὲ ὥσπερ νεκρὸς ἐν τῷ μνήματι νεκροὺς συνανέστησας, καὶ ᾅδην ἐγύμνωσας.

Χριστὸς ἀνέστη ᾄσωμεν λαοὶ καὶ μεγαλύνωμεν τὸ ὄνομα αὐτοῦ, καὶ χορεύσωμεν, καὶ ψάλωμεν αὐτῷ πιστῶς ὡς νικητῇ τοῦ ᾅδου· καὶ βοήσωμεν λαμπρῶς, ἐξεγήγερται ὁ κύριος, ἅπαντες φαιδρῶς ἑορτάσωμεν.

Ἀγαλλιάσθω ἅπασα ἡ γῆ, Χριστὸς ἐγήγερται ζωώσας τοὺς νεκρούς· μυροφόροις τε τὸ χαίρετε βοᾷ αὐταῖς ἐμφανισθεὶς τὸ πρῶτον, ἅπειτε παρεγγυῶν νῦν τοῖς φίλοις μου τὴν θείαν μου ἔγερσιν σπουδαίως κηρύξατε.

Χαῖρε χωρίον τοῦ δημιουργοῦ, χαῖρε παράδεισε κυρίου λογικὲ, χαῖρε οὐρανὲ καὶ θρόνε καὶ σκηνὴ ἐν ᾗ ποθητὸς σκηνώσας, τὸ τοῦ ᾅδου ἀμειδὲς ἀγνὴ σκήνωμα, σκυλεύσας ἀνέστησεν ἐκεῖ τοὺς καθεύδοντας.

Digitized by Google

Κύριος ὢν πάντων καὶ κτίστης θεός.

Σταύρωσιν ὑπέστης θελήσει Χριστὲ καὶ ὀνείδη, ὅπως ἡμῶν πάντων ἄρῃς τὸ ὄνειδος καὶ κατῆλθες ἐν τάφῳ ὡς θνητοὺς ἀνιςῶν καταφθαρέντας· δόξα τῇ παντοδυνάμῳ σου ἐξουσίᾳ πολυέλεε.

Νῦν ἐβασίλευσεν ὁ κύριος, τὸ πικρὸν τοῦ τυραννοῦντος κράτος καταβαλὼν κραταιῶς, καὶ τοῦ ᾅδου βασίλεια σαφῶς σκυλεύσας, καὶ δεσμίους ἐξάξας ἀπὸ τοῦ αἰῶνος κράζοντας δόξα δέσποτα τῷ κράτει σου.

Αὕτη καθὼς βοᾷ Δαβὶδ ἐν ψαλμοῖς ἀληθῶς ἡ φωταυγὴς ἡμέρα τοῦ πάσχα πέφυκεν, ἣν ὁ πάντων ἐποίησε θεὸς· χορεύσωμεν ἐν ἀγαλλιάσει σὺν ταῖς οὐρανίαις τάξεσι, καὶ Χριςὸν δοξολογήσωμεν.

Δέσποινα τῶν πάντων ὑπάρχουσα ὡς τεκοῦσα τοῦ παντὸς τὸν κτίστην θεοχαρίτωτε, ὁπηνίκα ἑώρακας αὐτὸν ἐκ τάφου ἐγερθέντα ἐωλήσθης θείας χαρμονῆς δοξάζουσα τὴν αὐτοῦ μεγαλειότητα.

Προκατιδὼν ὁ προφήτης.

Λαμπροφορείσθω ἡ κτίσις, κύριος ἐκ νεκρῶν ἐξεγήγερται, καὶ πᾶσαν συνεξήγειρε κτίσιν ἑαυτῷ, κενώσας γαστέρα καὶ ταμιεῖα ᾅδου καὶ θανάτου σθένει θείῳ, ὃν ἐν πίστει καὶ πόθῳ δοξάσωμεν.

Ὦ ἱερώτατον πάσχα παντὸς τοῦ κόσμου καθάρσιον, λόγε θεοῦ καὶ δύναμις, δίδου καθαρῶς μετέχειν σου ἡμᾶς τοὺς εἰλικρινεῖ σε γνώμῃ εὐσεβῶς δοξάζοντας ἀεὶ ἐκ νεκρῶν ἀναστάντα τριήμερον.

Μύρα σὺν θάκρυσι πάλαι γυναῖκες θεῖαι κομίζουσαι, καθημένον τῷ μνήματι εἶδον προφανῶς ἀσώματον βοῶντα ἄγγελον ταύταις, παύσασθε πικρῶς δακρύουσαι· καὶ γὰρ ὁ Χριστὸς καὶ θεὸς ἐξεγήγερται.

Πεῖραν παρθένε μὴ γνοῦσα ἀνδρὸς τὸν κύριον τέτοκας, παρθένος μετὰ κύησιν μείνασα φρικτῶς· διό σε ἀληθῶς καὶ κυρίως πάντες θεοτόκον ἄφθορον ἀεὶ οἱ πιστοὶ ὁμοφρόνως δοξάζωμεν.

Digitized by Google

Τῷ συνδέσμῳ τῆς ἀγάπης.

Τῷ ταυρῷ σου τὴν εἰρήνην παρασχόμενος πᾶσι κύριε· κατα-βέβηκας εἰς ᾅδου, καὶ τὸ φῶς τοῖς ἐκεῖσε ἐλαμπρυνας πεπεδη-μένοις, καὶ συνεξήγειρας τούτους τῇ ἐγέρσει σου τῇ τριημέρῳ.

Ἐχθρὸς ὁ διαπλάσας τὸν ἄνθρωπον πάλαι δέσποτα, εἰς θα-νάτου χοῦν κατῆλθες, καὶ δεσμῶν ἀλύτων ἐξήρπασας τοὺς ἀπ' αἰῶνος νεκροὺς δοξάζοντας σοῦ τὸ κράτος ὕψισε καὶ δυναστείαν.

Ἐξ Αἰγύπτου οἱ τῆς πλάνης λυτρωθέντες τὸ πάσχα σήμερον τὸ φαιδρότατον ἐν πίστει ἐπιτελέσωμεν, καὶ δοξάσωμεν τὸν ἀνά-στάντα Χριστὸν τριήμερον, καὶ φωταγωγήσαντα τὴν οἰκουμένην.

Τὸ ἁλατόμητον ὄρος, τὴν λυχνίαν καὶ θείαν τράπεζαν, τὴν κιβωτὸν τὴν ἁγίαν, τὴν τοῦ μάννα σάμνον τὴν πάγχρυσον, τοῦ βασιλέως τὸν ὑψηλότατον θρόνον ἀνυμνοῦμέν σε θεοκύητορ.

Ἄβυσσος ἰσχάτη ἁμαρτημάτων.

Πάλαι σου τὸ πάθος προδιετύπου σαφῶς Ἰσαὰκ· ὡς ἀρνίον γὰρ ἐθελουσίως θεὶ τῶν ὅλων ἐτύθης, εἰς κόσμου παντελῆ ἀπο-λύτρωσιν.

Τέτρωται ὁ ᾅδης πλευρὰν τρωθέντος σου δέσποτα, καὶ ἀπέ-λυσε τοὺς πρὶν δεσμώτας, μετὰ ψυχῆς κατιδών σε ἐν τοῖς κατα-χθονίοις γενόμενον.

Μύρα σοι γυναίων ὡς τεθνηκότι κομίζει χορὸς· ἀλλὰ βλέ-ψας σε ἐγηγερμένον τοῖς ἱεροῖς ἀποστόλοις συνέχαιρε δοξάζων σε κύριε.

Ἅγιον ἁγίων ὑπεραγία τεκοῦσα θεὸν, τοῦτον θνήξαντα ἐθε-λουσίως καὶ ἐκ νεκρῶν ἀναστάντα ἰδοῦσα, εὐφροσύνης πεπλήρωσαι.

Οἱ παῖδες ἐν Βαβυλῶνι.

Ὅτε σε ἥλιος εἶδε ταυρῷ κρεμάμενον ἥλιε, ἐσκοτίσθη, καὶ γῆ ἐσαλεύθη, καὶ πέτραι ἐσχίσθησαν, καὶ οἱ νεκροὶ ἀνέστησαν ἐκ τῶν τάφων ὑμνοῦντές σε.

Προσομιλῶν τοῖς ἐν ᾅδῃ μετὰ ψυχῆς ὁ θεὸς ἡμῶν, συνεγεῖ-ρεις νεκροὺς τῇ ἐγέρσει τῇ φρικτῇ σου κραγάζοντας, εὐλογη-τὸς εἶ κύριε ὁ θεός.

Τὰς ἀρετὰς ὡς χιτῶνας ἀμφιασθῶμεν ἀστράπτοντες τῇ ἡμέ-

ρᾳ πιστοὶ τῇ τοῦ πάσχα, καὶ λαμπρῶς ἐκβοήσωμεν, εὐλογητὸς εἶ κύριε ὁ θεός.

Τὸν νικητὴν τοῦ θανάτου καὶ σὸν υἱὸν καὶ θεὸν ἡμῶν κατιδοῦσα ἀγνὴ ἐγερθέντα ἐκ τοῦ τάφου ἐκραύγαζε, εὐλογητὸς εἶ κύριε ὁ θεός.

Νόμων πατρῴων οἱ μακαρισθέντες.

Σταυροῦσαι θέλων ὑπεράγαθε, καὶ ἐν καινῷ μνημείῳ ἅπνους κατάκεισαι, καὶ νεκροῖς ἐμπνέεις δέσποτα ζωὴν, ζωὴ ὑπάρχων, καὶ συνεγείρεις κόσμον ἑαυτῷ ἐξεγερθείς, ἀνυμνοῦντα τὸ κράτος σου καὶ φόβῳ μελῳδοῦντα, τὸν κύριον ὑμνεῖτε τὰ ἔργα.

Ἐν κατωτάτῳ λάκκῳ κύριε σοῦ καταβάντος πᾶσα φύσις ἀνήνεκται τῶν ἀνθρώπων, καὶ λελύτρωται καθείρξεως ζοφώδους ὑμνολογοῦσα σοῦ τὴν εὐσπλαγχνίαν τὴν πολλὴν, καὶ τὴν ἄπειρον δύναμιν, καὶ φόβῳ μελῳδοῦσα τὸν κύριον ὑμνεῖτε.

Πάσχα τὸ θεῖον καὶ σεβάσμιον, πάσχα σωτηριῶδες, πάσχα μακάριον ἑορτάσωμεν γηθόμενοι· καὶ ὕμνον εὐχαρίστως τῷ ζωοδότῃ καὶ καινοποιῷ ἡμῶν θεῷ, ἐπινίκιον ᾄσωμεν συμφώνως μελῳδοῦντες τὸν κύριον ὑμνεῖτε.

Χαῖρε πεσόντων ἐπανόρθωσις, χαῖρε κατάρας λύσις θεοχαρίτωτε, χαῖρε πύλη ἀδιώδευτε, χαῖρε φωτὸς νεφέλη, χαῖρε τεκοῦσα κόσμῳ τὴν σωτήριον χαράν, χαῖρε γῆ ἀγεώργητε, χαῖρε βοώντων σκέπη, τὸν κύριον ὑμνεῖτε.

Ξενίας θεσποτικῆς καὶ ἀθανάτου.

Κατέῤῥαξας τὸν ἐχθρὸν ὑψούμενος ἐπὶ ξύλου, κατῆλθες ἐν τῷ ᾅδῃ καὶ πάντας τοὺς ἐκεῖ δεσμῶτας ὄντας ἐξήγειρας, ἰσχὺν ἀπονεκρώσας λόγε τοῦ θανάτου, καὶ κράτος τῇ ἐξουσίᾳ σου.

Σὺ ἀναστὰς τὴν Σιὼν ᾠκτείρησας ζωοδότα, σὺν μαθηταῖς ἡμέραις ἐν πλείοσιν ὀφθείς· καὶ τούτοις συναυλιζόμενος κηρύττειν σε θεὸν εἰς τὰ ἔθνη ἐνετείλω, καὶ πάντων σωτῆρα κύριον.

Ὦ πάσχα ᾶσι πιστοῖς παρεκτικὸν θυμηδίας· ὦ θεοῦ πατρὸς λόγε δι' οὗ ἐκ τῆς φθορᾶς ἡμεῖς πάντες ἐλυτρώθημεν οἱ σὲ δοξολογοῦντες πόθῳ, κοινωνοὺς ἡμᾶς δεῖξον τῆς βασιλείας σου.

Παρθένος ἐν γυναιξὶ θεὸν τεκοῦσα ἐφάνης, ὃν ἔπτηξεν ὁ ᾅδης

Digitized by Google

καὶ θάνατος ἀγνὴ τοῦ τὸν ἀεὶ καθικέτευε· παντοίων κακῶν καὶ κινδύνων, λυτρωθῆναι τοὺς πίστει σὲ μεγαλύνοντας.

Νεύσει σου πρὸς γεώδη.

Ξύλῳ τὴν διὰ ξύλου ἐξαφανίσας κακίαν, τοὺς ξύλῳ τεθνηξαντας θανάτῳ σου ἐζώωσας, πάσχα ἄμωμον καὶ θεῖον λόγε τοῦ θεοῦ Ἰησοῦ παντοδύναμε.

Δεῦτε ἐν εὐφροσύνῃ περιχορεύσωμεν πάντες, Χριστὸς ἐξεγήγερται, τὸ ζωφερὸν βασίλειον ὄντως τοῦ ᾅδου κενώσας καὶ τοῖς τεθνεῶσι πηγάσας ἀνάστασιν.

Ὄρθριαι πρὸς τὸ μνῆμα αἱ μυροφόροι ἐλθοῦσαι, ἀγγέλους τεθέαται λαμπρότητι ἀστράπτοντας· ὅθεν φόβῳ συσχεθεῖσαι τὴν τοῦ λυτρωτοῦ ἐδιδάσκοντο ἔγερσιν.

Χαῖρε εὐλογημένη θεοχαρίτωτε, μόνη ἀγγέλων εὐπρέπεια, ἀνθρώπων ἡ βοήθεια, χαίροις ἡ τὰς τοῦ θανάτου πύλας τῇ κυήσει τῇ σῇ ἀποκλείσασα.

Ὁ κατ' ἀρχὰς τοὺς οὐρανούς.

Ὁ διατείνας οὐρανοὺς, ἐθελουσίως παλάμας ἐπὶ ξύλου ἔτεινας σῶτερ· τεθεὶς δὲ νεκρὸς ἐν τάφῳ θέσποτα, ἐζωοποίησας νεκροὺς, καὶ τῇ σεπτῇ σου ἐγέρσει πάντας τοὺς βροτοὺς συνεξανέστησας.

Ὡς καθαρώτατος ἀμνὸς ἐθελουσίως ἐσφάγης, ἑκουσίως τὸν παρακοῇ ἐχθροῦ συμβουλῇ ἀθλίως θνήξαντα ἀνακαλούμενος Χριστὲ, καὶ παραδείσου πολίτην θείοις οἰκτιρμοῖς ἀπεργαζόμενος.

Αὕτη ἡμέρα ἑορτῆς καὶ πανηγύρεως ἔστιν ἐν ᾗ πᾶσα κτίσις εὐσεβῶς χορεύει χαρᾷ, καὶ χαίρει πνεύματι καὶ ἑορτάζει καὶ βοᾷ· ὁ ἐκ νεκρῶν ἀνατείλας, πάσχα τὸ σεπτὸν, κύριε δόξα σοι.

Σὲ παναγία οἱ πιστοὶ χαρμονικῶς ἀνυμνοῦμεν τὸν τῶν ὅλων τέξασαν θεὸν, τὸν πᾶσι χαρὰν ἐκ τάφου λάμψαντα, καὶ ἀφθαρσίαν καὶ ζωὴν, καὶ καθελόντα τὸ κράτος καὶ τὴν δυναστείαν τοῦ ἀλάστορος.

Ὁ πατρικοὺς κόλπους μὴ λιπών.

Ἀναρτηθεὶς ξύλῳ τοῦ σαυροῦ ἐθελουσίως Ἰησοῦ φιλάνθρωπε, τὰς ἀρχὰς παραδειγμάτισας πάσας τοῦ ἀλάστορος, καὶ ζωὴν τῷ κόσμῳ ἐπήγασας.

Digitized by Google

Πύλας χαλκᾶς ᾅδου καθελὼν, καὶ τοῦ θανάτου τὰ δεσμὰ συντρίψας Χριστὲ, τοὺς δεσμίους ἠλευθέρωσας πάντας τῇ δυνάμει σου, καὶ ἀνέστης λόγε τριήμερος.

Λευχημονοῦντες ταῖς ἀρεταῖς τὴν λαμπροφόρον ἑορτὴν χορεύσωμεν, πάσχα μέγα καὶ σωτήριον, πάσχα ἡ ἀνάκλησις καὶ ζωὴ τοῦ κόσμου καὶ λύτρωσις.

Ἡ τοῦ θεοῦ ἄσπιλος ἀμνὰς ὃν ἐσωμάτωσας ἀμνὸν καὶ κύριον, ἐκ νεκρῶν ὁρῶσα σήμερον κόσμῳ ἀνατείλαντα, χαρμονῆς πληροῦσαι πανάμωμε.

Κύριε ὁ θεός μου ἐκ νυκτὸς ὄρθρος.

Κύριε ὁ θεός μου ὁ σαυρῷ ᾅδην αἰχμαλωτεύσας, ὑμνῷ σου τὴν σαύρωσιν, τιμῷ τὴν ἀνάςασιν, δι' ἧς τῆς φθορᾶς ἐλυτρώθην, καὶ τὴν ἀφθαρσίαν ἐπλούτησα.

Κύριε ὁ θεός μου ὁ νεκρὸς τριήμερος χρηματίσας, παθῶν με νεκρώσεως Χριστὲ ἐλευθέρωσον, καὶ τὴν νεκρωθεῖσαν ψυχήν μου τῇ σῇ ἀγαθότητι ζώωσον.

Κύριε ὁ θεός μου ὁ τὰς μυροφόρους χαρᾶς ἐμπλήσας φανείς, καὶ τὸ χαίρετε ταύταις προσφθεγξάμενος, θυμηδίας ἔμπλησον θείας τὴν κεκακωμένην καρδίαν μου.

Κύριε ὁ θεός μου ὁ τὰς κλεῖς μὴ λύσας τῆς παρθενίας τῆς ἀπειρογάμως σε τεκούσης θεόπαιδος, ταῖς αὐτῆς ἁγίαις πρεσβείαις λῦσον τὰ δεσμὰ τῶν πταισμάτων μου.

Ναυτιῶντα σάλῳ τῶν βιωτικῶν.

Προετύπου πάλαι, σῶτερ, Ἰωνᾶς τὴν ταφήν σου, τοῦ κήτους τριήμερος τὴν γαστέρα ἀδιαφθόρως οἰκήσας, δοξάζων σε λάκκῳ κατωτάτῳ· προσκλεισθεὶς γὰρ λόγε ἐξανέστης ἐκ νεκρῶν τριήμερος.

Χορευέτω πᾶσα κλίσις τῇ τοῦ πάσχα ἡμέρᾳ, ἐν ταύτῃ ἀνέστης γὰρ ἐκ τοῦ τάφου ὁ παντοδύναμος λύσας τὸν θάνατον, καὶ τοῖς ἀπ' αἰῶνος κοιμηθεῖσιν θείαν ἀπολύτρωσιν Χριστὲ δεδώρησαι.

Μυροφόροι κόραι ὄρθρου πρὸς τὸ μνῆμα σπουδαίως ἀφίκοντο, βλέψαι ἐπιζητοῦσαι τὸν ζωοδότην· κατεῖδον δὲ ἄγγελον ταύταις ἐκβοῶντα, ἐξανέστη ὁ δημιουργὸς, λοιπὸν μὴ κλαίετε.

Digitized by Google

Ὁ τεχθεὶς ἀσπόρως, κόρη, ἐξ ἀφθόρου σου μήτρας, τεθεὶς ἐν τῷ ῥνήματι ἑκουσίως· διαφθορὰν οὐ τεθέαται ἅχραντε· τοὺς καταφθέντας δὲ ζωώσας, θεία δυναστείᾳ ἑαυτῷ συνήγειρεν.

Κάμινον παῖδες πυρίφλεκτον.

Σὲ παρανόμων ἑβραίων ὁ δῆμος τὸν νομοδότην ἐσταύρωσεν, ἀμνημονήσας τῶν σῶν θαυμασίων, Χριστὲ, ὁ ὑπερυψούμενος τῶν πατέρων θεός.

Ἀγαλλομένη ψυχῇ τῇ τοῦ πάσχα περιχορεύσωμεν σήμερον ἑορτασίμῳ ἡμέρᾳ, καὶ κράξωμεν ὁ ὑπερυψούμενος.

Ὁλβιος τάφος ὁ σὲ πλουτοδότα σωματικῶς εἰσδεξάμενος, τὸν τριημέρῳ ἐγέρσει πλουτήσαντα ἡμᾶς τοὺς πτωχεύσαντας, καὶ ἀθλίως λόγε ἐθανήξαντας.

Σὲ μακαρίζει ὁ κόσμος παρθένε λόγον μακάριον τέξασαν, τὸν μακαρίους βροτοὺς ἐργασάμενον αὐτῷ πειθαρχήσαντας, θεομήτορ κόρη πανάμωμε.

Ἄφλεκτος πυρὶ ἐν Σινᾷ προσμιλῶν.

Πέτραι τὴν πέτραν τῆς ζωῆς ὅτε κατεῖδον πέτρας ἀρθεῖσαν ὑπερθεν ἐν τῷ κρανίῳ διερράγησαν, καὶ ἥλιος τὰς αὐγὰς ἐναποκρύψας σκοτασμὸν βοῶν ἐνδέδυται· πάντα τὰ ἔργα κυρίου τὸν κύριον ὑμνεῖτε.

Ὥσπερ νυμφίον ἐκ παστοῦ σε προελθόντα, ἐκ τάφου ὡραιότατον τῶν ἀποστόλων δῆμος ἔβλεψε, καὶ πάσχα ταῖς πατριαῖς συνεορτάζων τῶν ἐθνῶν βοᾷ δαήγγελλε· πάντα τὰ ἔργα κυρίου τὸν κύριον ὑμνεῖτε.

Τί μετὰ μύρων ὡς θνητὸν τὸν ζωοδότην ζητεῖτε; ἐξεγήγερται ᾅδου κενώσας τὰ βασίλεια, ἐβόα ταῖς γυναιξὶν ἀπὸ τοῦ τάφου μελῳδῶν ἄγιος ἄγγελος.

Τῶν μυροφόρων ὁ χορὸς, θεοκυήτορ, τῇ τοῦ υἱοῦ σου σήμερον ἐξαναστάσει συγχορεύει σοι, καὶ πᾶσα ἡ νοητὴ καὶ ὁρωμένη ἀληθῶς κτίσις κραυγάζουσα.

Μὴ τῆς φθορᾶς διαπείρας κυοφορίαν.

Εὐαγγελίζου ἡ κτίσις Χριστοῦ τὴν ἔγερσιν, ὅσος ὁρώμενος κόσμος τε καὶ ἀόρατος· χεῖρας κροτήσατε καὶ κράξατε συμφω-

Digitized by Google

νως, ὁ κύριος ἀνίστη κενώσας τοῦ θανάτου τὰ ταμεῖα καὶ τὰ βασίλεια.

Αὕτη ἐστὶν ἡ ἡμέρα τῆς ἀναςάσεως· ἣν περ ἐποίησε μόνος ὁ παντοδύναμος· ταύτῃ χορεύσωμεν, ὁρῶντες τῶν ἀνθρώπων τὴν ἐκπτωτον οὐσίαν ἀπαθανατισθεῖσαν, καὶ τὸ πρῶτον κάλλος φορέσασαν.

Ὁ ἀναςὰς ἐκ τοῦ τάφου, λόγε, τριήμερος τὴν νεκρωθεῖσαν ψυχήν μου τοῖς πληγμελήμασιν ἔγειρον ζώωσον κατέυθυνον πρὸς τρίβους τῶν θείων ἐντολῶν σου, ὅπως σου καταχρέως μεγαλύνω τὴν ἀγαθότητα.

Ἐν τῇ τοῦ πάσχα ἡμέρᾳ φαιδρῶς χορεύσωμεν, καὶ τῇ παρθένῳ τὸ χαῖρε λαμπρῶς βοήσωμεν· αὕτη γὰρ πρόξενος ἡμῖν τῆς σωτηρίας καὶ τῆς ἀθανασίας ἐγένετο τῆς θείας τὸν τῶν ὅλων θεὸν κυήσασα.

Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

Τῷ ταυρῷ σου λύσας τὴν ἀρὰν ἐτέθης ἐν μνημείῳ, καὶ ᾅδου τὸ ζοφερώτατον Χριςὲ ὡς δυνατὸς καθεῖλες βασίλειον, καὶ ἀνέςης πᾶσαν τὴν κτίσιν σαυτῷ συναναστήσας· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἀναβάντος σου ἐν τῷ ταυρῷ ὁ ἥλιος ἐσβέσθη· εἰς ᾅδου δὲ καταβάντος σου φῶς ἔλαμψε ψυχαῖς, ἐν σκότει φιλάνθρωπε ὑπαρχούσαις ποιμαινομέναις ὑπὸ πικροῦ θανάτου· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Δεδεμένον λῦσόν με Χριστὲ σειραῖς ἁμαρτημάτων, καὶ λαμψόν μοι μετανοίας θείαν ἔλλαμψιν, σώτερ ὁ σκότους ῥυσάμενος τοὺς ἀνθρώπους τοῦ αἰωνίου τῇ σῇ Χριστὲ ἐγέρσει, ἣν ὑμνολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἐν ἀγκάλαις φέρουσα Χριστὸν ἐκ σοῦ σωματωθέντα, παρθένε, αὐτὸν δυσώπει ἐγκαλίσασθαι κἀμὲ, νῦν περιπλανώμενον ἀνοδίαις πάσαις τοῦ βίου, καὶ πταίσμασι μυρίοις συναντῶντα γνώμῃ, ῥᾳθύμῳ καθ' ἑκάστην.

Τύπος τῆς ἁγνῆς λοχείας σου.

Ἴδεν ἥλιος ταυρούμενον μέσον λῃςῶν σε, λόγε, ἥλιε ἄδυτε,

Digitized by Google

καὶ ἐσκότασεν· ὄρη βουνοί τε καὶ θάλασσα· ἐκλονήθησαν· ᾅδης ἐτρόμαζεν, δεσμίους ἀπολύσας οὓς περ κατεῖχεν ἀνυμνοῦντάς σε.

Ὤφθης ὥσπερ μέγας ἥλιος ὑπὸ τὴν γῆν μὲν δύνας, ἐξανατείλας δὲ ἄδυτος, σῶτερ, ἐκ τῶν νεκρῶν καὶ κατηύγασας· ἀκατακαύστως μεγαλύνομεν.

Σῶτερ Ἰησοῦ ὁ θάνατον τῷ σῷ θανάτῳ λύσας, ἐξαναστήσας δὲ πάντας τοὺς ἐκεῖ κατεχομένους, ἀνάστησον κατωτάτου με λάκκου, κραυγάζω σοι, παθῶν θανατηφόρων καὶ ἁμαρτίας ἐκλυτρούμενος.

Ἦλθον μυροφόροι κλαίουσαι ἐπὶ τὸ μνῆμα ὄρθρου, καὶ μὴ εὑροῦσαί σε, ἴδον ἐν λευκοῖς προσκαθεζόμενον ἄγγελον, καὶ βοῶντα ἠγέρθη ὁ κύριος, σπεύσατε ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ τὴν ἔγερσιν.

Φρίττει πᾶσα κτίσις, δέσποινα, τὸ ὑπὲρ νοῦν μυστήριον τῆς λοχείας σου· τίκτεις γὰρ θεὸν Ἐμμανουήλ, χρηματίσαντα δι' ἡμᾶς παναμώμητε ἄνθρωπον, τὸν λύσαντα θανάτου τὴν δυναστείαν τῷ σταυρῷ αὐτοῦ.

Ὃν φρίττουσιν ἄγγελοι.

Θρηνεῖ πᾶσα κτίσις σου τὸ πάθος ἀγαθὲ, ὁ ἥλιος σβέννυται σοῦ θύναντος σταυρῷ, καὶ οἱ ἐν τῷ σκότει καθειργμένοι ποτὲ μέγα φῶς ὁρῶσιν ὑμνοῦντες σε οἰκτίρμον.

Ἐτρόμαζεν ᾅδης σε ἰδὼν μετὰ ψυχῆς πρὸς τοῦτον γενόμενον Χριστὲ παμβασιλεῦ, καὶ τοὺς ἀπ' αἰῶνος ἀπεδίδου νεκροὺς ἀνυμνολογοῦντας τὴν σὴν φιλανθρωπίαν.

Ὡράθης τοῦ μνήματος Χριστὲ ἐξαναστὰς φερούσαις ἀρώματα ταῖς θείαις γυναιξὶ· καὶ τούτων τὸν θρῆνον μετεποίησας, παράκλησις πάντων ὑπάρχων εἰς αἰῶνας.

Ἰδοῦσα ὸν ἔτεκες θεὸν ἐκ τῶν νεκρῶν, χαρᾶς ὤφθης ἔμπλεος παρθένε Μαριὰμ· αὐτὸν οὖν δυσώπει, πᾶσαν λύπην, ἁγνὴ, τῆς ἡμῶν καρδίας τελείως ἀπαλείψαι.

Τὴν φωτοφόρον.

Ὡς κατεῖδεν ἐν ξύλῳ ἑκουσίως τεθέντα, ὁ εὐγνωμότατος λῃστὴς μνήσθητί μου ἐβόα, ἡνίκα ἔλθῃς Ἰησοῦ ἐκ τῆ βασιλείᾳ

σου, καὶ γέγονε παραδείσου οἰκήτωρ πίστει μόνῃ ἀληθεῖ δικαιωθείς.

Σὲ κατιδὼν ἐνεκρώθη ἐν τοῖς νεκροῖς, σῶτερ, ᾅδης· καὶ ἀπέδίδου τοὺς νεκροὺς οὓς κατέκτεινε πάλαι, δοξολογοῦντάς σου Χριστὲ τὴν ἄῤῥητον δύναμιν, τὸ ἔλεος, τὴν πολλὴν εὐσπλαγχνίαν· δι' ἧς σῶσον καὶ ἡμᾶς παμβασιλεῦ.

Ἦλθον κομίζουσαι μύρα ἐπὶ τὸ μνῆμα γυναῖκες, καὶ κατιδοῦσαι σε Χριστὲ ἐκ νεκρῶν ἐγερθέντα, χαρᾶς ἐπλήσθησαν πολλῆς, καὶ ἀποστόλοις σου ἀπήγγειλαν ὡς ἠγέρθης ἐκ τάφου, συνεγείρας κόσμον ὅλον ἑαυτῷ.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος.

Θάνατον ἐθελουσίως κατεδέξω ἀνυφούμενος σαρκὶ ἐν ξύλῳ, καὶ ὁρῶν σε ἥλιος ἀπεσβέσθη, καὶ τοῦ ναοῦ ἡ φαιδρότης διερράγη, παντοδύναμε· διό σε ὑμνοῦμεν, ἀναμέλποντες εὐλογεῖτω ἡ κτίσις.

Ἔβλεψαν οἱ ἐν σκιᾷ πάλαι θανάτου καθεζόμενοι ἄδυτον φίγγος, ἐν αὐτοῖς σου κύριε καταβάντος μετὰ ψυχῆς· καὶ δεσμῶν τῶν αἰωνίων ἀπελύθησαν, μεγάλως ὑμνοῦντές σε, καὶ λέγοντες εὐλογεῖτω ἡ κτίσις.

Ὄρθριαι πρὸς τὸ μνημεῖον ἀπελθοῦσαι ἐξαῤῥάπτοντα ἄγγελον εἶδον αἱ γυναῖκες, λέγοντα ἐξανίστη ὁ λυτρωτὴς· τί τὸν ζῶντα ἐν νεκροῖς ἔτι λογίζεσθε ἐ πληθεῖσαι χαρᾶς ἀναβοήσατε εὐλογεῖτω ἡ κτίσις.

Νέκρωσιν, ἀγνὴ, ὁ σὸς τοῦ ᾅδου ἐργασάμενος υἱὸς, παρθένε, ἐκ νεκρῶν ἐγήγερται· ὃν δυσώπει φθοροποιοῦ ἁμαρτίας λυτρωθῆναι καὶ κολάσεως πάντας τοὺς ἐν πίστει ἀναμέλποντας εὐλογείτω ἡ κτίσις.

Μυστήριον ξένον ὁρῶ καὶ παράδοξον.

Ἰώμενος τοῦ πρωτοπλάστου τὸ ἄλγημα ἥλγησας κρεμάμενος, σῶτερ, ἐθελουσίως ἐν ξύλῳ, τεθεὶς δὲ ἐν τάφῳ ἐκών, τοὺς ὑπνοῦντας συνανέστησας σαυτῷ, ἀνυμνοῦντας τὴν φρικτὴν οἰκονομίαν σε.

Ὡς ἔβλεψε πάλαι χορὸς ἀποστόλων σε ἀναστάντα κύριε, φόβῳ τε καὶ χαρᾷ προσεκύνει· πρὸς οὓς ἀνεβόας, ἰδοὺ αἱ ἐκβάσεις τῶν ῥημάτων μου· μὴ οὖν σκυθρωπάζετε ὑμεῖς, ἀλλ' ἀπαγάλλεσθε.

Digitized by Google

Σινδόνι σε σῶτερ εἱλίσας κατέθετο Ἰωσὴφ ὁ δίκαιος πόθῳ ἐν καινοτάτῳ μνημείῳ· πύλας δὲ τοῦ ᾅδου σαφῶς καὶ μοχλοὺς συντρίψας ἤγειρας νεκρούς, οὓς ὁ θάνατος ἰσχύσας πρὶν κατέπιεν.

Ἠγάλλοντο αἱ μυροφόροι ἀκούσασαι τοῦ Χριστοῦ τὴν ἔγερσιν, ὅθεν τοῖς ἀποστόλοις ἐβόων, δραμέτε σπουδαίως, ἰδοὺ μὴ λυπεῖσθε, ἀλλὰ χαίρετε ὑμεῖς· ἐξηγέρθη ἐκ νεκρῶν ὁ πάντων κύριος.

Φαιδρότατον ὅλον ἐν κάλλει ἀσύγκριτον, ὡς νυμφίον βλέψασα κόρη ἐκ τῆς τοῦ τάφου παστάδος Χριστὸν ἀναστάντα, χαρᾶς ἐπληρώθης· ὃν ἱκέτευε φθορᾶς καὶ κολάσεως ῥυσθῆναι τοὺς ὑμνοῦντάς σε.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα.

Δόξα τῷ Χριστῷ τὸν ἐχθρὸν καθελόντι, καὶ σκυλεύσαντι ᾅδην τῇ πρὸς αὐτὸν καταβάσει, καὶ ζωώσαντι τοὺς βροτοὺς οὓς περ ἰσχύσας κατέπιεν ἀνυμνολογοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἴδε γυναιξὶ μυροφόροις ἐβόα ὁ φανεὶς ἐξαῤῥάπτων τόπος, ἐνῷ κατετέθη ὁ τὸν θάνατον, καὶ τὸν ᾅδην καθελὼν τῇ δυνάμει αὐτοῦ· μὴ οὖν ἐν νεκροῖς τὴν ζωὴν ἐπιζητεῖτε.

Ἅδης συναντήσας σοι κάτωθεν λόγε ἐπικράνθη μὴ σθένων σοὶ προσεγγίσαι, καὶ τάχος οὓς κατέπιεν ἀπεδίδου νεκροὺς τῇ κελεύσει σου, ἀνυμνολογοῦντας τὸ σὸν συμφώνως κράτος.

Ἴδες ἐκ νεκρῶν ἀναστάντα παρθένε ὃν σαρκὶ ἀπορῥήτως ἐκυοφόρησας λόγον, καὶ χαρᾶς τὴν ψυχὴν ἐπληρώθης, τὴν αὐτοῦ συγκατάβασιν ἀνυμνολογοῦσα εἰς πάντας τοὺς αἰῶνας.

Φωτίζου φωτίζου.

Ὡρῶν ἡμερῶν τε δημιουργὸς ὢν λυτρωτὰ ἐν ἡμέρᾳ καὶ ὥρᾳ ἕκτῃ ἐπονείδιστον θέλων ὑπέστης οἰκτίρμον σταυρὸν, ἵνα ἡμᾶς πάντας ἐκλυτρώσῃς, καὶ καταλλάξῃς Χριστὲ τῷ πατρί.

Στενάζων ὁ ᾅδης καθυπαντᾷ σοι λυτρωτᾶ, καὶ σὺν τάχει δεσμῶτας οὓς εἶχεν ἀπέστειλεν, θείαις φωναῖς ἀνυμνοῦντάς σου τὴν ὑπὲρ νοῦν λόγε δυνασθείαν καὶ φοβερὰν συγκατάβασιν.

Ἦλθον μετὰ μύρων ὄρθρου βαθέος ἐν σπουδῇ τοῦ μυρίσαι σου σῶμα γυναῖκες τὸ ἄχραντον, καὶ πρὸς αὐτὰς ἔφη ἄγγελος, ὁ ἀρχηγὸς τῆς ζωῆς ἠγέρθη, χαρᾶς ἐνθέου πληρώθητε.

Digitized by Google

Φῶς τὸ ἐπιλάμψαν τοῖς καθημένοις ἐν σκιᾷ τοῦ θανάτου παρθένε ἐκ νεκρῶν ὡς ἔβλεψας ἐξανατείλαν ὡς ἥλιον σὺν γυναιξὶ πάσαις μυροφόροις ἐδοξολόγεις χορεύουσα.

Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλεν.

Δῆμος ἑβραίων σε τὸν μακρόθυμον λόγε ἐσταύρωσε, δῆμον ἄπειρον καὶ ἔθνη ἅπαντα τῇ σῇ σταυρώσει σώζοντα φιλάνθρωπε Χριστὲ ὁ θεὸς ἡμῶν.

Οὐ παρεσάλευσας λίθου σήμαντρα τῇ ἀναςάσει σου, ὡς οὐκ ἤνοιξας ἐν τῇ γεννήσει σου τῆς παρθενίας κλεῖθρα τῆς τεκούσης σε Χριστὲ ὁ θεὸς ἡμῶν.

Ξένῳ τῷ σχήματι θεασάμεναι θείως ἁςράπτοντα τὸν ἀσώματον γυναῖκες ἐκθαμβοι γεγενημέναι ἤκουον μὴ κλαίετε, ἀνίστη ὁ κύριος.

Ἅγιον κύριον τῶν δυνάμεων ἄχραντε τέτοκας, τὸν κενώσαντα ᾅδου βασίλεια θεογεννήτορ, καὶ συναναστήσαντα ἀνθρώπου τὸ φύραμα.

Τὸν τοὺς ὑμνολόγους ἐν καμίνῳ.

Τὸν ἐθελουσίως ςαυρωθέντα καὶ ταφέντα ἐν τάφῳ, καὶ καταργήσαντα τοῦ θανάτου τὸ κράτος Χριστὸν τὸν θεόν.

Ὤφθης γυναιξὶν ἐγηγερμένος ἐκ τοῦ μνήματος, σῶτερ, εὐαγγελίστριας ἀποςείλας αὐτὰς ἀποστόλοις σου· διό σε ἀνυμνολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θάνατον Χριςὲ τῷ σῷ θανάτῳ θανατώσας ἀνέςης, καὶ ἀθανάτου σου τοὺς θανόντας ζωῆς κατηξίωσας· διό σε ἀνυμνολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἔφης μαθηταῖς ἐγηγερμένος, εἰς τὸν σύμπαντα κόσμον κηρῦξαι σπεύσατε τὴν ἐμὴν δυναστείαν, ἐξαίροντες τὸ σκότος τῆς πολυθείας φωτὶ τῆς ἀληθείας.

Ὡς τῶν οὐρανῶν ὑψηλοτέρα, καὶ χερουβὶμ ὑπερτέρα τιμιωτέρα τε παναγία παρθένε τῆς κτίσεως, δυσώπει ὑπὲρ τῶν ἐν πίστει ἀεί σε δοξαζόντων.

Τὴν ζωοδόχον πηγὴν τὴν ἄϊναον.

Ἀγαλλιάσθω ἡ γῆ πᾶσα σήμερον, καὶ εὐφροσύνην νεφέλαι ρα-

Digitized by Google

νάτωσαν· ὁ τῆς δόξης κύριος ταυρωθεὶς ἐγήγερται, φθορᾶς θανάτῳ ἡμᾶς ἐλευθερώσας, καὶ ἀφθαρσίᾳ λαμπρύνας ὡς εὔσπλαγχνος.

Μύρα ποτὲ κομιζούσαις σὺν δάκρυσι ταῖς ἱεραῖς γυναιξὶν ἀκεφθίγγετο ὁ ἀσράπτων ἄγγελος φαιδρῶς, ἐν τῷ μνήματι μετὰ νεκρῶν τὴν ζωὴν τί ἐκ ζητεῖτε; ἰδοὺ ἀνέστη φωτίσας τὰ σύμπαντα.

Ἡ φωταυγὴς τοῦ θεοῦ ἡμῶν ἔγερσις ὑπὲρ ἡλίου αὐγὰς καταλάμπουσα, τοὺς πιστοὺς ἐν πνεύματι εἰς αἰῶνας ἅπαντας φωταγωγεῖ, ὁδηγεῖ πρὸς σωτηρίαν, ἣν καθαρῷ λογισμῷ ἑορτάσωμεν.

Νενεκρωμένους ἡμᾶς παραπτώμασιν ἡ τὸν ζωὴν τὴν αἰώνιον τέξασα, θεοτόκε ζώωσον, καὶ ποιεῖν εὐόδωσον τὰ πρὸς ζωὴν ἀληθῶς καθοδηγοῦντα, ὅπως πιστῶς σε ἀεὶ μεγαλύνωμεν.

Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Τὸν ὑψωθέντα ἐν σταυρῷ καὶ ταφέντα ἐν σαρκὶ ἐθελουσίως, καὶ συντρίψαντα πύλας τὰς σ.θηρὰς καὶ μοχλοὺς τοῦ ᾅδου, δοξάσωμεν κύριον τὸν ἐξαναστάντα τριήμερον ἐκ τάφου.

Ἀγαλλιάσθω οὐρανὸς εὐφραινέσθω καὶ ἡ γῆ σὺν τοῖς ἀνθρώποις· ὁ Χριστὸς ἐξανέστη, καὶ τοῖς αὐτοῦ μαθηταῖς ἐφάνη οἷς συναλιζόμενος, τούτων εὐφροσύνης ἐπλήρου τὰς καρδίας.

Δακρυροούσαις γυναιξὶ τὴν χαρὰν ὁ ζωοδότης ἐπεφώνει ἀφαμέναις τῶν τούτου ἱερωτάτων ποδῶν, ὧν πάλαι τὸν κρότον πεφόβηται ἡ προμήτωρ Εὔα ἔνδον τοῦ παραδείσου.

Ἱερωτάταις σε φωναῖς τὴν μητέρα τοῦ θεοῦ δοξολογοῦμεν, ὡς τῶν ἄνω ταγμάτων ἁγιωτέραν σαφῶς, καὶ θείαν γέφυραν μετάγουσαν πρὸς ὑπερκοσμίους βροτοὺς χοροστασίας.

Τὸν ἐκ θεοῦ θεὸν λόγον.

Ὦ τῆς ἑβραίων ἀνοίας, πῶς ἐν ξύλῳ ἀδίκως θανεῖν καταδικάζουσι Χριστὸν δίκαιον μόνον ὑπάρχοντα, καὶ νεκροῖς τοῖς ἐν ᾅδῃ ἐμπνέοντα ζωὴν θεαρχικῶς; οὗ τὴν θείαν λιμῶντες ὑμνοῦμεν ἐξανάστασιν.

Σφραγίδων ἐπικειμένων ἐξανίστης τοῦ τάφου, ἡ πάντων ἐξανάστασις Χριστὲ, καὶ μαθηταῖς πεφανέρωσαι, τὰ ἀπόῤῥητα τούτους διδάσκων, καὶ πορεύεσθε βοῶν εἰς τὸν σύμπαντα κόσμον κηρύττοντες τὴν δοξαν μου.

Digitized by Google

Ἡ τῆς ἐγέρσεως αὕτη πανσεπτὸς ἡμέρα παράκλησις ὑπάρχουσα ψυχῶν, καὶ εὐφροσύνη χαρμόσυνος, τοὺς πιστοὺς συγκαλεῖται ἐνθέως ἑορτάζειν καὶ βοᾷν, ὁ πατὴρ ὁ υἱός τε καὶ θεῖον πνεῦμα δόξα σοι.

Φωτοκυήτορ παρθένε τῷ φωτί σου τῷ θείῳ καταύγασον ἡμῶν τοὺς λογισμοὺς καὶ τὰς καρδίας πρεσβείαις σου· τῶν παθῶν τὴν ὁμίχλην σκεδάζουσα, καὶ πάντας κοινωνοὺς ἀνεσπέρου ἡμέρας ἐργαζόμενη χάριτι.

Προσέχετε λαός μου τὸν νόμον.

Χειρί σου ὁ ποιήσας τὸν ἄνθρωπον, τὰς χεῖρας προσήλωσαι παντοδύναμε ἐπὶ τοῦ ξύλου, τῆς τοῦ ἐχθροῦ χειρὸς ἡμᾶς ἐκλυτρούμενος.

Ῥαπίσας τὸ τοῦ ᾅδου ἀφώτιστον Χριστὲ δεσμωτήριον, οὓς ἐκέκτητο εἵλιες δεσμῶτας, καὶ σεαυτῷ ὡς δυνατὸς ἐξανέστησας.

Ἰδόντες σε Χριστὲ προσεκύνησαν ἐκ τάφου τριήμερον οἱ ἀπόστολοι ἐγηγερμένον, καὶ πανταχοῦ τὴν σὴν ἐκήρυξαν ἔγερσιν.

Στενάζουσαι καὶ δάκρυα ῥαίνουσαι τὸν τάφον τὸν ἅγιον κατελάμβανον θεῖαι γυναῖκες, καὶ ἐδιδάσκοντο Χριστοῦ τὴν ἀνάστασιν.

Τὸν πάντων συνοχέα συνδήσαντες πανάμωμε δέσποινα, τὸν συντρίψαντα ᾅδου τὰς πύλας, καὶ ἀναστάντα καθὼς εἶπεν τριήμερον.

Τὸν ἐν τῇ βάτῳ Μωϋσῆ.

Ἐν τῷ σταυρῷ ὑψωθεὶς συνανύψωσας κόσμον, καὶ τεθεὶς ἐν μνημείῳ τοὺς ἐν μνήμασι, σῶτερ, ὑπνοῦντας ἐξεγείρεις, τὴν σὴν δοξολογοῦντας μεγάλην εὐσπλαγχνίαν.

Σὺ κατελθὼν ἐν νεκροῖς ἀπεγείκρωσας ᾅδην, καὶ συνέτριψας πύλας τοῦ θανάτου καὶ μοχλοὺς, καὶ τοὺς πεπεδημένους ἐξάγεις ἐν ἀνδρείᾳ ἡ πάντων σωτηρία.

Ὤφθης τοῖς σοῖς μαθηταῖς ἐν πολλοῖς τεκμηρίοις, ἐφ' ἡμέρας οἰκτίρμον τεσσαράκοντα, αὐτοῖς πιστούμενος, κηρύξαι εἰς ἅπαντα τὸν κόσμον θεὸν ἐγηγερμένον.

Σὺ εἶ ἡ πάντων ζωὴ, σὺ νεκρῶν καὶ τῶν ζώντων ἡ παράκλησις λόγε καὶ χαρὰ καὶ φωτισμὸς ὁ λάμψας ἐκ παρθένου, καὶ ἀναστὰς ἐκ τάφου εἰς πάντων σωτηρίαν.

Digitized by Google

Τῶν γεγενῶν τίς ἤκουσε τοιοῦτον.

Ὁ σταυρωθεὶς τριήμερος ἀνέστης καθὼς προεῖπες ἐκ νεκρῶν, συναναστήσας τὸν κόσμον τῇ ἀναστάσει σου· καὶ γυναιξὶ μυροφόροις πρώταις ἐφάνης φθεγξάμενος τὸ χαῖρε, πάντων χαρὰ τῶν ἐκ ψυχῆς σε ποθούντων πολυέλεε.

Νῦν ἡ φθορὰ ἠφάνισται· Χριστὸς γὰρ ἡ ἀφθαρσία καὶ ζωὴ ἐκ τῶν νεκρῶν ἐξηγέρθη, καὶ συναλίζεται τοῖς ἑαυτοῦ ἀποστόλοις, διδάσκων τούτους τὰ κρείττονα καὶ θεῖα, καὶ προσφωνῶν ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθε.

Μύρα ποτὲ σὺν δάκρυσι φερούσαις ἄγγελος ἔφη γυναιξί, μετὰ νεκρῶν τί ζητεῖτε τὸν ζῶντα; σήμερον καθὼς προεῖπεν ἠγέρθη, οὐκ ἔστιν ὧδε, κενώσας τὰ μνημεῖα, καὶ τοῖς νεκροῖς ἀθανασίαν ἐμπνεύσας ὡς φιλάνθρωπος.

Ἐκ τῶν νεκρῶν ἰδοῦσα θεοτόκε τὸν σὸν υἱόν τε καὶ θεόν, ἐγηγερμένον, ἐπλήσθης χαρᾶς, ὑπάρχουσα πάντων αἰτία χαρᾶς τε καὶ εὐφροσύνης· διό σε χαρμοσύνως πᾶσα ψυχὴ ὑμνολογεῖ καὶ δοξάζει ἀειπαρθένε.

Ἐξήνθησεν ἡ ἔρημος ὡσεὶ κρῖνον κύριε.

Ἡ κτίσις θεωροῦσά σε ἐπὶ ξύλου πάσχοντα ἐθελουσίως δέσποτα, ἠλλοιώθη καὶ ἐκυμαίνετο, καὶ νεκροὶ ἐκ τῶν τάφων ἐξανίσταντο.

Γενόμενον ἐν ᾅδῃ σε ζωοδότα κύριε μετὰ ψυχῆς ὡς ἔβλεψεν ὁ καμφάγος θάνατος ἔπτηξεν, ἀπολύων δεσμῶτας οὓς κατέπιεν.

Ἐπλήσθη πᾶσα κτίσις χαρᾶς οἰκτίρμον κύριε ἐν νεκρῶν ἐγέρσει σου· ἐν γὰρ ταύτῃ κόσμον συνήγειρας, καθελὼν τοῦ θανάτου τὰ βασίλεια.

Ῥομφαία τὴν ψυχήν σου ἀγνὴ διῆλθεν ἄχραντε, ὅτε Χριστὸν σταυρούμενον ἐθεάσω· χαρᾶς ἐπλήσθης δὲ ἐγερθέντα ἐκ τάφου τοῦτον βλέψασα.

Κάμινος ποτὲ πυρὸς ἐν Βαβυλῶνι.

Θνήσκεις ἐν ζωῇ ζωὴ ὑπάρχων πάντων, καὶ ὡς νεκρὸς ἄπνους ἐν μνήματι ἐτέθης μακρόθυμε· καὶ τριήμερος ἐγήγερσαι εἰς κόσμου ἐξανάστασιν· ὅθεν ἐν εὐφροσύνῃ δοξολογοῦμέν σου τὸ κράτος.

Digitized by Google

Ἤκουσε Σιὼν τὴν ἔγερσιν κυρίου, καὶ εὐφροσύνης νῦν πεπλήρωται· θυγατέρες ταύτης δὲ προφανῶς ἠγαλλιάσαντο, καὶ μαθηταῖς ἐκήρυττον λέγουσαι, μὴ λυπεῖσθε, ὁ ζωοδότης ἐγήγερται.

Ὄρθριαι σπουδῇ γενόμεναι γυναῖκες ἐπὶ τὸν τάφον παρεγένοντο, καὶ ἔνδον προκύψασαι, ἐν λευκοῖς ἔβλεψαν ἄγγελον· καὶ φόβῳ συνεχόμεναι ἤκουον μὴ φοβεῖσθε, ὄντως ἀνέστη ὁ κύριος.

Σὲ τὴν φωτεινὴν νεφέλην τοῦ ἡλίου τοῦ νοητοῦ, θεοχαρίτωτε, ὑμνοῦντες δοξάζομεν· τὰς καρδίας ἡμῶν φώτισον, τὸν σκοτασμὸν διώκουσα πάντα τῆς ῥᾳθυμίας καὶ τῶν παθῶν θεονύμφευτε.

Ἀνάρχου γεννήτορος.

Ὡς εἶδέ σε ἥλιος δικαιοσύνης ἥλιε ἐν σαυρῷ ὑπλωμένον, τὸ φῶς συνέσεισε, πέτραι δὲ ἐρρήγνυντο φόβῳ, ᾅδης νεκροὺς τάχος ἀπεδίδου ὑμνοῦντας τὸ κράτος σου, ζωοδότα παντοδύναμε.

Τοῦ ᾅδου τὴν ἄπληστον γαστέρα ὁ ὑπέρθεος παραδόξως κενώσας ὡς παντοδύναμος, ᾗδη ἐξανέστη ἐν δόξῃ, καὶ μαθηταῖς θείοις καθωράθη· αὐτὸν προσκυνήσωμεν σὺν πατρὶ καὶ θείῳ πνεύματι.

Ἠγέρθη ὁ κύριος, ταῖς μυροφόροις ἔφησεν ὁ φανεὶς ἐν τῷ τάφῳ ἅγιος ἄγγελος, ἄπειτε, καὶ εἴπετε τοῦτο τοῖς μαθηταῖς ἐν τῇ Γαλιλαίᾳ πενθοῦσι καὶ κλαίουσι, τοῦ αὐτὸν ἐκεῖ θεάσασθαι.

Ῥυσθῆναι πανάμωμε ἐκ πειρασμῶν, καὶ θλίψεων, καὶ παθῶν καταιγίδος, καὶ ἀμαυρώσεως, καὶ τῶν πολυπλόκων παγίδων τοῦ πονηροῦ, δυσώπει ἀπαύστως Χριστὸν τὸν θεὸν ἡμῶν, τῶν ἀεί σε μακαριζόντων.

Ὑμνῶ σε, ἀκοὴν γὰρ κύριε.

Ἀνῆλθες ἐν σταυρῷ κύριε δυνασείαν δωζωσμένος, καὶ κατελθὼν εὐσπλαγχνε μετὰ ψυχῆς μέχρι τοῦ ᾅδου, ψυχὰς αἰωνίων δεσμῶν ἔλυσας, καὶ σεαυτῷ οἰκτίρμον συνανέστησας.

Συντρίψας τοὺς μοχλοὺς κύριε, καὶ τὰς πύλας φρικτῶς τοῦ ᾅδου ἰσχύϊ σου δέσποτα, ἐκένωσας αὐτοῦ τὸν κλοῦτον· διὰ τὴν πολλήν σου συγκατάβασιν, καὶ τὴν σεπτὴν ἀνάστασιν δοξάζομεν.

Μυρίσαι τὸ σεπτόν σῶμά σου ἐν τῷ τάφῳ ἦλθον γυναῖκες· εὑροῦσαι δὲ ἄγγελον καθήμενον ἐπὶ τοῦ τάφου Χριστὲ, θειλιάσαι καταπλάγησαν· μεθ' ὧν ὑμνολογοῦμέν σου τὴν ἔγερσιν.

Digitized by Google

Ἁγίων ὑπὲρ νοῦν τὸν ἅγιον ἀπεκύησας Θεοτόκε, ἁγιασμὸν λύτρωσιν καὶ ἄφεσιν ἁμαρτημάτων πιστοῖς μεσιτείᾳ σου παρέχοντα τοῖς τὴν αὐτοῦ δοξάζουσιν ἀνάστασιν.

Τῷ δόγματι τῷ τυραννικῷ.

Ἀνύψωσας φύσιν τῶν βροτῶν Χριστὲ τῇ ἐν σταυρῷ σου ἀνυψώσει, καὶ τὸν ἐξ ὕψους πεσόντα ἐχθρὸν εἰς χάος ἀπέῤῥιψας, καὶ ταφεὶς ἐξηγέρθης σκυλεύσας τὸν θάνατον.

Συνέτριψας ᾅδου τοὺς μοχλοὺς, καὶ τοὺς πεπεδημένους ἐν ἀνδρείᾳ, Χριστὲ, δεσμῶσας ἐγείρεις, τὴν σὴν δοξάζοντας δύναμιν, καὶ τὴν ἐκ τοῦ μνημείου τριήμερον ἔγερσιν.

Ὡς ἔβλεψε πάλαι σε χορὸς ἁγίων ἀποστόλων ἐκ τοῦ τάφου ἐγηγερμένον ἐν δόξῃ Χριστὲ θυμηδίας ἔμπλεος γεγονὼς, εὐλογεῖτε ἐβόα τὸν κύριον.

Τὸ πένθος σοι ἄχραντε ἀγνὴ ἐτράπη εἰς χαρὰν, ἡνίκα εἶδες τὸν σὸν υἱὸν καὶ δεσπότην Χριστὸν ἐν νεκρῶν τριήμερον ἀναστάντα ἐν δόξῃ, καὶ κόσμον φωτίσαντα.

Ἡ τὸν πρὸ ἡλίου.

Ὤφθης μέσον δύο ληστῶν ἐσταυρωμένος ὡλυλίλεε· κατατεθεὶς ἐν λάκκῳ κατωτάτῳ δὲ τοὺς ἐν σκότει καὶ ἐν σκιᾷ θανάτου ἐξανέστησας, ὑμνολογοῦντας εὐσπλαγχνε τὴν σὴν τριήμερον ἀνάστασιν.

Θάνατος ἀνθρώπων οὐκ ἔτι κυριεύει, καθὼς γέγραπται, ἀφ' οὗ Χριστὸς ἀνέστη ὁ ἀθάνατος, τὰ τοῦ ᾅδου ἀποκενώσας ἅπαντα βασίλεια· ἀγαλλιάσθω ἅπασα ἡ οἰκουμένη ἑορτάζουσα.

Ἔφη μυροφόροις ὁ ἄγγελος ἀστράπτων πρὸ τοῦ μνήματος, τὸν ἐν νεκροῖς ἐλεύθερον τί κλαίετε ἐκζητοῦσαι; καθὼς προεῖπεν ἤδη ἐξεγήγερται, ἅπειτε ἔνθεν χαίρουσαι, καὶ ἀποστόλοις ἀπαγγείλατε.

Ὤφθης πλατυτέρα παρθένε οὐρανῶν θεὸν χωρήσασα, τὸν ὑπὸ σοῦ τεχθέντα ἀγαθότητι, καὶ θανάτῳ ἀθανασίαν πᾶσι δωρησάμενον· ὃν εὐσεβῶς δοξάζοντες, σὲ καλαχρίως μακαρίζομεν.

Ἰνδάλματος χρυσοῦ.

Θεὸς ὢν ἀγαθὸς κατῆξίωσας καὶ ἄνθρωπος χρηματίσαι, καὶ

Digitized by Google

σταυρωθῆναι ἐπὶ ξύλου ἐθελουσίως, εἰς σωτηρίαν τῶν ἀναβοώντων πάντοτε, ἡ οὐσιωθεῖσα ὑμνείτω τὸν κύριον πᾶσα κτίσις.

Ἐν λάκκῳ Ἰωσὴφ κατωτάτῳ σε κατέθετο ἐκείλισας ἐν ὀθονίοις τε καὶ σμύρνῃ καὶ ἐν ἀλόῃ· ἀλλ' ἐξανίστης σώζων τοὺς πιστῶς κραυγάζοντας, ἡ οὐσιωθεῖσα κ. τ. λ.

Ὡράθης μαθηταῖς παντοδύναμε ἐκ τάφου ἐγηγερμένος, καὶ τούτοις ἔφης, πορεύεσθε εἰς τὸν κόσμον, κηρύξατέ μου τὴν οἰκονομίαν κράζοντες ἡ οὐσιωθεῖσα.

Ἁγίασον ἡμῶν παναγία διανύμφευτε τὰς καρδίας, ἡ κατειδοῦσα τὸν παντάγιον θεὸν λόγον ἐγηγερμένον, καὶ ἐν εὐφροσύνῃ κράζουσα ἡ οὐσιωθεῖσα.

Ἀπορεῖ πᾶσα γλῶσσα.

Μόνον ἐπάγη σῶτερ ἐπὶ γῆς ὁ σταυρός σου, τὸ τοῦ θανάτου ὅλον φίκτηριον ἐκ βάθρων ἐσαλεύθη· οἱ δὲ ἐν σκιᾷ καθήμενοι τῇ τοῦ θανάτου, δεσμοῖς ὄντως ἐλύθησαν πάντες, δόξα ἀναβοῶντες τῷ κράτει τῆς συναστείας σου.

Ἡ γῆ ἐσείσθη, πέτραι διερράγησαν φόβῳ, βουνοὶ καὶ ὄρη πάντα ἐσαλεύθησαν, καὶ ἥλιος ἐσβέσθη βλέψας ἐν σαυρῷ κρεμάμενον, μοχλοὶ καὶ πύλαι αἱ σιδηραῖ τοῦ ᾅδου ἐλάσθησαν Χριστὲ, ὅτε τῇ ἐκ νεκρῶν σου ἐγέρσει κόσμον συνήγειρας.

Νεκρόν σε βλέψας πάλαι ἐν σαυρῷ ὁ εὐσχήμων, Ἀριμαθίας δέσποτα καθεῖλεν ἐκ τοῦ ξύλου, καὶ σινδόνι ἅτε καθαρᾷ ἐκείλισε καὶ ἐν μνημείῳ καινῷ πολλῷ σὺν φόβῳ ἀπέθετο σπουδῇ· σὺ δὲ καθὼς προεῖπας ἀνέστης λόγε τριήμερος.

Νομίμων δίκα τίτοκας ἀῤῥήτως τὸν λόγον, ὃν ὑπ' ἀνόμων δέσποινα πανάμωμε βουλήσει σταυρωθέντα, καὶ κατατεθέντα μνήματι καὶ ἐγερθέντα ἐκ τῶν νεκρῶν ὡς εἶδες, ἐπλήσθης χαρμονῆς· τοῦτον ὑπὲρ ἡμῶν δυσωποῦσα τῶν ἀνυμνούντων σε.

Τεμνομένην θάλασσαν ῥάβδῳ πάλαι

Ἀναβὰς εἰς ὕψος αἰχμαλωσίαν τὴν ἐν τῷ ᾅδῃ τάλαι συνεχομένην, ὡς κραταιὸς ἔλαβες σῶτερ καὶ συναγίζησας ἑαυτῷ, τριήμερος ἐκ τοῦ τάφου ἐξαναστὰς φιλάνθρωπε ὡς παντοδύναμος.

Νεκρωθέντα πάλαι σε καὶ τεθέντα ἐν τῷ καινῷ μνημείῳ ἰδὼν

Digitized by Google

ὁ ᾅδης, ὅλος νεκρὸς ἔμεινε σώτερ καὶ ἀνενέργητος· οἱ νεκροὶ δὲ πάντες τῇ σῇ ἐγέρσει τῇ ζωηφόρῳ χαίροντες δεσμῶν ἐλύθησαν.

Ἐν νεκροῖς τὸν ζῶντα τί ἐκζητεῖτε, ταῖς μυροφόροις ἔφησε πρὸς τὸ μνῆμα φωτοειδὴς ἄγγελος ποτὲ ἐπιφαινόμενος· ἀπελθοῦσαι τάχος τοῖς ἀποστόλοις καταμηνύσαι σπεύσατε τὴν τούτου ἔγερσιν.

Βαβυλωνία κάμινος.

Τὸν σταυρωθέντα κύριον πάλαι θεασάμενος, ἥλιος ἀπέκρυψε τὸ φῶς καὶ αἱ πέτραι ἐσχίσθησαν, τὰ ὄρη ἐκλονήθη, καὶ γῆ ἐτρόμαζε, καὶ οἱ πάλαι θανόντες δεσμῶν ἀπελύθησαν.

Ἡνίκα σε ἐώρακεν ᾅδης ὁ παγγέλαστος λόγε παντοδύναμε σαφῶς, πρὸς τοῦτον ἀφικόμενον ἐτρόμαζε, καὶ πάντας νεκροὺς ἀπέλυσεν, ὑμνοῦντας τὸ κράτος καὶ τὴν εὐσπλαγχνίαν σου.

Ὁ κύριος ἐγήγερται, πάντες ἀλαλάζωμεν, χεῖράς τε κροτήσωμεν πιστῶς, καὶ χοροὺς συστησάμεθα, τὴν τούτου δυναστείαν ἀνακηρύττοντες καὶ βοῶντες, τὰ ἔργα ὑμνεῖτε τὸν κύριον.

Συνέλαβες πανάμωμε τὸν πάντα συνέχοντα, τοῦτον τε ἐκύησας σαρκὶ σκυλεύσαντα τὸν θάνατον θανάτῳ τριημέρῳ· ὃν ἐσωσώπησον, τῆς ψυχῆς μου τὰ πάθη νεκρώσασα, καὶ σῶσαί με.

Τὴν ἐν βάτῳ καὶ πυρί.

Ὡραιώτατε Χριστὲ πῶς σου ἴδῃ ἐν σταυρῷ τὸ κάλλος τὸ φαεινόν; πῶς ὑφίσταται ἡ γῆ ὁρῶσά σε κρεμάμενον; πῶς τὴν ἄδικον ὑπέμεινες σφαγήν σου; ὑμνοῦμεν τὴν πολλήν σου καὶ ἄφατον κύριε συγκατάβασιν.

Τριημέρῳ σου ταφῇ ἰσκυλεύθη ὁ ἐχθρὸς, ἐκ τῶν τοῦ ᾅδου δεσμῶν ἀπελύθησαν νεκροί, νενίκηται ὁ θάνατος, ἐκενώθη τὰ βασίλεια τοῦ ᾅδου· διό σε ζωοδόται ἐν ὑμνοις δοξάζοντες μεγαλύνομεν.

Ἡ αἰώνιος ζωὴ πῶς ἐγεύσω δι' ἡμᾶς θανάτου θέλων Χριστὲ; πῶς κατῆλθες ἐν νεκροῖς ἡ πάντων ἐξανάστασις, καὶ ἐκίνωσας τοῦ ᾅδου τὰ ταμεῖα; διό σε εὐχαρίστως ὑμνοῦμεν ἀπαύστως καὶ μεγαλύνομεν.

Ῥῦσαι πάλιν καὶ λαὸν καταφεύγοντα εἰς σὲ, θεογεννήτορ ἁγνὴ ὁ

Digitized by Google

κυήσασα Χριστὸν ἐκ πάσης ἐναντίας ὀργῆς καὶ ἀλώσεως ἐθνῶν ἐπιδρομῆς τε, ὅπως σε καταχρέως ἐν ὕμνοις τιμῶμεν καὶ μεγαλύνωμεν.

Ὡς ὄμβρος ἐπ' ἄγρωστιν.

Ψαλμοῖς ἀλαλάξωμεν, κροτήσωμεν τὰς χεῖρας εὐφροσύνως; ἐκ νεκρῶν ὁ ζωοδότης ἐξηγέρθη.

Ἀνῆλθες ζωσάμενος Χριστὲ ἐν τῷ σταυρῷ σου δυναστείαν, καὶ ἀνέστης ἐκ νεκρῶν καθὼς προεῖπας.

Λευχήμων ὁ ἄγγελος ὠράθη γυναιξὶ βοῶν, ἀνέστη ἡ ἀνάστασις πιστῶν καὶ σωτηρία.

Μυρίσαι σε σωτύδουσαι ἀφίκοντο γυναῖκες πρὸς τὸ μνῆμα, ἀναστάντα δὲ ἰδοῦσαι προσεκύνουν.

Ὡς ὄρθρος τὸν ἥλιον προφέρουσα παρθένε ἐν ἀγκάλαις ἐξανέτειλας ἡμῖν τοῖς ἐν τῷ σκότει.

Τὸν ὑπ' ἀγγέλων ἀσιγήτως.

Ἅδμος παράνομος ἑβραίων ἐπὶ ξύλου σε ἐσταύρωσε, τὴν διὰ ξύλου τοῖς βροτοῖς γενομένην βλάβην δίσποτα ἰώμενον ἐνθέως, ὅθεν φωναῖς χαριστηρίοις ἀεί σε ὑμνοῦμεν.

Ἴσος πατρὶ Χριστὲ καὶ πνεύματι πεφυκὼς ζαυρὸν ὑπέμεινας, καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς τὰ βασίλεια ἐκίνωσας τοῦ ἅδου παραδόξως, καὶ ἀναστὰς συνήγειρας ἑαυτῷ πᾶσαν κτίσιν.

Ἅδη παμφάγε ποῦ τὸ κέντρον σου; ποῦ σου θάνατε τὸ νῖκος; τῷ ἀναστάντι ἐκ νεκρῶν τεθανάτωσαι, νενίκρωσαι τῷ μόνῳ ζωοθότῃ· ὃν σὺν πατρὶ καὶ πνεύματι οἱ πιστοὶ προσκυνοῦμεν.

Ἵνα θεώσῃ τὸ ἀνθρώπινον, ὁ θεὸς ἄνθρωπος γέγονεν ἐκ σοῦ παναμωμε ἁγνὴ· ὃν ἐκ τάφου ὡραιότατον κατεῖδες προελθόντα ὡς νικητὴν τοῦ ᾅδου, καὶ χαρμονῆς ἐπλήρωσης.

Ἐν σεναὶῳ τῷ ὄρει κατεῖδέ σε.

Ὡς ἀμνὸς πρὸς σφαγὴν ἤχθης δέσποτα ἑκουσίως Ἰησοῦ, οὐκ ἐρίζων οὐ κράζων ὡς γέγραπται· τῷ θανάτῳ σου ἡμᾶς λόγε ἀθανατίζων τοὺς ὑμνολογοῦντάς σου πάθος ἄχραντον, καὶ τὴν ἐκ τοῦ ᾅδου φρικτὴν ἀναβίωσιν.

Συντριβέντας ἡμᾶς ἐκαινούργησας Ἰησοῦ σαμβασιλεῦ τῇ σεπτῇ καὶ φρικτῇ ἀναστάσει σου· μαθηταῖς δὲ ὀραθεὶς τὴν εἰρή-

Digitized by Google

νην σου τούτοις παρέσχου φιλανθρωπίαν· ἣν ἡμῖν δώρησαι τοῖς ὑμνολογοῦσι τὴν σὴν θείαν ἔγερσιν.

Ἡ σεπτὴ μυροφόρων συνάθροισις παρεγένετο σπουδῇ πρὸς τὸ ἅγιον δέσποτα μνῆμά σου, τοῦ μυρίσαι σε Χριστὸν ἐν λευκοῖς δὲ κατεῖδον καθήμενον ἄγγελον, τούταις φθεγγόμενον, τί μετὰ νεκρῶν τὴν ζωὴν βλέπειν θέλετε;

Φωτοδότην ἐκύησας κύριον πύλη οὖσα τοῦ φωτός, ἐκ τάφου ἀστράψαντα βλέψασα ἐπληρώθης χαρμονῆς· ἀλλ' αὐτὸν ἐκδυσώπει πίνθος μοι δωρήσασθαι κόρη χαρμόσυνον πρόξενον, σεμνὴ, τῆς ἐκεῖ παρακλήσεως.

Τὸ κατάσκιον ὄρος ὁ Ἀμβακούμ.

Ἀπορρήτῳ ἑνώσει ὁμοιωθεὶς τοῖς ἀνθρώποις, ὁ μόνος ὑπερούσιος σαυρὸν σαρκὶ ὑπέμεινας, καὶ ἐλογίσθης ἐν τοῖς νεκροῖς, καὶ τριήμερος ἀνέστης ἡ ζωὴ τῶν ἁπάντων.

Ἰησοῦ ὁ θεός μου ὕδωρ ζωῆς χρηματίζων, βαθίζεις κοπιῶν ἐν σαρκὶ, πρὸς τῇ πηγῇ καθίζῃ δὲ, καὶ σαμαρίτιδι γυναικὶ τῆς σοφίας σου τὸ νᾶμα μυστικῶς ἐπιχέεις.

Νοσημάτων ποικίλων τοὺς προσιόντας σοι, λόγε, καθαίρων τῇ προστάξει σου, σταυρὸν ἑκὼν ὑπέμεινας· καὶ ἐν μνημείῳ κατατεθεὶς, ἐξανέστησας τὴν φύσιν τῶν ἀνθρώπων φθαρεῖσαν.

Ἐπὶ σὲ ἡ σοφία παλρὸς ἀνάρχου κατῆλθεν, ὡς υἱὸς ἐπὶ πόκον ἀγνὴ καὶ σαρκωθεῖσα δίχα τροπῆς, ὁδοὺς ζωῆς ἔδειξεν ἡμῖν τοῖς εἰδόσι σε μητέρα μετὰ τόκον παρθένον.

Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν ἑβραίων.

Σὺ ἐν σαυρῷ ὑψωθεὶς τῶν ἀνθρώπων πᾶσαν τὴν φύσιν, συνανύψωσας λόγε, καὶ τεθεὶς ἐν μνήματι τοὺς ἐν τάφοις ὑπνοῦντας ἤγειρας τῇ θείᾳ ἐγέρσει σου οἰκτίρμον.

Ἰσχὺς καὶ Σαλὴμ τὰ πλησίον μετὰ ὑδάτων ἐπιλθὼν πρὸς τὸ φρέαρ Ἰακὼβ ἀφίκετο ἡ πηγὴ τῆς σοφίας, ὕδωρ σωτηρίας σαμαρίτιδι νάμων...

Σὺ ὁ τυφλοὺς ὀμματώσας τῷ λόγῳ, καὶ παραλύτους τῇ προστάξει σου σφίγξας, καὶ νεκρὸς τριήμερος ἀνατείλας ἐκ τάφου, τὴν νενεκρωμένην ἀνάστησον ψυχήν μου.

Digitized by Google

Κόσμε παντὸς σωτηρία παρθένε γεγενημένη, κοσμικῶν με σκανδάλων καὶ παθῶν τοῦ σώματος καὶ τῆς αἰωνιζούσης λύτρωσαι γεέννης, ὅπως ὑμνολογῶ σε.

Σὲ τὴν ἀκατάφλεκτον βάτον.

Ὑψωσας σαλάμας ἐν ξύλῳ τῆς κακῶς ἐκπαθείσης τοῦ προπάτορος χειρὸς πρὸς ξύλου βρῶσιν ἀναστέλλων τὴν βλάβλην Χριστὲ πολυέλεε.

Ῥήματι παράλυτον σφίγξας καὶ χωλοὺς ἀνορθώσας, ἐσταυρώθης Ἰησοῦ καὶ ἐξανίςης, μαθηταῖς ἐν ἡμέραις πολλαῖς ὀπτανόμενος.

Ἴδε σαμαρίτις γυνὴ σε προελθοῦσα ἀντλῆσαι, καὶ τὸ ὕδωρ τῆς ζωῆς ἐκ σοῦ λαβοῦσα, ἐκορέσθη Χριςὲ ὁ θεός ἀνυμνοῦσά σε.

Ὦ τῶν ὑπὲρ νοῦν σου θαυμάτων παναγία παρθένε, σὺ γὰρ τέτοκας θεὸν σεσαρκωμένον, τὸν τῇ θείᾳ ἐγέρσει αὐτοῦ πάντας σώσαντα.

Ὡς εἶδεν Ἡσαΐας.

Δεσμούμενος οἰκτίρμον καὶ ἑκουσίως ξύλῳ προσηλούμενος, τὸν διαβύσσια πάλαι ταῖς παραβάσεσι λυτροῦσαι· τιθεὶς δὲ τάφῳ τοὺς ἐν τάφοις ἀφυπνώσαντας νεκροὺς ἐγείρας ὑμνοῦντας τὴν σὴν φρικτὴν ἀνάστασιν.

Ὁ κύριος ἀνίςη ἐκ τῶν νεκρῶν ὡς ἔφησε τριήμερος, καὶ τοῖς ἀποστόλοις συναλιζόμενος ἐβόα, εἰς πάντα κόσμον ἀπελθόντες διαγγείλατε τρανῶς ἅπερ καθορᾶτε μεγάλα μου θαυμάσια.

Ξενίζεται καρδία καὶ ἀκοὴ, σῶτερ, τὴν εὐσπλαγχνίαν σου καὶ οἰκονομίαν καὶ συγκατάβασιν· σαρκὶ γὰρ ἐν γῇ βαδίζων σαμαρίτιδι αἰτούσῃ γυναικὶ ὕδωρ ζῶν παρίσχες ἐνθέου ἐπιγνώσεως.

Ἁγία θεοτόκε τὸν ἐν ἁγίοις ἅγιον κυήσασα λόγον προανάρχου πατρὸς ἐκλάμψαντα, δυσώπει αὐτὸν ἀπαύστως ἁγιάσαι καὶ φωτίσαι τὰς ἡμῶν ψυχὰς καὶ καρδίας τῶν πίστει ἀνυμνούντων σε.

Ἀστέκτῳ πυρὶ ἐνωθέντες.

Σταυρῷ ὑψωθεὶς ἑκουσίως πᾶσαν συνανύψωσας ἀνθρώπων τὴν οὐσίαν· ἐν νεκροῖς δὲ ζωὴ ὑπάρχων λογισθεὶς ἐζώωσας ὑμνοῦν-

Digitized by Google

τας, σῶτερ, τὴν οἰκονομίαν σου, καὶ τὴν μετὰ δόξης ἀνάστασιν, οἰκτίρμον.

Ὁ κόσμος χαρᾷ ἑορτάζει ἐν τῇ πανηγίᾳ σου ἐγείρει ζωοδότα, ἐν ᾗ πᾶσαν τὴν δυναστείαν ᾅδου κατεπάτησας, καὶ θανάτου κέντρον λόγε ἐναπήμβλυνας, καὶ τὴν ἀφθαρσίαν ἐπήγασας ἀνθρώποις.

Ἰδοῦσα γυνὴ σαμαρίτις πεπωκυῖά σε οἰκτίρμον καὶ ζητοῦντα ὕδωρ πιεῖν ἀθανασίας, κομίζεται νάματα ἐκβοῶσα, δός μοι τὸ ζῶν ὕδωρ κύριε, ὅπως μὴ διψήσω εἰς τὸν αἰῶνα χρόνον.

Οἶκος τοῦ θεοῦ ἐγνωρίσθης πάναγνε παρθένε θεοτόκε, τούτῳ σάρκα ὑπὲρ λόγον ἐμψυχομένην ἐκ τῶν σῶν δανείσασα ἀναχράντων κόρη αἱμάτων πανάμωμε· ὅθεν σε τιμῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἐν νάμῳ σκιὰν καὶ γράμματι.

Θαμβεῖται ὁρῶν ἐν ξύλῳ ταθέντα Χριστέ σε ἥλιος, κλονεῖται τὰ στοιχεῖα, καὶ σαλεύεται πᾶσα ἡ γῆ, καὶ διαῤῥήγνυνται πέτραι, καὶ ᾅδης κάτωθεν τοὺς ἀπ' αἰῶνος δεσμίους ἀπολύει ἀνυμνοῦντάς σε.

Ἐτάθης Χριστὲ ἐν τάφῳ ἡ ζωὴ καὶ ἡ ἀνάστασις, ἀνέστης δὲ ἐν δόξῃ ἐν ἡμέραις ὀλείσοις τοῖς σοῖς συναλιζόμενος φίλοις καὶ τούτους κήρυκας, εἰς πάντα κόσμον ἐκπέμπων τῆς φρικτῆς οἰκονομίας σου.

Ὁδούς μοι ζωῆς δείκνυων Ἰησοῦ ἐν συμπαθείᾳ πολλῇ, βαδίζεις καὶ καθίζῃ πρὸς τὸ φρέαρ δέσποτα Χριστὲ, καὶ γυναικὶ αἰτουμένῃ ἀθανασίας κρουνοὺς ὡροστωπώπωσεις ὑμνούσῃ τὴν πολλήν σου συγκατάβασιν.

Σαρκοῦται ἐκ σοῦ Χριστὸς ὑπὲρ λόγον, λόγος ὑπάρχων πατρὸς ἁγία θεοτόκε, καὶ σταυροῦται θέλων δι' ἡμᾶς, καὶ τριημέρῳ ἐγείρει κόσμου τὰ πέρατα καταφωτίζει· μεθ' οὗ σε καταχρίως μεγαλύνομεν.

Τριστάτας κραταιούς.

Δεσμεύσας τοῦ ἐχθροῦ τὸ ὀλέθριον κράτος, οἷς ὑπέστης δι' ἡμᾶς φιλάνθρωπε δεσμοῖς τῷ σταυρῷ σου εἰρήνευσας κύριε τὰ

Digitized by Google

διεστῶτα, καὶ τῆς ἔχθρας δείλυσας τὸ μεσότοιχον· ἄθεν ὑμνοῦμέν σε.

Ὁ κύριος καθὼς πρὸ τοῦ πάθους προεῖπεν ἐξανέστη, κρατεωῶς σχυλεύσας ὡς θεὸς τὰ τοῦ ᾅδου βασίλεια, ἅπαντάς τε συνεγείρας τοὺς ἐκεῖσε καθεύδοντας, ἀπ' αἰῶνος αὐτὸν μεγαλύνοντας.

Ξενίζοντα μορφῇ καὶ τῷ σχήματι βλέψας μυροφόρων ὁ χορὸς τὸν θεῖον λειτουργὸν παρ' αὐτοῦ ἐδιδάσκετο· ἤδη ὁ Χριςὸς ἀνέστη, ἀπελθοῦσαι κηρύξατε μαθηταῖς ἀθυμοῦσι καὶ κλαίουσιν.

Ἀνέςειλεν ἀγνὴ ὡς νυμφίος ὡραῖος ἐκ νεκρῶν ὁ ἐκ τῶν σῶν λαγόνων σαρκωθεὶς ὑπὲρ νοῦν ἀγαθότητι· ὅθεν σὺν τοῖς ἀποστόλοις κατιδοῦσα ἐδόξαζες τὴν τριήμερον τούτου ἀνάστασιν.

Λυτρωτᾶ τοῦ παντὸς παντοδύναμε.

Τὰς ἀχράντους ἐκθείνας παλάμας σου ἐν ςαυρῷ ἑκουσίως μακρόθυμε, ἐνηγκαλίσω ἅπαντας, καὶ χειρὸς ἐλυτρώσω τοῦ ἀλλοτρίου· διὰ τοῦτο σε φόβῳ δοξάζομεν.

Ὡς ἐτέθης βουλήσει ἐν μνήματι, οἱ καθεύδοντες ἐν μνήμασι τῇ ἐκ νεκρῶν ἐγέρσει σου συνηγέρθησαν· φόβῳ ἀναβοῶντες εὐλογεῖτε τὰ ἔργα τοῦ κύριον.

Θαυμαςὰ καὶ παράδοξα πράγματα, καὶ τυφλοὺς ὀμματοῦντα τῷ ῥήματι, δῆμος ἑβραίων βλέψας σε κατακρίνει θανάτῳ ζωὴν τῶν ὅλων χρηματίζοντα, εὐσπλαγχνε κύριε.

Ἐν ἡμέραις Χριστὲ τεσσαράκοντα τοῖς σεωτοῖς καὶ σοφοῖς ἀποστόλοις σου σαφῶς συναλιζόμενος, ἐπιστώσω τὴν θείαν οἰκονομίαν, δι' ἧς ἔσωσας κόσμον ὑμνοῦντά σε.

Ὡς φρικτός σου ὁ τόκος πανάμωμε, δι' οὗ πάντες φρικτοῦ κατακρίματος λελυτρωμένοι κράζομεν, χαῖρε πάντων ἡ σωτηρία, χαῖρε κόσμου παντὸς ἡ ἀνάκλησις.

Εὖα μὲν τῷ τῆς παρακοῆς νοσήματι.

Ἡπλώθης θελήσει ἐν ςαυρῷ, καὶ ἥλιος θεωρῶν σε ὑπεράγαθε, φόβῳ συνέτειλεν ἀκτῖνας· ἐσείσθησαν τῆς γῆς τὰ θεμέλια, καὶ πέτραι διεσχίσθησαν, δέσποτα, καὶ τοῦ ναοῦ τὸ καταπέτασμα.

Μυρίσας σε πάλαι Ἰωσὴφ, σινδόνι τε ἐνειλίσας, ἐναπέθετο

τάφῳ καινῷ· ζωὴ δὲ πάντων ὑπάρχων ἐξανίστης τριήμερος, κενώσας τοῦ ᾅδου βασίλεια θείᾳ δυνάμει παντοδύναμε.

Ὡράθης ἐκ τάφου ἀναστὰς τριήμερος ἀποστόλοις, καὶ ἐβόησας ἅπασι· φίλοι μαθηταί μου, καρύξατε ἐν πᾶσι τοῖς ἔθνεσιν ἃ εἴδετε καὶ ἔγνωτε θαύματα τὰς ὑπὲρ λόγον δυναστείας μου.

Νεκροῖς τὸν ἐμπνέοντα ζωὴν ὡς ἔβλεψας ἐκ τοῦ τάφου παναμώμητε ἐγηγερμένον μετὰ δόξης, ἐπλήσθης θυμηδίας χαυγάζουσα· υἱέ μου καὶ θεὲ μεγαλύνω σου τὴν ὑπὲρ λόγον σύγκατάβασιν.

Ὅτι ἐγώ εἰμι ὁ θεὸς ὁ λόγος.

Ὕψωσε σαύρωσιν τὴν σὴν εἰκονίζων Μωϋσῆς τὸν ὄφιν, μόνε θεὲ παμβασιλεῦ, ὁ σαυρωθεὶς δι' ἡμᾶς, καὶ ὄφεως δυσμενοῦς ἰοβόλον ἀφελὼν ἐξ ἀνθρώπων κακίαν, καὶ συντρίψας κάραν τὴν ὀλέθριον.

Μύρα σὺν δάκρυσι φέρουσαι ἔδραμον πρὸς τὸ θεῖον μνῆμα, αἱ μυροφόροι ἐν σπουδῇ ὄρθρου βαθέος, καθὼς ὁ θεηγόρος φησί, καὶ ἀστράπτοντα μορφῇ καὶ στολῇ κατιδοῦσαι νεανίαν φόβῳ κατεπλήττοντο.

Νόσους ἰώμενον λόγῳ, παραλύτους ἀνορθοῦντα λόγε, καὶ ἀνιστῶντα τοὺς νεκροὺς ὁ τῶν ἑβραίων λαὸς σὲ κατακρίνει θανεῖν· ἀλλ' ἀνέστης ὡς θεὸς κραταιὸς ἐν δυνάμει, τὸ τοῦ ᾅδου καθελὼν βασίλειον.

Ὤφθη σαρκούμενος πάναγνε ἀῤῥήτως ἐκ τῶν σῶν αἱμάτων ὁ ὑπερούσιος θεός, καὶ λογισθεὶς ἐν νεκροῖς πάντων ὑπάρχων ζωὴ ἐξανέστη κραταιῶς· ὃν ἰδοῦσα ἐπλήσθης θυμηδίας τοῦτον μεγαλύνουσα.

Ἐν πυρὶ φλογὸς παρίστανταί σοι.

Διαῤῥήξας τὸ χειρόγραφον τοῦ Ἀδὰμ τῷ σταυρῷ κύριε τὴν εὐλογίαν νῦν ἐπήγασας ἡμῖν κατάρα ἑκουσίως Χριστὲ γενηνμένος· διό σε εὐλογοῦμεν ἀεὶ εἰς πάντας τοὺς αἰῶνας.

Ἴδεν δῆμος ἀναῤάντα σε ἱερῶν μαθητῶν κύριε, καὶ θυμηδίας ἐπληρώθη μυστικῆς· πρὸς οὓς ἐβόας, γνῶντες θεόν με ζωοδότην πορεύεσθε κηρύξατέ με ἁπάντων βασιλέα.

Ἀνυμνοῦμέν σου τὴν σαύρωσιν τὴν σεπτὴν Ἰησοῦ εὔσπλαγχνε· δοξολογοῦμεν τὴν ταφὴν καὶ τὴν φρικτὴν ἀνάστασιν ἐν πίστει,

Digitized by Google

δι' ἧς ἐκ τῶν τοῦ ᾅδου ἐλύθημεν ἀλύτων δεσμῶν, Χριστὲ θεὲ τῶν ὅλων.

Ἰησοῦν ὃν ἐσωμάτωσας ὑπὲρ λόγον ἀγνὴ δέσποινα ἐγεγεννημένον κατιδοῦσα ἐκ νεκρῶν ἐβόας, τί ὡραῖον τὸ κάλλος σου υἱέ μου, δι' οὗ πρὸς τὸ ἀρχαῖον Ἀδὰμ νῦν ἐπανῆλθε κάλλος.

Ὅτι ἐποίησέ μοι μεγάλα.

Ὡς ἤρθης ἐπὶ ξύλου προσηλούμενος τοῦ σταυροῦ, φωστῆρες ἐναπεκρύψαν τὸ φῶς, καὶ ἐσείστο ἡ γῆ, καὶ οἱ ἐν ᾅδου τῶν δεσμῶν ἐλευθεροῦντο σῶτερ.

Συντρίψας τοῦ θανάτου πύλας λόγε καὶ τοὺς μοχλοὺς, ἀνέστης μετὰ δόξης, κραταιῶς ἁφαρπάσας οὓς περ πρὶν εἶχεν δεσμώτας, ὡς θεὸν δοξολογοῦντάς σε.

Ἡ γῆ πανηγυρίζει, ἑορτάζει ὁ οὐρανὸς τὴν ἔγερσιν τοῦ πάντων ποιητοῦ, δι' ἧς ἔσωσεν ἡμᾶς ἐκ τῶν δεσμῶν καὶ τῆς φθορᾶς δοξολογοῦντας αὐτόν.

Φωτός σου ταῖς ἀκτῖσι διασκέδασον τῆς ἐμῆς ἀγνοίας θεοτόκε τὴν ἀχλὺν, ὅπως πίστεως φωναῖς ὑμνολογῶ διηνεκῶς τὰ θαυμάσια.

Οὐκ ἐν σοφίᾳ καὶ δυνάμει.

Ἀνῆλθες λόγε ἐν σταυρῷ πρὸς ζωὴν ἐπανάγων με· ἐλογχεύθης τὴν πλευρὰν, ἀθανασίας παρέχων μοι κρουνοὺς ἀνυμνοῦντι σου τὴν ἀγαθότητα.

Ἵνα ἐγείρῃς τοὺς ἐν τάφοις ὑπνοῦντας ἀθάνατε, ἐλογίσθης ἐν νεκροῖς· φθορᾶς δὲ μείνας ἀμέτοχος, ἀνέστης τριήμερος ὡς παντοδύναμος.

Νεκρὸν ἰδοῦσαι τὸν ζωὴν τοῖς νεκροῖς παρεχόμενον μυροφόροι, ἐν σωουδῇ μυρίσαι ἤρχοντο κλαίουσαι· ἐξεγηγερμένον δὲ μαθοῦσαι, ἔχαιρον.

Ὁ κατὰ φύσιν τὴν οἰκείαν ὑπάρχων ἀόρατος, καθωράθη σαρκωθεὶς ἐκ σοῦ πανάμωμε δέσποινα, καὶ σταυρὸν καὶ θάνατον θέλων ὑπέμεινεν.

Τὸν ἐν τῷ σταυρῷ σαρκὶ προσηλωθέντα.

Σταύρωσιν ἑκὼν ὑπέστης λόγε, καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς

Digitized by Google

τριήμερος ἀνέστης, ἀπαθανατίζων τοὺς βροτούς, ἐπιγνόντάς σου τὴν δυναστείαν.

Τί μετὰ νεκρῶν ἐπιζητεῖτε τὸν ζωοδότην καὶ θεόν; ἀνέστη, καθὼς εἶπεν, ἔφη μυροφόροις γυναιξὶν ὁ ἀσώματος φανεὶς ἀσράπτων.

Ὤφθης μαθηταῖς ἐγηγερμένος καὶ ἐπὶ ὀλείοσιν αὐτοῖς ἡμέραις συνηλίζου, τούτους εἰς τὰ πέρατα τῆς γῆς λόγε κήρυκας ἐξαποστέλλων.

Κύριον θεὸν ἀποδεκοῦσα τὸν κυριεύοντα, ἁγνὴ, ζωῆς καὶ τοῦ θανάτου, δείξον ἀκυριεύτους ἡμᾶς ἐνεδρεύοντος ἐχθροῦ θολίου.

Ὁ τόκος σου ἄφθορος ἐδείχθη θεὸς ἐκ λαγόνων
σου προελθών.

Ὑψώθης σαρκὶ ἐπὶ τοῦ ξύλου, ἐν λάκκῳ ἐτέθης κατωτάτῳ, καὶ ἀνέστης δόξῃ, συνεγείρας ἑαυτῷ πάντα τὸν κόσμον· ὅθεν συμφώνως εὐεργέτα ἀνυμνοῦμέν σε.

Ῥαινούσαις τὰ θάκρυα ὡς μύρα ὁ ἄγγελος ἔφη μυροφόροις, τί τὸν ζῶντα ἐν τάφῳ μετὰ νεκρῶν ἐπιζητεῖτε; ἐξηγέρθη λύσας τοῦ ἅδου τὰς ὠδῖνας ὡς φιλάνθρωπος.

Ἰδόντες Χριστὸν ἐγηγερμένον οἱ θεῖοι ἀπόστολοι, ἐνθέου χαρμονῆς ἐπληροῦντο ἐπὶ πλείοσις συνεσθίοντες αὐτῷ ἡμέραις, καὶ διδασκόμενοι τὰ σωτήρια καὶ κρείττονα.

Ὡς πύλη φωτὸς ἐκ τῶν ἅδου κευθμώνων τὸν ἥλιον ἰδοῦσα, ἀναπείλαντα κόρη καὶ φωταγωγήσαντα τὰ πέρατα τοῦ κόσμου, θείας ἐπλήσθης θυμηδίας παναμώμητε.

Δι' ἀγάπησιν οἰκτίρμον τῆς σῆς εἰκόνος.

Ὡς ὑψώθης ἐπὶ ξύλου ἐθελουσίως, γῆ καὶ βουνοὶ ὄρη ἐσαλεύθησαν τρόμῳ πάσχοντά σε βλέποντα, οἰκτίρμον μακρόθυμε.

Δεδοικώς σου τὴν κατάβασιν, σῶτερ, ἅδης οὓς περ νεκροὺς κατεῖχεν ἀπεδίδου σὺν τάχει ἀνυμνολογοῦντάς σου τὴν ἄφραστον δύναμιν.

Ἡ ἀσύνετος ὁρῶσά σε τῶν ἑβραίων συναγωγὴ, οἰκτίρμον, τοὺς τυφλοὺς ὀμματοῦντα ἔκλεινεν, ὑπάρχοντα ζωὴν καὶ ἀνάστασιν.

Θεωρήσασα ἐκ τάφου ἐγηγερμένον τὸν σὸν υἱὸν παρθένε, τοῖς αὐτοῦ ἀποστόλοις ἄχρι νῦν συνέχαιρες, μεθ' ὧν σε δοξάζομεν.

Digitized by Google

Πάντα τὰ ἔργα τοῦ Θεοῦ.

Ἐπὶ σταυροῦ σε κατιδὼν λῃστὴς εὐγνώμων, μνήσθητί μου ἐκραύγαζε δέσποτα καταπλαγεὶς τὴν πολλὴν δυναστείαν σου, καὶ τὴν ὑπὲρ νοῦν σου φρικτὴν οἰκονομίαν.

Ὤφθης Χριστὲ ταῖς γυναιξὶ, χαίρετε λέγων συμπαθῶς ὡς φιλάνθρωπος, τὰς Εὔας προφανῶς διαλύων τὴν λύπην, καὶ χαροποιῶν τοὺς βροτοὺς τῇ σῇ ἐγέρσει.

Πάλαι τυφλῷ ἐκ γενετῆς ὡς ἐδωρήσω, φωτοδότα τὸ φῶς Ἰησοῦ, οὕτως μου τὰ τῆς καρδίας ἄνοιξον ὄμματα, τοῦ κατανοεῖν σου τὸ φῶς τῶν προσταγμάτων.

Ῥῦσαι γεέννης με πυρὸς, καὶ αἰωνίου κατακρίσεως, ἔχραντε· κόπασον τῶν λογισμῶν τὸν ἄγριον κλύδωνα, ζῶντον πρὸς τοὺς γαληνοὺς ζωῆς λιμένας.

Λίθος ἀχειροτμήτου ὄρους.

Ἔτεινας παλάμας ἐν ξύλῳ, τῆς πρὸς τῆς βρώσεως τὸ ξύλον δέσποτα χειρὸς ἐκταθείσης τὴν ψυχοφθόρον βλάβην ἰώμενος· ὅθεν τὴν ἀκατάληπτον οἰκονομίαν σου δοξάζομεν.

Πύλας καὶ μοχλοὺς τοῦ θανάτου τῇ καταβάσει σου συντρίψας, ᾅδου τὰ βασίλεια πάντα τῇ σῇ δυνάμει σῶτερ ἐκένωσας, καὶ ἀναστὰς τριήμερος τὴν οἰκουμένην κατελάμπρυνας.

Ἔφης ἀπτανόμενος σῶτερ τοῖς σοῖς ἁγίοις ἀποστόλοις μετὰ τὴν ἀνάστασιν, κόσμον διαδραμόντες πίστει κηρύξατε ἃ ἐν ἐμοὶ κατίδετε φρικτὰ καὶ ἄῤῥητα θαυμάσια.

Ἶδες τὸν Χριστὸν ἐγερθέντα μετὰ γυναίων μυροφόρων, καὶ μεταβαλοῦσα τὸν θρῆνον εἰς εὐφροσύνην τοῦτον ἐδοξάζες, ὅθεν μεγαλοφώνως σε θεοκήρυκτον μεγαλύνομεν.

Ἑξάστη τὰ σύμπαντα.

Δεσμούμενος δέσποτα καὶ ξύλῳ προσηλούμενος, ἔλυσας δεσμῶν με ἁμαρτίας, καὶ τῇ ἀγάπῃ τῇ σῇ προσήλωσας· ὅθεν εὐχαρίστως σου ὑμνῶ τὴν μεγαλειότητα καὶ τὴν ἄῤῥαγον δύναμιν.

Ὁ πάλαι καλάκριτος Ἀδὰμ ἐπιφανέντος σου, σῶτερ, ἐν τῷ ᾅδῃ, ἀπελύθη τῆς κατασίκης τῶν τοῦ θανάτου δεσμῶν· δόξα τῇ πολλῇ σου ἐκβοᾷ, λόγε, ἀγαθότητι Ἰησοῦ πολυελέε.

Digitized by Google

Ξενίζων ὀωτάνεται ταῖς γυναιξὶν ὁ ἄγγελος ἔνδον καθεζόμενος τοῦ τάφου, καὶ προσεφώνει, τίνα ἀφίκεσθε ὀρθριαι ζητοῦσαι; ὁ Χριστὸς ἤδη ἐξεγήγερται θανατώσας τὸν θάνατον.

Ἁγία πανάμωμε τὸν ἐν ἁγίοις ἅγιον ἀναπαυόμενον τεκοῦσα, τοῦτον ὡς εἶδες ἐκ τάφου λάμψαντα καθάπερ νυμφίον ἐκ παστοῦ, ὕμνοις ἐμεγάλυνες τὴν αὐτοῦ συγκατάβασιν.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Τὴν ἐν τῷ Ἀδὰμ ἀμαυρωθεῖσαν φιλάνθρωπε φύσιν ἀνακτώμενος, ἔτεινας παλάμας σου ξύλῳ προσηλούμενος, καὶ τὴν πλευρὰν τὴν ἄχραντον ἐξορυττόμενος· διὰ σου τὴν πολλὴν εὐσπλαγχνίαν ἀνυμνολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὡς ἔβλεψε κάτω σε ὁ ᾅδης σκυλεύοντα τούτου τὰ βασίλεια, οὓς πάλαι κατέπιε φόβῳ σου νεκρούμενος νεκροὺς ἐδίδου ἅπαντας, λόγε, κραυγάζοντας τὸν κύριον ὑμνεῖτε τὰ ἔργα.

Θρηνούσαις ἐβόα μυροφόροις τῷ λίθῳ καθήμενος ὁ ἄγγελος, δρόμῳ ἀπαγγείλατε μαθηταῖς τὴν ἔγερσιν τοῦ ζωοδότου· ἤδη γὰρ ὄντως ἐγήγερται, τοῦ ᾅδου καθελὼν τυραννίδα, καὶ τοῦ διαβόλου συντρίψας τὴν κακίαν.

Ἕνα μὲν δοξάζω τῇ οὐσίᾳ τριάδα, κηρύττω τρισὶ προσώποις δὲ τὴν μίαν θεότητα, πατέρα τὸν ἄναρχον, υἱόν, καὶ πνεῦμα ἅγιον· βοῶν ἑκάστοτε, τὸν κύριον ὑμνεῖτε τὰ ἔργα.

Ὡς ὤφθη θεὸς ἐκ σοῦ παρθένε μὴ λύσας τῆς παρθενίας ὅλως σήμαντρα, οὕτως ἐξεγήγερται λίθου τὰ σφραγίσματα καταλιπὼν ἀσάλευτα, ὃν κατιδοῦσα χαρᾶς ἐπλήσθης εὐλογοῦσα τὴν τούτου θείαν δυναστείαν εἰς πάντας τοὺς αἰῶνας.

Ἅπας γηγενὴς.

Ἄνω ἀνελθὼν εἰς ὕψος μακρόθυμε ἑκουσίως σταυροῦ, εἵλκυσας τὸν ἄνθρωπον ἐκ τῶν βαράθρων τῆς ἀπωλείας πρὸς φῶς· κατατεθεὶς δὲ μνήματι ζωὴ ὑπάρχων Χριστέ, τοὺς ἐν τάφοις ἤγειρας καθεύδοντας, τῇ σεπτῇ καὶ ἐνδόξῳ ἐγέρσει σου.

Μύρα σοι χορὸς γυναίων ἐκόμιζε τῷ τῆς ζωῆς χορηγῷ· καὶ κατανοήσας σε ἐγηγερμένον, εὐηγγελίσατο τοῖς μαθηταῖς τὴν

Digitized by Google

ἔγερσιν σε συνηγμένοις ὁμοῦ καὶ πνεῦσιν, οἵ τινες ἰδόντες σε, φωτισμοῦ καὶ χαρᾶς ἐπληρώθησαν.

Ἦλιε Χριστὲ ἐν ᾅδῃ γενόμενος μετὰ ψυχῆς ὡς θεὸς, τοῖς ἐκεῖ καθεύδουσι πεπεδημένοις ἐκ ξύλου αἰκείας τὸ φῶς τὸ σὸν φαιδρῶς ἐπέλαμψας· καὶ ἐξανίσῃσας τὴν ἁγίαν ἰούτους ἀναςάσει σου, ἀνυμνοῦντας τὴν σὴν συγκατάβασιν.

Νεύματι τὸ πᾶν παρθένε τὸν φέροντα θεὸν ἐκύησας, ἄνθρωπον γενόμενον δι' εὐσπλαγχνίαν θεοχαρίτωτε· ὃν ἐκτενῶς ἱκέτευε φωταγωγῆσαι ἡμῶν τὰς παρδίας, τῶν μακαριζόντων σε ὡς ἀγνὴν ἀληθῶς θεομήτορα.

Ἄσωμεν τῷ κυρίῳ τῷ ποιήσαντι θαυμασὰ τέρατα
ἐν ἱρυθρᾷ θαλάσσῃ· ὡδὴν ἐπινίκιον ὅτι δεδόξασαι.

Διὰ τοῦ τιμίου σταυροῦ κύριε, τῆς τοῦ ξύλου ἅπαντες ἐρρύσθημεν κατάρας· διό σου δοξάζομεν τὴν ἀγαθότητα.

Ὁ ςαυρωθεὶς βουλήσει ἐξεγήγερται, τὰ ταμεῖα ἅπαντα σκυλεύσας τοῦ θανάτου, Χριστὸς ὁ θεὸς ἡμῶν· αὐτὸν δοξάσωμεν.

Ξένῃ μορφῇ ἰδοῦσαι ἐξαστράπτοντα μυροφόροι ἄγγελον, τὴν θείαν ἐμυοῦντο τοῦ κτίστου ἀνάςασιν χαρᾶς πληρούμεναι.

Ἀνατολὴ παρθένε ἐχρημάτισας τοῦ ἡλίου ἄχραντε λοῦ τῆς δικαιοσύνης, δι' οὗ ἐξ ἀγνωσίας σκότους ἐρρύσθημεν.

Τὸν ποιητὴν τῆς κλίσεως ὃν φρίττουσιν ἄγγελοι,
ὑμνεῖτε λαοὶ καὶ ὑπερυψοῦτε εἰς πάντας
τοὺς αἰῶνας.

Θεὸν σαρκὶ ςαυρούμενον ὁ ἥλιος βλέψας ἐσκοτίζετο, καὶ γῆ ἐσαλεύθη, καὶ ἐρρήγνυντο πέτραι.

Ἐκ τῶν νεκρῶν τριήμερος Χριστὸς ἐξηγέρθη, καὶ συνήγειρε πάντας τοὺς ἐν σκότει θανάτου καθημένους.

Ὤφθης μεθ' ἡμῶν ἔγερσιν τοῖς σοῖς ἀποςόλοις, καὶ ἐπλήρωσας τούτους εὐφροσύνης, οἰκτίρμον, ἀνεκάστου.

Πατέρα τὸν παναίτιον, λόγον συναίδιον, καὶ πνεῦμα θεοῦ ἄκτιστον, τριάδα ὑμνήσωμεν ἀπαύστως.

Ῥῦσαι ἡμᾶς κολάσεως καὶ τῆς αἰωνίου κατακρίσεως, τοὺς σὲ ἀνυμνοῦντας ἀγνὴ θεογεννήτορ.

Digitized by Google

Σὲ τὴν μακαρίαν ἐν γυναιξὶ καὶ εὐλογημένην τοῦ Θεοῦ.

Ἕλεινας παλάμας ἐπὶ σαυροῦ τὸν κατατεινόμενόν με πολλαῖς μιθοδίαις τοῦ πλάνου, οἰκτίρμον, ἀνακτώμενος.

Πύλας τοῦ θανάτου καὶ τοὺς μοχλοὺς· λύσας, ἐκ νεκρῶν τριήμερος ἐξανέστης ἡ πάντων, φοικτίρμον, ἐξανάστασις.

Ἔβλυσας νεκροῖς τὴν ὄντως ζωὴν, καὶ ἐξαναστὰς τριήμερος ἀνελήφθης ἐν δόξῃ, ὁρώντων τῶν σεπτῶν μαθητῶν.

Ἵλεων ἡμῖν ἀπέργασαι ἄχραντε παρθένε τὸν σὸν υἱὸν καὶ θεὸν τὸν ἁπάντων τοῖς πίστει ἀνυμνοῦσί σε.

Ὅτι ἐγώ εἰμι θεὸς ὁ σάρκα.

Ὥσπερ ἀνύψωσε πάλαι τὸν ὄφιν Μωϋσῆς, οἰκτίρμον, οὕτω σὺ ἐπὶ τοῦ ξύλου ἀνυψώθης, τοῦ ἀλάστορος ἐχθροῦ τὴν ἰοβόλον κακίαν ἀποῤῥαπίζων, καὶ διασώζων ἡμᾶς.

Δόξα τῇ δόξῃ σου δεδοξασμένε Ἰησοῦ· τεθεὶς γὰρ ἐν μνημείῳ ὡς νεκρὸς ἐθελουσίως, ἐξανέστης ὡς θεὸς, συνεγείρας τὸν κόσμον τῇ σῇ ἐγέρσει ὡς παντοδύναμος.

Ἤδη ἐγήγερται ὁ ζωοδότης ἐκ νεκρῶν ἑῴα, γυναιξὶ πάλαι ὁ ἄγγελος ἀσράπτων· μὴ θρηνεῖτε οὖν λοιπὸν, ἀλλὰ τοῖς ἀποστόλοις τὴν τούτου ἔγερσιν ἀπαγγείλατε.

Ἅγιε κύριε ὁ γεννηθεὶς ἐκ τῆς ἀγνῆς παρθένου, σταυρωθεὶς τε καὶ ταφεὶς ἐθελουσίως, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, ταῖς αὐτῆς ἱκεσίαις τὰ σὰ ἐλέη πᾶσι κατάπεμψον.

Τὸν θεοῦ παντὸς δημιουργὸν καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν
ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας
τοὺς αἰῶνας.

Ὑμνολογοῦμέν σου Χριστὲ τὴν τριήμερον ἀνάστασιν, καὶ τὴν φαεινοτάτην ἀνάληψιν ἐν πίστει ἀεὶ δοξολογοῦμεν.

Τὸν σταυρωθέντα δι' ἡμᾶς καὶ νεκρὸν τεθέντα μνήματι, καὶ τῇ τούτου ἐγέρσει φωτίσαντα τὸν κόσμον Χριστὸν ὑπερυψοῦμεν.

Ἧλιε ἄδυτε Χριστὲ ὁ ταφεὶς καὶ ἀναστὰς ἐκ νεκρῶν, φωταγώγησον πάντων ἡμῶν τὰς διανοίας δοξάζειν σε ἀπαύστως.

Ἱκετηρίαν τῷ ἐκ σοῦ σαρκωθέντι λόγῳ ποίησον, θεοτόκε παρθένε, ἡμᾶς ὅπως οἰκτείρῃ τοὺς τεταπεινωμένους.

Digitized by Google

Μεγαλύνομεν Χριστὲ τὴν σὴν πανάχραντον.

Ὡς ἀμνὸς ἐπὶ σφαγὴν προσήχθης δέσποτα Χριστὲ ὁ Θεὸς, καὶ τοῖς τραύμασί σου οἷς ἑκουσίως ὑπέστης, τῶν δαιμόνων πᾶσαν πονηρὰν πληθὺν ἐτραυμάτισας.

Συνετρίβησαν μοχλοὶ τῇ παρουσίᾳ σου τοῦ ᾅδου Χριστὲ, καὶ ἀνέστησαν οἱ ἀπ' αἰῶνος θανόντες, ἀνυμνοῦντες σὲ τὸν νικητὴν καὶ πάντων δεσπόζοντα.

Ἡ ἁγία σου Χριστὲ ἐκ τάφου ἔγερσις ὑπάρχει ζωὴ· ἡ ἀνάληψις δὲ διηνεκὴς εὐφροσύνη, ἣν ἐν πίστει ἅπαντες ἡμεῖς νῦν προσορτάζομεν.

Φῶς ἡμῖν τὸ ἐκ φωτὸς παρθένε ἄχραντε ἐκύησας, καὶ ἐμείωσας τῆς ἀθείας τὸ σκότος· ὅθεν πάντες πίστεως φωναῖς ἀνυμνολογοῦμέν σε.

Τὴν θείαν ἐννοήσας σου κένωσιν.

Ἡ πρὶν τῇ ἁμαρτίᾳ κατάκριτος φύσις ἡμῶν, παμβασιλεῦ, τῇ σῇ προσλήψει ἠλίκται, ὑμνολογοῦσά σου φόβῳ τὴν ἔγερσιν καὶ θείαν ἀνάληψιν.

Θαμβεῖται ἀσωμάτων τὰ τάγματα κατανοοῦντά σε Χριστὲ φορέσαντα σῶμα γήϊνον, καὶ ἐπιβάντα νεφέλῃ, καὶ πρὸς τοὺς οὐρανοὺς ἀνερχόμενον.

Ἰδοῦσαι ἐρυθρὰ τὰ ἱμάτια τὰ σὰ Χριστὲ παμβασιλεῦ, τῇ σῇ ἀνόδῳ ἐξέστησαν αἱ τῶν ἀγγέλων δυνάμεις, καὶ φόβῳ καὶ χαρᾷ προσεκύνησαν.

Κρατήσωμεν τῆς χεῖρας· ὁ κύριος ἐξεγερθεὶς ἐκ τῶν νεκρῶν πρὸς οὐρανοὺς ἀνελήλυθεν, ὑποταγέντων ἀγγέλων αὐλῷ ὡς ποιητῇ καὶ θεῷ ἡμῶν.

Ἡσυΐα χόρευε.

Ἱερὰν πανήγυριν πᾶσα κτίσις ἄγει ἐμφανῶς, τῇ ἀναλήψει τῇ σῇ λόγε καὶ θεὲ, ἐν ᾗ προσενήνοχας τῷ πατρί σου ἣν περ ἐξ ἡμῶν φύσιν ἀνέλαβες ὑπὲρ λόγον, ἀναλλοίωτε.

Ὡς θεὸς συνέτριψας πύλας ᾅδου σῶτερ καὶ μοχλοὺς, καὶ ἀναστὰς ἐκ νεκρῶν πρὸς τοὺς οὐράνους αὖριον ἀνήρχεσαι, τῶν ταγμάτων τῶν ἀγγελικῶν πύλας διάρατε ἐκβοώντων μετ' ἐκπλήξεως.

Σοῦ τὴν θείαν ἄνοδον θαυμαζόντων θείων μαθητῶν, ἐπέχε-

Digitized by Google

σαν ἐμφανῶς ἄγγελοι αὐτοῖς, βοῶντες ὃν βλέπετε ἀνιόντα εἰς τοὺς οὐρανοὺς, οὕτως ἐλεύσεται μετὰ δόξης κρίναι ἅπαντας.

Ἦν Χριστὲ δεδώρησαι πρὸς τὰ ἄνω σπάλαι ἀνιὼν εἰρήνην τοῖς μαθηταῖς, ταύτην καὶ ἡμῖν πλουσίως κατάπεμψον ἐν ἀγάπῃ σώντας συντηρῶν, ὅπως συμφώνως σε τὸν σωτῆρα μεγαλύνωμεν.

Φωτοφόρου ὄχημα τοῦ ἡλίου σὺ τοῦ νοητοῦ γεγένησαι ἀληθῶς ἄχραντε ἁγνὴ, δι' οὗ οἱ καθήμενοι ἐν τῷ σκότει βλέψαν τὸ φῶς τῆς ἐπιγνώσεως, καταχρέως σε δοξάζοντες.

Ἀσεβεῖς οὐκ ὄψονται τὴν δόξαν.

Ἀναλαμβανόμενος ἐκ γῆς πρὸς οὐρανοὺς, οὓς οὐκ ἔλιπες τῷ πατρὶ συνεδρεύων δέσποτα καὶ τῷ πνεύματι, μαθητὰς εὐλόγησας ἀνυμνοῦντάς σε φιλάνθρωπε.

Ἀσωμάτων τάξεις σε ὡς εἶδον Ἰησοῦ, μετὰ σώματος οὐρανοῖς ἐπιβάντα, χαίρουσαι κατεπλήττοντο τὴν πολλήν σου κύριε πρὸς ἀνθρώπους συγκατάβασιν.

Τὴν ληφθεῖσαν δέσποτα οὐσίαν ἐξ ἡμῶν ἐν τῷ θρόνῳ τῷ πατρικῷ ἐνιδρύσας κύριε κατεκάλλυνας, μεθ' ἧς μέλλεις ἔρχεσθαι κρῖναι κόσμον παντοδύναμε.

Τὴν ἁγνὴν ἁγνεύοντι τιμήσωμεν νοῖ, καλλονὴν τὴν Ἰακὼβ ταῖς ἐνθέοις πράξεσι καλλυνόμενοι, εὐσεβῶς ὑμνήσωμεν ὡς μητέρα τοῦ θεοῦ ἡμῶν.

Λυτρωτὰ τοῦ παντός.

Χερουβὶμ ἐπὶ ὤμων ὀχούμενος ἀνελήφθης ἐν δόξῃ, ὁρώντων σε τῶν μαθητῶν σου κύριε, καὶ βοώντων ἀπαύστως, πάντα τὰ ἔργα εὐλογεῖτε κυρίου τὸν κύριον.

Εὐλογῶν μαθητὰς ἀνεφέρετο εἰς τὸ ὕψος Χριστὸς, τὸν παράκλητον τούτοις ἐκπέμψαι ψάλλουσι καὶ συμφώνως βοῶσι, πάντα τὰ ἔργα εὐλογεῖτε κυρίου τὸν κύριον.

Καθελὼν τὸ τῆς ἔχθρας μεσότοιχον τοὺς θνητοὺς τῷ πατρί σου κατήλλαξας, καὶ ἀνελθὼν ἀνήγαγες ἣν προσείληφας σάρκα, ἄναρχε λόγε ὑπεράνω ἀρχῶν καὶ δυνάμεων.

Τὸ κοινὸν τῶν πιστῶν ἱλαστήριον, τὴν ἑτοίμην ἀνθρώπων βοή-

Digitized by Google

θειαν, τὴν πρὸς τὸν κτίστην γέφυραν τὴν μετάγουσαν πάντας πρὸς σωτηρίαν, τοῦ Θεοῦ τὴν μητέρα δοξάσωμεν.

Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι.

Ἐξ ὄρους Χριστὲ τῶν ἐλαιῶν νεφέλῃ σε ὥσπερ θρόνος καθυπέλαβε, πάντων τῶν θείων μαθητῶν σου ὁρώντων, καὶ ἐν τρόμῳ βοώντων σοι, μὴ λίπῃς ὀρφανὺς οὓς ἠγάπησας δι' εὐσπλαγχνίαν ἀδιήγητον.

Κατῆλθες τὸ πρὶν ἄνευ σαρκὸς (1), ἀνέρχῃ δὲ σῶμα φέρων, ὁ προσείληφας· φόβῳ δὲ πύλαι οὐρανῶν σοι ἀνοίγονται· καὶ νόες οὐράνιοι ὁρῶντες καταπλήττονται, δέσποτα, τὴν δι' ἡμᾶς σου συγκατάβασιν.

Τί ἴστασθε βλέποντες ὑμεῖς τὴν ἄνοδον τὴν φρικώδη; πάλαι ἔφησαν ἄγγελοι θείοις ἀποστόλοις· ὃν τρόπον θεωρεῖτε, ἐλεύσεται καὶ πάλιν ἐπὶ γῆς κρῖναι ἅπαντας, ὁ μετὰ δόξης ἀνερχόμενος.

Συνοῦσα τοῖς θείοις μαθηταῖς ἡ πάναγνος, καὶ ὁρῶσα ὃν ἐγέννησε γᾶθεν ὑψούμενον ἰβόα· ἀνέρχῃ πρὸς πατέρα συνάναρχον, τῆς δόξης σου πληρώσας τὰ σύμπαντα, δεδοξασμένε μόνε κύριε.

Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον.

Πληρώσας τὰ ἐπὶ γῆς τῆς δόξης σου, ἀνελήφθης μετὰ δόξης ἀῤῥάστου, καὶ τῷ πατρὶ· προσηγάγω τὴν σάρκα ἣν ἐξ ἡμῶν διὰ σπλάγχνα ἐφόρεσας, καὶ ὕμνησαν οὐρανῶν αἱ δυνάμεις σε μόνε φιλάνθρωπε.

Ἐπάρθητε ἐπουράνιοι πύλαι καὶ εἰσδέξασθε θεὸν σαρκοφόρον, αἱ νοεραὶ ἀνεβόων δυνάμεις ταῖς πυθομέναις, τίς οὗτος ὃν λέγετε· καὶ αἴνεσιν ὡς ποιητῇ τῶν ἁπάντων ἀπαύστως προσάξατε.

Τὴν ἄνοδον τὴν φρικτὴν θεώμενοι οἱ τοῦ λόγου μαθηταὶ ἀνεβόων· πέμψον ἡμῖν τὸ παράγιον πνεῦμα, καὶ ὀρφανοὺς μὴ ἐάσῃς τοὺς σὲ γινώσκοντάς σε ἀληθῆ καὶ θεὸν καὶ βροτόν, ἀναμάρτητε.

Ἐθέωσας τῶν βροτῶν τὴν οὐσίαν, ἀπορῥήτως γεννηθεὶς ἐκ παρθένου, ὁ τοῦ πατρὸς ὁμοούσιος λόγος, καὶ ἀνελήφθης ἐν δόξῃ ὁρώμενος εἰρήνην σοῖς μαθηταῖς, καὶ τῷ κόσμῳ τὸ πλούσιον ἔλεος.

(1) Hoc dicitur contra illos haereticos, qui Christi corpus caelo delatum, et per Mariam ceu per fistulam traductum, in mundum venisse affirmabant.

Digitized by Google

Παῖδες ἑβραίων ἐν καμίνῳ.

Πάθος καὶ θάνατον ὑπέστης, καὶ τριήμερος ὡς εἶπας ἐξηγέρθης, καὶ πρὸς τοὺς οὐρανοὺς ἀνῆλθες, μελῳδούντων τῶν μαθητῶν σου κύριε ὁ θεὸς εὐλογητὸς εἶ.

Πνεῦμα ἡμῖν ὡς ἐπηγγείλω τὸ παράγιον ἀπόστειλον οἰκτίρμον, οἱ σοφοὶ μαθηταὶ ἐβόων, τὸ σοφίζον καὶ συνετίζον ἅπαντας, τοὺς πίστει σε ὑμνοῦντας.

Χεῖρας κροτήσατε τὰ ἔθνη, ἀλαλάξατε θεῷ ἐν εὐφροσύνῃ· ἀνελήφθη ἰδοὺ καὶ κάθηται ἐν δόξῃ ἐν δεξιᾷ ὡς σύνθρονος τοῦ πατρὸς εἰς τοὺς αἰῶνας.

Κόλπους πατρῴους μὴ κενώσας ἐν τοῖς κόλποις σου ὁ λόγος ἀνεκλίθη, ἀλογίας ἡμᾶς ῥυσάμενος σαρθένε τοὺς μελῳδοῦντας κύριε ὁ θεὸς εὐλογητὸς εἶ.

Ἑπταπλασίως κάμινον.

Ὁ μορφωθεὶς ὡς γέγραπται ὑπὲρ νοῦν τὸ ἀλλότριον, καὶ διὰ παθῶν πᾶσι πιστοῖς ἀπάθειαν σαφῶς δωρησάμενος, ἀπὸ τῆς γῆς ἀνέρχεται νῦν ἐμφανισθῆναι τοῦ πατρὸς τῷ προσώπῳ, ἀγγέλων θρόνων κυριοτήτων αὐτὸν δοξολογούντων εἰς πάντας.

Λευχημονοῦντες ἄγγελοι ἀποστόλοις ἐπίστησαν, ἐπαπορουμένοις τῷ καινῷ θεάματι τῆς σῆς ἀναλήψεως, λέγοντες, ὑμεῖς τί ἀτενίζοντες οὕτως θαμβεῖσθε εἰς τὸ ὕψος; Ἰησοῦς οὗτος πάλιν, ἐλεύσεται ὃν τρόπον ὁρᾶτε κρῖναι κόσμον.

Πάντα πληρώσας κύριε ὡς θεὸς ἀδιάστατος, τρὸς τοὺς οὐρανοὺς μετὰ σαρκὸς ἀνέδραμες, καθυποταγέντων σοι ἀγγελικῶν δυνάμεων, καὶ χαρμονικῶς τῶν μαθητῶν ἀνυμνούντων, καὶ φόβῳ μελῳδούντων ἱερεῖς εὐλογεῖτε.

Θεοκυήτορ πάναγνε τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας τὰς οὐλὰς ἐξάλειψον, σηγαῖς ἀποσμήχουσα ταῖς ἐκ πλευρᾶς τοῦ τόκου σου, καὶ τοῖς ἐξ αὐτῆς ἀποκαθαίρουσα ῥείθροις· πρός σὲ γὰρ ἀνακράζω καὶ πρός σὲ καταφεύγω, καὶ σὲ ἐπικαλοῦμαι τὴν μόνην προστασίαν.

Ἔφριξε πᾶσα ἀκοή.

Ἄρατε πύλας νοητῶς ἐπουράνιοι δυνάμεις· ἀφίκεται ὁ βασι-

Digitized by Google

λεὺς ἡμῶν θνητὴν οὐσίαν ἀναλαβόμενος, καὶ εἰσελεύσεται θεὸς ὑπάρχων καὶ ἄνθρωπος πρὸς τὸν πατέρα αὐτοῦ, ἐργασάμενος φρικτὰ καὶ παράδοξα.

Ψάλατε πάντες συνελῶς, ἀλαλάξατε θεῷ τῷ ποιήσαντι ἔργα παράδοξα, καὶ ἀνελθόντι πρὸς τὰ οὐράνια, καὶ ἀποστόλοις τὸ σεπτὸν πνεῦμα καταπέμψαντι, τὸ ἁγιάζον ἡμᾶς τοὺς δοξάζοντας αὐτοῦ τὴν θεότητα.

Λέλυται ᾅδης σῇ ταφῇ, καὶ ἀνάστασις ἀνθρώποις δεδώρηται τῇ ἀναστάσει σου, καὶ κατηυγάσθη γῆ καὶ οὐράνια τῇ ἀναλήψει σου Χριστὲ, μόνε ἀναλλοίωτε καὶ παντοδύναμε, ὁ δωτὴρ τῶν ἀγαθῶν καὶ σωτὴρ ἡμῶν.

Φωνὴν σοι τὴν τοῦ Γαβριὴλ μετὰ πάντων τῶν ἀγγέλων προσφέρομεν, χαῖρε παλάτιον τοῦ βασιλέως τὸ φωτεινότατον, χαῖρε ἡ γῆν τοῖς οὐρανοῖς παρθένε συνάψασα, δι' ἧς σωζόμεθα, οἱ εἰδότες σε ἀγνὴν θεομήτορα.

Σοῦ ἡ τρόπαιοῦχος δεξιά.

Σοῦ τὴν ἐπὶ γῆς καινοπρεπῶ ἀγνοησάντων ἀγγέλων κατάβασιν, ταύτην ἀναβαίνοντος ἐν οὐρανοῖς μαθητεύσει λέγοντες, τίς οὗτος ὑπάρχει ὁ βασιλεὺς τῶν δυνάμεων;

Σταύρωσιν ἑκούσιον Χριστὲ καθυπομείνας ἀνίστης τριήμερος, ᾧθις ἀνελήφθης τε εἰς οὐρανοὺς, τῶν μαθητῶν ὁρώντων σε καὶ ἐκπληττομένων τὴν ὑπὲρ νοῦν δυναστείαν σου.

Νέφη τὴν ἐπίβασιν αὐτοῦ παντοδυνάμῳ βουλήσει τιθέμενος, ὁ ἀπερινόητος τῶν ἑλαιῶν ἐξ ὄρους νῦν ἀνέδραμεν ἄνω πρὸς τὸ ὕψος νεφέλῃ προσεπιχούμενος.

Τάγματα ἀγγέλων ἀληθῶς ἐπουρανίων ἀγνὴ ὑπερβέβηκας, λόγον σωματώσασα τὸν τοῦ πατρὸς· ὃν ἐκτενῶς ἱκέτευε, πράξεων ἀλόγων ἡμᾶς ῥυσθῆναι πανάμωμε.

Τὸν τοὺς ὑμνολόγους ἐν καμίνῳ.

Τὸν πρὸς τὸν ἀρχίφωτον πατέρα ἀνελθόντα ἐν δόξῃ, καὶ καταπέμψαντα ἀποστόλοις τὸ πνεῦμα τὸ ἅγιον ὑμνεῖτε καὶ ὑπερυψοῦτε.

Ἄσατε καὶ ψάλατε κυρίῳ, ἀλαλάξατε αἱ πατριαὶ τῆς γῆς·

Digitized by Google

ἀνελήφθη ἐν δόξῃ γὰρ σήμερον συνάψας τοῖς ἐπουρανίοις ἡμᾶς εἰς τοὺς αἰῶνας.

Ἄνδρες γαλιλαῖοι τί ὁρῶντες εἰς τὸ ὕψος ἐν φόβῳ, οὕτως ἐστήκατε; μαθηταῖς οἱ ἀσώματοι ἔλεγον· ὃν τρόπον βλέπετε, καὶ πάλιν Χριστὸς ἐν δόξῃ ἥξει.

Ἡ ἀγεωργήτως ἐκβλαστήσασα τὸν οὐράνιον σάκχυν, τὸν διατρέφοντα θείᾳ δυνάμει τὰ σύμπαντα, παρθένε, ἔμπλησον πεινῶσαν τὴν ταπεινὴν ψυχήν μου.

Τύπος τῆς ἀγνῆς λοχείας σου.

Πάθος καὶ σαυρὸν καὶ θάνατον ὑπὲρ ἡμῶν ὑπέστης ὁ ὑπεράγαθος, καὶ ἐξαναστὰς θεοπρεπῶς ἀνελήλυθας πρὸς τὸν ἄναρχον λόγε πατέρα σου· διό σου προσκυνοῦμεν τὴν ἀκατάληπτον θεότητα.

Κράζει Μωϋσῆς ἐν πνεύματι, ἀγγελικαὶ δυνάμεις ἐνισχυσάτωσαν τῷ παμβασιλεῖ σωματικῶς ἀναβαίνοντι ἀπὸ γῆς πρὸς τὰ ἄνω βασίλεια, καὶ θρόνῳ καθιζῶντι τῷ πατρικῷ φύσει τὴν ἄκτιστον.

Πύλαι νοητῶς ἐπάρθητε, προφητικῶς ἐβόα Δαυὶδ ἐν πνεύματι· ὁ μονογενὴς υἱὸς θεοῦ ἐβασίλευσεν ἐπὶ πάντα τὰ ἔθνη, καὶ ἄνεισι σαρκὶ πρὸς τὸν πατέρα, ὃν καθερχόμενος οὐκ ἔλιπεν.

Ὅτι ἐγώ εἰμι ὁ ἐν θαλάσσῃ.

Συναλιζόμενος ἐν τεσσαράκοντα τοῖς μαθηταῖς ἡμέραις, μετὰ τὴν θείαν ἐκ τάφου σῶτερ ἀνάστασιν, καὶ τὸ πνεῦμα τὸ θεῖον συνθέμενος αὐτοῖς ἐξαποστέλλειν, ἐν φωναῖς ἀνελήφθης, ἐν δόξῃ ἐκ' ὤμοις χερουβικοῖς, φρικτῶς ἐποχούμενος.

Πύλας ἐπάρατε, γνῶτε παράδοξα, νοεραὶ δυνάμεις ταῖς ἀνωτέραις ἐβόων, ὁ βασιλεὺς τοῦ παντὸς σῶμα γήϊνον φέρων ἀνῆλθε πρὸς ἡμᾶς εἰς προανάπαυσιν αὐτοῦ, τοὺς ἀνθρώπους θεώσας δι' εὐσπλαγχνίαν πολλὴν καὶ ἄμετρον ἔλεος.

Ἀποκρυβὴν αὐτοῦ σκότος ὁ θέμενος τῇ ἀσωμάτῳ φύσει, ἐπὶ πτερύγων ἀνέμων ὁ ἐπιβαίνων θεὸς, σαρκωθεὶς ἐκ παρθένου νεφέλης φωτεινῆς, διὰ νεφέλης ἀπὸ γῆς πρὸς τὸ ὕψος ἀνῆλθεν, ὁρώντων μαθητῶν τὴν ἔνδοξον ἄνοδον.

Ἡ ἀγεώργητος γῆ ἡ βλαστήσασα τὸν τοῦ παντὸς τροφέα τὸν ὑπανοίγοντα χεῖρα, καὶ εὐδοκίᾳ αὐτοῦ ἐμπιπλῶντα πᾶν ζῶον

Digitized by Google

ἰσχύϊ θείκῇ, ςήριξον ἄρτῳ ζωτικῷ παρειμένας καρδίας τῷ κόρῳ τῶν δυσχερῶν ἡμῶν παραπτώσεων.

Ἰνδάλματος χρυσοῦ.

Τὴν φύσιν τοῦ Ἀδὰμ προσλαβόμενος, καὶ ταύτην θεώσας, λόγε, πρὸς τὸν ἀρχίφωτον ἀνήγαγες σου πατέρα, καταπλαγείσης πάσης ἀσωμάτων τάξεως, καὶ ἀναβοώσης· ὑμνείτω τὸν κύριον πᾶσα ἡ κτίσις.

Ἠλίας προτυπῶν τὴν φρικώδη σου ἀνάβασιν, ζωοδότα, θείῳ ἐν πνεύματι ἐθείχθη ἁρματηλάτης, καὶ πρὸς τὸ ὕψος ὅλος ἀπὸ γῆς ἐφέρετο, μέλπων σοὶ τῷ κτίστῃ, ὑμνείτω τὸν κύριον πᾶσα κτίσις καὶ ὑπερυψούτω.

Αἰνέσατε θεὸν, ἀλαλάξατε τὰ ἔθνη, κροτεῖτε χεῖρας, συμφώνως ψάλατε, ἐν δόξῃ Χριστὸς ἀνῆλθεν, ὁ βασιλεύων· ὅθεν πρὸς ἡμᾶς ἐλήλυθε σῶσαι τοὺς βοῶντας ὑμνείτω τὸν κύριον πᾶσα κτίσις.

Κυρίως σε, ἀγνὴ, καταγγέλλοντες δοξάζομεν θεοτόκον· σὺ γὰρ τὸν ἕνα ἀπεκύσας τῆς τριάδος σεσαρκωμένον· ὃν σὺν τῷ πατρὶ καὶ πνεύματι μελῳδοῦμεν ὑμνείτω ὡς κύριον πᾶσα κτίσις.

Ἀπορεῖ πᾶσα γλῶσσα.

Ὁ μετὰ δόξης ἄρτι ἐπεβαίνων νεφέλῃ τίς ἆρα πέλει, ἔφησαν ἀνώτεραι αἱ τάξεις ταῖς βοώσαις πύλας νοητὰς διάρατε· θεὸς ὁ μόνος τὰ ἐπὶ γῆς συνάψας σεπτῶς τοῖς οὐρανοῖς, τούτῳ μεγαλωσύνην καὶ δόξαν φόβῳ προσάξωμεν.

Ἡ ἀπωσθεῖσα φύσις ἐν Ἐδὲμ καθορᾶται ἐν τοῖς ὑψίστοις θρόνῳ πατρικῷ ἐνιδρυμένη παραδόξως, καὶ προσκυνουμένη πάντοτε ὑπὸ ἀγγέλων, ὑπ' ἀρχαγγέλων, θρόνων, δυνάμεων, ἀρχῶν· δόξα τῷ εὐδοκήσαντι οὕτως μόνῳ θεῷ ἡμῶν.

Ὁρᾶτε ἔφης λόγε μαθηταῖς λυπουμένοις τῇ σῇ ἀνόδῳ· κάθισθε προσμένοντες ἐν πίστει ἕως ἔλθῃ θεῖος πρὸς ὑμᾶς παράκλητος ἐκ τῶν ὑψίστων, τῶν χαρισμάτων πάντων ἡ ἄφθονος πηγὴ· οὗτος ὑμᾶς διδάξει τὰ πάντα ὡς ὑπεράγαθος.

Τὸ στερίωμα τῶν ἐπί σοι πεποιθότων.

Τὴν κατάκριτον καὶ παραβάσει φθαρεῖσαν ἀνήγαγες δέσποτα φύσιν ἀνθρώπων ὑπεράνω τῶν ἀγγέλων, ὡς εὔσπλαγχνος.

Digitized by Google

Ἀνελήλυθας πρὸς οὐρανὸν μετὰ δόξης, ὑμνούντων σε κύριε τῶν ἀσωμάτων ὡς τῶν ὅλων ποιητὴν καὶ θεὸν αὐτῶν.

Τὸν παράκλητον, τῆς ἀληθείας τὸ πνεῦμα, ἀπέστειλας δέσποτα τοῖς μαθηταῖς σου, ἀνελθὼν εἰς οὐρανοὺς ὑπεράγαθε.

Σωματούμενος ἐκ σοῦ προῆλθεν ὁ λόγος, τὴν ἔκπτωσιν ἄχραντε τῶν προπατόρων διὰ σπλάγχνα οἰκτιρμῶν ἀνορθούμενος.

Ἀστέκτῳ πυρὶ ἑνωθέντες.

Πᾶσαν ὁ θεὸς ἐκπληρώσας τὴν ὑπὲρ ὑμῶν οἰκονομίαν ἀνελήφθης, καθορώντων τῶν μαθητῶν σου, καὶ φόβῳ βοώντων σοι, εὐλογεῖτε πάντα τὰ ἔργα τὸν κύριον.

Ἄνδρες ἀληθῶς γαλιλαῖοι τί ἐνατενίζετε οὗτω τῷ δεσπότῃ πρὸς οὐρανοὺς ἀνερχομένῳ, ἔλεγον οἱ ἄγγελοι· ὃν ὁρᾶτε, πάλιν οὗτος μέλλει ἔρχεσθαι κρῖναι πᾶσαν κτίσιν, κριτὴς πάντων ὑπάρχων.

Πνεῦμα τὸ εὐθὲς, πνεῦμα θεῖον, πνεῦμα τὸ συνὸν σοι ἀμερίζως, ὡς ὑπίσχου, πέμψον ἡμῖν, ὁ ταῖς νεφέλαις δόξῃ ἐποχούμενος, θεοῦ λόγε, θεῖοι, ἀπόστολοι, ἔκραζον ἅπως σε ὑμνῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἐκ σοῦ τοῦ θεοῦ ἡ σοφία οἶκον ἑαυτῇ δομησαμένη ἐσαρκώθη, ἀπορρήτῳ συγκαταβάσει, κόρη ἀπειρόγαμε· σὺ γὰρ μόνη πάντων γενεῶν ἐκλέλεξαι ἄφθορος ἀφθόρου εἰς κατοικίαν λόγου.

Καινὸν θαῦμα καὶ θεοπρεπές.

Ὁ μετὰ δόξης ἐν ἀλαλαγμῷ ἀνερχόμενος, ὡς ὁ προφήτης πάλαι φησὶν, οὗτος πάντων κύριός ἐστι καὶ δεσπότης· ψάλατε ἔθνη, τούτῳ πίστει ψάλατε, καὶ τρόμῳ αὐτὸν δοξολογεῖτε τὸν ἐργάσάμενον ἀνεξιχνίαστα καὶ ἀπόῤῥητα.

Κατηφιῶσιν ἔφη μαθηταῖς, οὐ χωρίζομαι εἰς τὸν αἰῶνα ὅλως ὑμῶν, εἰ καὶ πρὸς τὸν πέμψαντα πατέρα ὑπάγω· ἄπειτε, κόσμον ὅλον μαθητεύσατε γινώσκειν θεὸν ἀληθινόν με, τὸν ἐργασάμενον ἃ ἐθεάσασθε καὶ ἠκούσατε.

Εἰρήνην πᾶσιν ἔφησας Χριστὲ, καὶ νεφέλη σε ὑπολαβοῦσα αὖθις φωτὸς, πάντων καθορώντων, ἀπὸ γῆς ἀνυψώθης· καὶ ἀνελθὼν ἐπέκεινα ἐκάθισας ἁπάσης ἀρχῆς καὶ ἐξουσίας· διὸ ὑμνοῦμεν τὴν πολυύμνητον δυναστείαν σου.

Digitized by Google

Φωτὸς δοχεῖον φαίνει σε ἀγνὴ ὁ ἐκ σοῦ ἀτρέπτως σαρκωθεὶς ἀῤῥήτως θεὸς, ἐν σταυρῷ ὑψώσας τοῦ Ἀδὰμ τὴν οὐσίαν, καὶ ἐν νεκροῖς πρωτότοκος γενόμενος, καὶ μένων θεὸς ἐν τοῖς ὑψίστοις, ἅμα πατρί τε καὶ θείῳ πνεύματι δοξαζόμενος.

Ὁ καθήμενος ἐν δόξῃ.

Ὁ ἀπρόσιτος τὴν φύσιν, πρόσιτός μοι γενόμενος, ὡς ἐμὲ φορέσας, ὅλην μου τὴν φύσιν ἐλάμπρυνε, καὶ τῇ αὐτοῦ ἀναλήψει ἀνεβίβασεν ὑπεράνω ἀπάσης ἀρχῆς καὶ δυνάμεως.

Διφρελάτης ὁ Ἠλίας τὸν αἰθέρα διήρχετο, προτυπῶν σου πάλαι λόγε τοῦ θεοῦ τὴν ἀνάληψιν· ὡς γὰρ ἐν ἅρματι σῶτερ ἐποχούμενος, τῇ νεφέλῃ πρὸς τοὺς πατρικοὺς κόλπους ἔφθασας.

Μαθητῶν ἀτενιζόντων τὸ φρικτὸν τῆς ἐπάρσεως καὶ ἐκπληττομένων, θεῖοι προσεφθέγγοντο ἄγγελοι· ἄνδρες ὑμεῖς γαλιλαῖοι καθὼς βλέπετε, οὕτως ἥξει πάλιν ὁ αὐτὸς κρῖναι ἅπαντας.

Ἀναπλάττεις συντριβεῖσαν καὶ φθορᾷ ὑποκύψασαν τὴν βροτείαν φύσιν ἄχραντε θεὸν σωματώσασα, καὶ ὑπὲρ φύσιν τεκοῦσα ἀπερόγαμε· ᾧ κραυγάζομεν δόξα Χριστέ.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων νεφέλῃ ἐποχούμενος, νῦν ἀναλαμβάνεται εἰς τὰ ἐπουράνια, ἔνθα ὑπῆρχε πρότερον, καὶ τὸν παράκλητον ἐπιπέμπει μαθηταῖς ἀνυμνοῦσι καὶ ὑπερυψοῦσιν αὐτὸν εἰς τοὺς αἰῶνας.

Σταυρὸν καὶ ταφὴν καθυπομείνας βουλήσει ἀνίστης παντοδύναμε, καὶ τοῖς ἀγαπῶσί σε ἐπὶ τεσσαράκοντα ἡμέρας ὀπτανόμενος ἐχαροποίεις αὐτούς· εἶθ' οὕτω τε αὐτοὺς εὐλογήσας, πρὸς τὸν σὸν πατέρα ἀνῆλθες μετὰ δόξης.

Μυήσας σαφῶς τὰ ὑπὲρ λόγον ὁ λόγος τοὺς θεολόγους ἀναβέβηκε, πέμψας ὡς ὑπέσχετο ἐπὶ μαθητὰς αὐτοῦ τὸ παντουργὸν καὶ σύνθρονον πνεῦμα· βοώντων αὐτῷ, τὸν κύριον αἰνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε.

Ἡ πύλη θεοῦ ἡ κεκλεισμένη, ἣν μόνος διώδευσεν ὁ ὕψιστος, ἴδυνον πρὸς τρίβους με θείας, καὶ διάνοιξον τὰς σωτηρίας πύ-

Digitized by Google

λας μοι θεοχαρίτωτε· πρὸς σὲ γὰρ καταφεύγω παρθένε μόνη προστασία τοῦ γένους τῶν ἀνθρώπων.

Διθος ἀχειροτμήτος ὄρους.

Ἕως ἂν ἐνδύσησθε, ἔφης τοῖς μαθηταῖς, σθένος ἐξ ὕψους, κάθησθε ὁμοῦ συνηγμένοι· ἐγὼ γὰρ ἤδη ἀναλαμβάνομαι, καὶ τοῦ πατρὸς τὸν σύνθρονον ἀποστελῶ ὑμῖν παράκλητον.

Δεῦτε μυστικῶς συνελθόντες πάντες εἰς ὕψος θεωρίας, ὅρμασι κατίδωμεν νοὸς ἀναληφθέντα καὶ καθεζόμενον ἐκ δεξιῶν ὡς σύνθρονον πατρὸς τὸν λόγον τὸν ἀίδιον.

Ἥλιος ἐκ τάφου ὡραῖος ἐξανατείλας ὁ θεσπότης, ὥσπερ σελασφόρους ἀκτῖνας τῇ οἰκουμένῃ πάσῃ ἐξέλαμψεν τοὺς ἀποστόλους φαίνοντας, καὶ τὴν ἀχλὺν ἀποδιώκοντας.

Φεῖσαί μου Χριστὲ ὅτ' ἂν ἔλθῃς κρῖναι τὸν κόσμον μετὰ δόξης, λῦσον τὴν ἀχλὺν τῆς ψυχῆς μου ταῖς ἱκεσίαις τῆς κυησάσης σε· καὶ κληρονόμον ποίησον τῆς οὐρανίου βασιλείας σου.

Πρὸς σὲ ὁρθρίζω τὸν δι' εὐσπλαγχνίαν.

Θανάτου κράτος θείᾳ δυναστείᾳ καθελὼν ἐξανέστης τριήμερος Χριστέ μου, καὶ πρὸς οὐρανοὺς μετὰ δόξης ἀνῆλθες, τῶν σῶν μαθητῶν ἀνυμνούντων θεόν σε καὶ φιλάνθρωπον.

Ἴδιος μὴ λίπῃς ὀρφανοὺς οἰκτίρμον· ὡς ὑπέσχου δὲ πέμψον τὸ ἅγιόν σου πνεῦμα, οἱ σοὶ μαθηταί, λυτρωτὰ, προσεφώνουν, ἡνίκα ἐκ γῆς ἀνερχόμενον ἴδον σε φιλάνθρωπε.

Ἰδοὺ τὸ πνεῦμα μέλλει κατιέναι ἐπὶ γῆς νῦν ἐν γλώσσαις πυρίναις, ὅπως δείξῃ πυρίνους σαφῶς τοὺς ζηλίνους τοῦ λόγου σεπτοὺς μαθητὰς, καταγγέλλοντας τοῦτον ὡς φιλάνθρωπον.

Βροτείαν φύσιν ἐκ τῆς ἀπειράνδρου ἐνδυσάμενος λόγε δι' ἄκραν εὐσπλαγχνίαν, βεβαίαν ἡμῖν τρύτην δέδωκας σκέπην καὶ τεῖχος ἀεί, τοῖς εἰδόσι θεόν σε καὶ φιλάνθρωπον.

Νόμων πατρῴων οἱ μακαριστοί.

Τὰ [illegible]ειζῶτα ἀγαθότητι ἐπισυνάψας λόγε πανυπεράγαθε, καὶ πατάξας τὸν πολέμιον τῷ πάθει τῆς σαρκός σου, πρὸς τὸν πατέρα, ὃν περ οὐ κατέλειπες ποτὲ, μετὰ δόξης ἀνέδραμες, τῶν μαθητῶν βοώντων, τὸν κύριον ὑμνεῖτε τὰ ἔργα.

Digitized by Google

Κατελεήσας οὓς ἠγάπησας κεκακωμένους σῶτερ ἐχθροῦ δεινότητι, ἐλαιῶν ἐξ ὄρους δέσποτα βλεπόντων ἀνελήφθης τῶν μαθητῶν σου πῶς μετὰ σαρκὸς θαυμαζόντων σὲ νεφέλη ὑπέλαβε, χερουβικὸς ὡς θρόνος· διό σε σὺν αὐτοῖς εὐλογοῦμεν.

Οὐ καταλείψω ὀρφανοὺς ὑμᾶς υἱοὶ καὶ κληρονόμοι τῆς βασιλείας μου· ἀνελθὼν δὲ τὸν παράκλητον ἀποστελῶ ἐξ ὕψους, ὑμᾶς μνοῦντα τὰ ὑπὲρ κατάληψιν καὶ νοῦν, καὶ πυρίνους δεικνύοντα μεθέξει τοὺς πηλίνους, ἐβόας μαθηταῖς σου οἰκτίρμον· ὅθεν σὺν αὐτοῖς σε ὑμνοῦμεν εἰς αἰῶνας.

Νομίμων δίχα κόρη φύσεων τὸν νομοδότην τίκτεις, νόμου ἐξαίροντα τὸ σκιῶδες, καὶ τῆς χάριτος δωρούμενον τὸ φέγγος· διὸ τῷ νόμῳ τῷ τῆς ἁμαρτίας με ἀγνὴ χαλεπῶς νῦν τροπούμενον ἐλευθέρωσον, ψάλλειν τὸν κύριον ὑμνεῖτε τὰ ἔργα.

Ἄπορεῖ πᾶσα γλῶσσα.

Ἠπορημένην καὶ κεκακωμένην τὴν κτίσιν κατελέησας, μόνος ὡς ὑπάρχων ἐλεήμων καὶ οἰκτίρμων, σάρκα ἀνθρωπίνην εἴληφας, καὶ διὰ πάθους τὸν ἰσχυρὸν δεσμεύσας ἀνέδραμες Χριστὲ ἄνω πρὸς τὸν πατέρα, πληρώσας δόξης τὰ σύμπαντα.

Τί ἀθυμεῖτε; τί δὲ ἐκθαμβεῖσθε; ἐβόων τοῖς ἀποστόλοις, ἄγγελοι ἱστάμενοι σὺν τούτοις ἐν τῷ ὄρει· οὗτος Ἰησοῦς ὃν βλέπετε ἀναλήφθέντα, οὗτος ἐν δόξῃ πάλιν ἐλεύσεται πολλῇ, κρῖναι τὴν οἰκουμένην, καὶ πᾶσι νεῖμαι τὰ ἄξια.

Ὁ τὴν εἰρήνην δοὺς τοῖς ἱεροῖς μαθηταῖς σου, τῷ πνεύματι σου πάντας εὐλογήσας, οἰκτίρμον θεοῦ λόγε, ἐκ τοῦ πονηροῦ συντήρησον ἀπαρατρώτους· ὅπως τὸ σὸν ποιήσαντες θέλημα Χριστὲ, πάντες τῆς βασιλείας σου ἅμα ἀξιωθείημεν.

Φωτὸς δοχεῖον πᾶσαν τοῦ φωτίσαντος κτίσιν ἐδείχθης μόνη ἄχραντε πανάμωμε Μαρία θεοτόκε· ὅθεν δυσωπῶ σε, φώτισον τὴν σκοτισθεῖσαν ταῖς ἡδοναῖς τοῦ βίου ἀθλίαν μου ψυχὴν, ὅπως ὡς ἐν ἡμέρᾳ ταῖς θείοις τρίβοις πορεύσωμαι.

ΤΕΛΟΣ.

Digitized by Google

EDITORIS MONITUM

Post editam in superiore volumine copiosam S. Sophronii de SS. MM. Cyro ac Iohanne eorumque miraculis historiam, piaculum mihi videbatur, si duas alias in eodem codice, et quidem priore loco, scriptas historias omitterem; quarum ambarum, vel certe alterutrius, auctor fuit idem Sophronius, ut in sequentibus patefiet. Prima incipit: ὁ θεαρχικὸς ἡμῖν λόγος; *secunda in codice est acephala; in utraque autem commemorantur S. Cyrilli de iisdem Martyribus oratiunculae, antehac incognitae et ineditae, quae reapse in codice inter utramque historiam sunt interpositae. Atque haec quidem omnia in codice graeco pervetere, qui fuit olim in monasterio Cryptae ferratae, nunc vero in Vaticana bibliotheca sub numero* 1607. *custoditur. In latino autem aeque vaticano* 5410, *prior quidem historia non legitur, quia codex est acephalus, neque a praedicto graeco sumptus (id quod diversus materiae ordo quantitasque demonstrant); secunda autem ibidem legitur, sed initio carens, Cyrilli tamen oratiunculis terminata. Graece utraque historia inedita est; latine vero primam edidit abs se elaboratam, sed cum ingenti varietate, Otho Zylius apud Bollandum, ut deinde dicemus. Secundam ne latine quidem quisquam ediderat; nam et illa, quam recitat Surius ad diem XXXI. ianuarii, plane diversa est.*

Commode autem accidit ut Ioh. Mabillonius in suo Musaeo italico T. I. part. 2. *p.* 83-84. *praefationis quamdam particulam evulgaverit in universum opus sophronianum, quam esse Anastasii bibliothecarii non sine causa iudicavit; cui praefationis fragmento subtexuit initium historiae illius incipientis* ὁ θεαρχικὸς ἡμῖν λόγος, *latino interprete Anastasio; quae quidem Anastasii lucubratio a Mabillonio vix indicata,*

Digitized by Google

in vaticanis codicibus non occurrit. Ceteroquin alteram historiolam cum adiunctis Cyrilli dictionibus ex vati cano codice sumpsimus, quam item ab interprete Anastasio profectam demonstrat distichum coronidis loco additum, in quo se ipse Anastasius nominat. Sic ergo Mabillonius op. cit. p. 84. scribit: « Superioribus Anastasii praefationibus (quas in » eodem opere Mabillonius exhibet) visum est etiam hanc, » tametsi mutilam, subiicere ex veterrimo codice bibliothe- » cae nostrae sancti Petri apud Carnutas. Huiusce passio- » nis historiam, ab Othone Zylio Soc. I. ex graeco latine » redditam, cum Anastasii versionem non vidisset, Bolla n- » dus edidit ad ianuarii diem XXXI. Sed quem ille incer- » tum auctorem existimavit, is est sanctus Sophronius Hie- » rosolymorum antistes, ut ex hac praefatione constat. Ana- » stasii nomen, quod in vitioso atque ex situ corrupto exem- » plari oblitteratum erat, ex coniectura restituimus, quod » tempus atque stilus Anastasio conveniant.

ANASTASII BIBLIOTHECARII

PROLOGUS MUTILUS

in versionem passionis ss. Cyri et Iohannis.

Non me . . . pusillitatem meam cogere volueris, passionem sanctorum Cyri atque Iohannis ex graeco in romanum vertendi sermonem: et qua pro causa, tanta nos ad hoc instantia in aliis multis inplicitos urseris, mecum tractavi. Sed aliud nihil prorsus occurrit, nisi quia caritatis fraternae tenêris affectu, gestientis profecto, non solum graece sed et latine accedentes proximos salutaris pabulo verbi reficere, et ad pia exempla, et horum fortes pro Christo agones accendere: praesertim

Digitized by Google

cum ecclesia, in qua divinis penes Urbem (1) cultibus et obsequiis incumbis, horum victoriosissimorum Martyrum memoria, immo miraculis fulgeat, et horum annuae celebritatis en dies festus immineat. Ergo prout potui, caritati tuae satisfeci, et omisso parumper opere prae manibus habito, votis parere tuis etiam languidus malui. Sane passionis horum duas editiones . . . . Huius autem scriptor sanctus Sophronius, qui post hierosolymitanus claruit episcopus, extitit, cuius celebris memoria in multis maiorum conscriptionibus, sed et in sancta sexta et universali synodo (2) repperitur : praesertim cum nonnulla ad instructionem multorum opuscula ediderit, et sana orthodoxae fidei dogmata praedicaverit. Sed et horum insignium Martyrum non tantum passionem, verum etiam septuaginta, qui numerus apud nos sacratus est (3), capitula miraculorum ipsorum conscripserit; quin potius principibus mundi non solum christianae sed et externae religionis pro domo Domini murum inexpugnabilis veritatis opposuerit, et constantia fortis invectionis arguerit. Quorum videlicet miraculorum Bonifatius consiliarius ad petitum Theodori primicerii, defensoris ecclesiae romanae duodecim cum praefatione (4) capitula olim interpretatus est. Cetera si, Deo auctore, vita fuerit comes, nostri . . . . Deum orare . . . dissime Christi . . . sacerdotis sacerdos. Data

(1) De SS. MM. Cyri et Iohannis sacra aede prope urbem romanam adhuc superstite, diximus in praefatione superioris voluminis.

(2) Nimirum in eo concilio recitata est synodica Sophronii epistola, quae adhuc superest.

(3) De hoc numero multa disserit ipse Sophronius in sanctorum laudatione.

(4) Nimirum est illa προθεωρία a nobis in superiore voluminе edita.

Digitized by Google

IIII. kalendas februarii, indictione VIII., anno vero domini nostri (Iohannis) octavi papae.

Sume sacer tandem sanctorum laetus agones,
Qui fuerunt facti graii, nunc arte latinos.

Incipit textus passionis.

Divinus nobis sermo, qui vere veritas est, Christus videlicet Deus noster in evangeliis altisone praedicat, dicens, omnia possibilia credenti. Beatus quoque Paulus . . . .

Pergit vero Mabillonius dicere. «*Anastasii versio magis lit-*
» *terae inhaeret, quam illa Bollandiana, in qua omissum*
» *est nomen loci in Arabia, ubi Cyrus et Iohannes mona-*
» *sticam vitam professi sunt, de quo sic Anastasius* » : Ad
» Arabiam quae est Aegypti maritima venit, et in castel-
» lo, quod vocatur Cetzo habitavit, et cum habitatione
» etiam habitum commutavit. *Idem artis medicae officinam*
» *vocat* ergasterium, *quod nos laboratorium appellamus.* »

Vides igitur duas fuisse operis de SS. Cyro et Iohanne editiones, cuiusmodi reapse sunt in nostro codice, quarum utramque interpretatus est Anastasius, ut de prima Mabillonius, de secunda distichum vaticani codicis fidem facit. Nos autem prioris interpretationem in vaticano codice non habemus; quare eius initium tantummodo adscripsimus ex Mabillonio; alterius tamen partem maximam in vaticano codice invenimus. Ceteroqui neque prioris interpretationem zylianam damus, quia gravissime variat; neque secundae defectum latine supplemus, quae tum graece tum latine acephala est. Et quidem vaticanus latinus codex non fuit desumptus ex graeco Cryptae ferratae, qui paulo altius incipit, sed ex latino vetere Canonicorum S. Mariae in via lata, qui nusquam iam apparet, ut dixi alibi.

Digitized by Google

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ
ΚΑΙ ΜΕΡΙΚΗ ΤΩΝ ΘΑΥΜΑΤΩΝ ΔΙΗΓΗΣΙΣ
ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΑΝΑΡΓΥΡΩΝ

ΚΥΡΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ.

1. Ὁ θεαρχικὸς ἡμῖν λόγος, ἡ ὄντως ἀλήθεια Χριστὸς ὁ θεὸς ἡμῶν, ἐν εὐαγγελίοις διαῤῥήδην κηρύττει οὕτως, πάντα δυνατὰ τῷ πιστεύοντι. Παῦλος δὲ ἡμῖν, τῆς ἀποστολικῆς ὁ κήρυξ ἀκρότητος, αὐτοῦ τοῦ Χριστοῦ δηλαδὴ λαλοῦντος ἐν ἑαυτῷ θεσπεσίως βοᾷ, τὴν ἐλπίδα μὴ καταισχύνειν· πρὸς τούτοις ἡμᾶς ἡ ἀγάπη τοῦ ἀγαπήσαντος, καὶ ὑπὲρ ἡμῶν ἑαυτὸν δόντος, πάλιν αὐτοῦ φημὶ τοῦ σωτῆρος ἡμῶν, διὰ τῆς τῶν μαρτύρων πολιτείας καὶ ἐπιστασίας ἐπεθάῤῥυνεν, τοῖς ὑπὲρ ἡμᾶς ἐπαφῆναι, καὶ βίον οἷόν τε εἰπεῖν τῶν ἁγίων Κύρου καὶ Ἰωάννου μερικῶς, ἐκ πολλοῦ τοῦτο ἐφιεμένους· ταυτὸν δέ ἐστιν εἰπεῖν πολιτείαν, ἀλλά γε καὶ τὴν ὑπὲρ Χριστοῦ τοῦ θεοῦ ἡμῶν λαμπράν τέ αὐτῶν καὶ ὑπερκόσμιον ἄθλησιν· καὶ δὴ θαυμάτων ἤγουν ἰάσεων ὀλίγων ἐκ πολλῶν, ὧν ἡμεῖς αὐτόπται καὶ ὑπηρέται γεγόναμεν (1), ἀλλὰ καὶ ἐσμὲν θείᾳ χάριτι, τούτων λαχόντες πρὸς σωτηρίαν, εἰ τελωνῶν τελωνάτερι, μνημονεύσωμεν πρὸς τὴν τῶν ἐντυγχανόντων ὀφέλειαν.

2. Κῦρος οὖν ὁ ἀοίδιμος πόλεως μὲν ὑπῆρχεν τῆς μεγίστης Ἀλεξάνδρου πολίτης· ἔκ τινων δὲ ἔφυτο κατὰ σάρκα, οὐκ ἴσμεν· τῇ δὲ πνευματικῇ γεννήσει πατέρα μὲν τὸν

(1) Confer in praecedente volumine protheoriam atque laudes sanctorum MM. Idem quippe auctor Sophronius est.

Digitized by Google

Θεὸν ἔχων, τὸν δι' ὕδατος αὐτὸν καὶ πνεύματος ἀναγεννήσαντα· μητέρα δὲ τὴν ὀρθόδοξον τοῦ πατρὸς ἐκκλησίαν· ἰατρὸς τὴν τέχνην, οὗ τὸ ἐργαστήριον μέχρι τοῦ νῦν πᾶσιν δῆλον πέφυκεν, εἰς ναὸν ὑπάρχον τῶν ἁγίων τριῶν παίδων, διὰ τῆς αὐτῶν τῶν μαρτύρων χάριτος βρῦον ἰάματα· πῶς δὲ συνέβη ἐν τῷ ναῷ τὸ ἐργαστήριον γενέσθαι τῶν ἁγίων παίδων, εὔλογον οἶμαι ὡς ἐν ἐπιδρομῇ ἐξειπεῖν· πολλὴν γὰρ εὖ οἶδα παράσχει τοῖς ἐντυγχάνουσιν τὴν ὀφέλειαν.

3. Ἀπολινάριος ὁ μέγας τῆς ἀλη[θείας] (1).... αὐτῶν λιπαρῶν, εἰς τὸν ναὸν ὀφείλων κατατεθῆναι, ὃ αὐτὸς δι' ἐπιθυμίας αὐτοῖς πολλῆς ἀνεστήσατο· ὁ δὲ σεπτὸς οὗτος καὶ παγκόσμιος τῆσδε εὐαγοῦς προστάξεως ἀμελήσας οὐδέν, τὴν Βαβυλῶνα κατέλαβεν, καὶ τοῖς ἁγίοις (2) τὰ θεσπέσια γράμματα δεδωκώς, τάδε πρὸς αὐτοὺς διεξίει· ἅγιοι· ὁ τοῦ θεοῦ ἀρχιερεὺς καὶ δοῦλος ὑμῶν ταύτην ὑμῖν πέπομφεν τὴν δεητικὴν ἐπιστολήν, ἣν δεξάμενοι, δότε τὴν ἀνταπόκρισιν· τούτων οὕτως λεχθέντων, ὁ μέσος ἀνακαθίσας, τὴν χεῖρα τε προτείνας, τὴν ἐπιστολὴν πρὸς ἑαυτὸν ἐπεσπάσατο· καὶ πάλιν ἀνακλιθεὶς ἀναπόκριτον τὸν ἄνδρα κατέλιπεν· ὡς δὲ πᾶσαν τὴν ἑβδομάδα δυσωπῶν ἀββᾶς οὐκ ἔτυχεν ἀποκρίσεως, πρὸς τὸν ἀποστείλαντα ἄπρακτος ἐπανῆλθεν, τὸ συμβὰν δηγούμενος.

(1) Deest unum folium. Lacunam autem ex interpretatione latina Zylii apud Bollandum metiri licet.

(2) Loquitur de tribus ss. pueris babylonicis, quibus templum Alexandriae excitaverat Apollinaris urbis antistes, et quorum reliquias adpetebat atque impetravit, demumque in trium puerorum alexandrino templo collocavit, quo in loco olim S. Cyri ergasterium medicum fuerat, et adhuc demonstrabatur.

Digitized by Google

4. Ὁ δὲ τὴν πίστιν ἀπρόσκοπος, καὶ ἀγαθὸς τὴν συνείθησιν τοῦ Θεοῦ ἀρχιερεὺς προσφιλέστατος, πάλιν ὡσαύτως ἐκπέμπει τοῦτον τὸν Θεάρεστον ἄνδρα εἰπὼν, ἄπιθι φησὶν ἔτι, καὶ αἴτησαι παρ' ἐμοῦ τοὺς ἁγίους· καὶ εἰ μὲν δέξωνταί σου, κἂν ἀπὸ τοῦ παρόντος τὴν δέησιν, ἐπεί τοι γε τὴν ἐπιστολὴν ἀναλαβὼν ἀπεκόμιζε, ἵνα ἀντὶ λειψάνων ταύτην εἰσδέξωμαι, ὡς παρ' αὐτῶν δεχθεῖσαν καὶ ἤδη ἡγιασθεῖσαν· εἶξας δὲ τῷ πατρὶ ὁ τοῦ Χριστοῦ κατὰ πάντα καὶ πράξει καὶ θεωρίᾳ ὑπήκοος, τὴν Βαβυλῶνα πάλιν κατείληφεν· καὶ αὖθις τοὺς ἁγίους ἱκετεύων ἔλεγεν· τρισμακάριοι μάρτυρες, ὁ ἀρχιερεὺς τοῦ Θεοῦ με πρὸς ὑμᾶς πάλιν αἰτῶν ἐξαπέστειλεν· μὴ οὖν αὐτὸν ἀτιμάσητε τοιοῦτον ὑμῖν ναὸν δημάμενον μέγαν τε καὶ ὑπέρλαμπρον, πόθῳ τῷ πρὸς ὑμᾶς ἐναγόμενον· ὡς δὲ ἔτι αὐτὸν ἀναπόκριτον εἶσαν οἱ ἅγιοι, τὴν ἐπιστολὴν εἰς πέρας ἀγαγεῖν τοῦ ἀρχιερέως, ἔκ τινος θείας παρωρμήθη κινήσεως· καὶ τῷ στήθει τὴν χεῖρα βαλὼν, ἐκεῖ γὰρ εἶχεν τὴν ἐπιστολὴν, χειρὶ κατέχων ὁ ἅγιος, ταύτης λαβόμενος εἵλκε πρὸς αὐτὸν εὐσεβῶς ὁ μακάριος· συνείπετο δὲ ἡ παναγία χεὶρ κατέχουσα τὴν ἐπιστολὴν, ἣν σεβασμίως ἀγκαλισάμενος, σὺν τῷδε τῷ ἀθίκτῳ καὶ προσκυνητῷ θησαυρῷ τὴν πόλιν κατέλαβεν, ἔργῳ τοῦ πανιέρου προστάγματος τὴν πρὸς Θεὸν ἐλπίδα δεικνὺς ἀκαταίσχυντον.

5. Ἣν δεξάμενος ὁ μέγας ἀρχιερεὺς τοῦ Θεοῦ, χαίρων ὁμοῦ καὶ ἀγαλλόμενος τὸν ἀδελφιδοῦν πρὸς ἑτοιμασίαν τοῦ γάμου παρώτρυνεν· κηρύξας δὲ τῷ λαῷ τοῦ ναοῦ τὰ ἐγκαίνια, χαρᾷ θείᾳ ἐναβρυνόμενος, καὶ τῇ ἑξῆς σὺν ὅλῳ κλήρῳ παραγενόμενος, ἐναποθεὶς τὴν τιμίαν καὶ σεπτὴν ἐκείνην χεῖρα τοῦ ἁγίου ἅμα τῇ κατεχομένῃ παρ' αὐτῆς δεκτικῇ ἐπιστολῇ, ὡς δέον ἦν, εὐσεβῶς ἐτεθῆναι, καὶ τὴν

Digitized by Google

ἐκκλησίαν ἁγιάσας, τὸν ἀδελφιδοῦν ἐχειροτόνησεν, εἰπὼν πρὸς αὐτόν· ἰδοὺ ἡ γυνή σου, τὴν ἐκκλησίαν λέγων, καὶ φρόντιζε αὐτῆς, ὡς πρέπον ἐστίν· τούτου γενομένου πολλὴν παρέσχε τῷ νέῳ τὴν εἰς Θεὸν προκοπὴν καὶ ἐλπίδα· ἀμέλει τοιγαροῦν καὶ ἁγνείας ἐραστὴν αὐτὸν ἀπειργάσατο, καὶ θείων ἀρετῶν ἐργάτην ἀπέδειξεν· καὶ θέλημα τοῦ φοβουμένου αὐτὸν ἀρχιερέως εἰσακούσας ἐποίησεν.

6. Ἰατρὸς οὖν ὡς εἴρηται τυγχάνων, ὡς φθάσαντες μικρῷ πρόσθεν ἔφημεν, ὁ ἅγιος κοσμικῶς μὲν τὸ σχῆμα, ἀλλ' οὐ τὴν γνώμην, τὰς ἰατρείας ἀσκούμενος, οὐ σώματα μόνα τῶν καμνόντων ἰάτρευεν, ἀλλὰ καὶ ψυχὰς ἀξίας ἐξ ὧν νοσημάτων κατείχοντο, καὶ ἐξήγαγεν τῶν ἀλλοτρίων τῆς πίστεως, οὐκ ἐκ τῶν Γαληνοῦ καὶ Ἱπποκράτους καὶ τῶν ὁμοίων αὐτοῖς συγγραφῶν τοὺς ἀῤῥώστους ἐν ταῖς ἐπισκέψεσι παραμυθούμενος, ἀλλὰ προφητικῶν αὐτοὺς καὶ ἀποστολικῶν τε ἅμα καὶ εὐαγγελικῶν παραινέσεων πρὸς τὴν ὄντως ῥῶσιν καὶ ζωὴν ἐφελκόμενος, καὶ τῆς Χριστοῦ τοῦ Θεοῦ ποίμνης συναρίθμους ποιούμενος, καὶ τῆς τῶν οὐρανῶν βασιλείας κληρονόμους ἀναδεικνύμενος.

7. Τοῦτον ἰδὼν ὁ μισόκαλος δαίμων πολλοὺς τῷ Χριστῷ προσάγοντα, τῷ τῆς πόλεως ἄρχοντι δι' ἀνθρώπων πονηρῶν κατεμήνυσεν, ὡς γαλιλαῖός τις ἰατρὸς τὴν ἐπιστήμην, ἅπαντα μικροῦ δεῖν τῆς πόλεως τὸν λαὸν ἀπεπλάνησεν, καὶ τῆς τῶν Θεῶν ἀπέστησεν προσκυνήσεως· καὶ ἐν Ἰουδαίοις ἐσταύρωσαν Ἰησοῦν, ὡς θεὸν παρεσκεύασεν σέβειν, καὶ τὴν πατρῴαν ἡμῶν ἐξαφανίζει θρησκείαν· τούτοις ὑπτιασθεὶς ὁ δείλαιος καὶ ὑπερζέσας ἀνιάρῳ θυμῷ, συσχεθῆναι τὸν ἅγιον τὸ τάχος προσέταξεν· τοῦτο μαθὼν ὁ μακάριος, καὶ πρὸς Ἀραβίαν τὴν Αἰγύπτου πάραλον ἔρχεται,

Digitized by Google

καὶ Τζώτην οὕτω καλουμένην ὤκησε κώμην· τῇ δὲ οἰκήσει καὶ τὸ σχῆμα μετήλλαξεν· τὴν γὰρ κεφαλὴν ξυρισάμενος, τὸ σχῆμα τὸ μοναχικὸν ἀμφιέννυται, καὶ τὴν χαμαίζηλον καὶ φθαρτὴν ὑπερκύψας βιοτὴν, καὶ πρὸς τὰ μετέωρα διαβεβηκὼς, ὑπέρτερος ἐντεῦθεν πράξει τε καὶ θεωρίᾳ γέγονεν, μηκέτι τὰς νόσους ἐκ ποικίλων φαρμάκων ἰώμενος, οὔτε βρετανῶν χρώμενος βοηθήμασιν, ἀλλὰ εὐχῇ μόνῃ καὶ διδασκαλίᾳ εὐσεβεῖ τῶν ἀνιάρων ἐκ τῶν ἀνιάτων ἀλγηδόνων τὰς ψυχὰς ἀπήλλαττεν καὶ τὰ σώματα.

8. Τότε Δισκλητιανοῦ τὰ ῥωμαίων σκῆπτρα διέποντος δυσσεβῶς, καὶ πάντη διωγμὸν ταῖς ἐκκλησίαις ἐγείραντος, μαθὼν Ἰωαννης, αἰδέσιμος δὲ οὗτος ὃς καὶ κατὰ σάρκα ἐκ γένους ὑπεροχώτατος ἐτύγχανεν, οὔπω μὲν πολίτης ἦ τῆς πίστεως ἐγνωρίζετο, τῇ δὲ στρατιωτικῇ ἀξίᾳ διαπρέψας, τὰ Ἱεροσόλυμα κατελάμβανεν, καὶ τὴν εὐχὴν τῷ θεῷ ἀπεδοὺς τὴν εὐάρεστον, εἰς Αἴγυπτον ἔρχεται, τῆς φήμης αὐτὸν πρὸς Κῦρον ἐλκούσης τὸν ἅγιον, καὶ ὡς ὁμοπίστῳ τῷ μακαρίῳ συνῴκησεν· καὶ πρὸς ἀρετὴν, ὁρῶν τὰς ἰάσεις ἐπιτελουμένας, ἐξετείνετο πλείονα· τοῦ διωγμοῦ δὲ σφοδρότερον ἐποφλύζοντος, καὶ Κασιανοῦ τῆς ἐν Κανώπῳ ἑλληνικῆς ἱερατεύοντος ματαιότητος, παρθένους τρεῖς τὸν τόπον οἰκούσας, Χριστὸν δὲ μνηστευσαμένας, αἱ πρὸς τὴν ἄγραν ταύτην ἀφωρισμένοι συνέλαβον, καὶ ταύτας σὺν μητρὶ Συριανῷ προσφέρουσιν τῷ τῆς πόλεως ἄρχοντι· τότε τὰ περὶ αὐτῶν ἀκηκοὼς Κῦρος ὁ ἅγιος, καὶ φόβῳ συσχεθεὶς ὡς φιλόχριστος, μὴ τὰς βασάνους ὡς μικρὰ τὰ μειράκια θελιάσαντα, τὸν Χριστὸν ἐξομώσωνται καὶ τὴν πίστιν ἀρνήσονται διὰ τὸ τῆς ἡλικίας λίαν βραχύτατον· καὶ γὰρ Θεοκτίστη πέντε καὶ δέκα ὡς πρεσβύτις αὐτῶν προσετυγ-

Digitized by Google

χανεν· ἡ δὲ ταύτης δευτέρα Θεοδότη ἔτος διήνυεν τρισκαιδέκατον· Εὐδοξία δὲ ἡ τούτων ὑστάτη ἔτος ἦγεν ἐνδέκατον· Ἀθανασία δὲ τούτων ἡ μήτηρ φερωνύμως ἐλέγετο· τῆς γὰρ ὄντως ἀθανασίας κληρονόμος ἐγένετο σὺν τοῖς αὐτῆς ποθεινοτάτοις γεννήμασιν· δι' ἃς, εἰπόντες ὡς ἔφθημεν, δειλιάσας Κῦρος ἅγιος σὺν Ἰωάννῃ τὴν πόλιν εἰσδύεται, καὶ τὰς λεχθείσας ἁγίας πρὸς τοὺς ἀγῶνας ἀλείφων ὑπὲρ φύσιν διήγειρεν, καὶ τῶν βασάνων κατατολμᾷν, καὶ μὴ δειλιᾷν διὰ τὴν Χριστοῦ τοῦ μνηστῆρος βασιλείαν ἔπειθεν, τοὺς τῆς ἁγνείας αὐταῖς στεφάνους ὑπέγραφεν, καὶ χαρᾶς λῆξιν καὶ εὐφροσύνην τέλος μὴ ἔχουσαν.

9. Ἀλλ' ὁ ἀλιτήριος ἐχθρὸς πάλιν διὰ τῶν ἀνιάρων ὑπηρετῶν αὐτοῦ φανερὸς τοὺς ἁγίους πεποίητο, καὶ τῷ ἄρχοντι διαῤῥήδην γνωρισθέντες, τούτου τὴν διάνοιαν ἀπημαύρωσαν· πρὶν ἢ γὰρ τῇ αὐτοῦ ἀτάκτῳ τάξει οἱ ὑπηρέται ἀγάγωσι, (καταμηνύουσιν) ὡς δύο τινὲς μονάζων τὲ καὶ καὶ στρατιώτης τὰς προσενεχθείσας παρθένους πλανῶντες, τοῖς θεοῖς φέρειν τὴν δέουσαν οὐ συγχωροῦσιν λατρείαν, καὶ τυραννοῦσιν τὸν Καίσαρα, μὴ πειθομένας αὐτοῦ τοῖς προστάγμασιν, ἀλλὰ Ἰησοῦν λέγουσι βασιλέα εἶναι αἰώνιον· Συριανὸς δὲ οὗτος ὁ θεήλατος ἡγεμὼν πρὸς τὰ λεχθέντα βρύξας, ἄγεσθαι καὶ αὐτοὺς τοῖς στρατιώταις προσέταττεν πρὸ τοῦ βήματος, καὶ πρὸς αὐτοὺς ἔφησεν· ὦ δύστηνοι καὶ θεῶν ἐχθροὶ τῶν μακαρίων, θανάτου τε ἄξιοι, τίνος ἕνεκα τὰς παρθένους εἴκειν τοῦ Καίσαρος οὐκ ἐᾶται τοῖς θεσπίσμασιν; ἢ μᾶλλον πεφύκατε ὡς ὑμεῖς αὐτοὶ τύραννοι τοῦ αὐτοκράτορος ῥωμαίων τυγχάνετε, τῆς βδελυρᾶς τῶν Χριστιανῶν θρησκείας ὑπάρχοντες; μετανοήσαντες τοίνυν, τοὺς μεγίστους ὑμῖν θεοὺς ἱλεώσασθε, καὶ τιμὰς πα-

Digitized by Google

ρὰ βασιλέως οὐ τὰς τυχούσας κομίσοισθε· οἱ δὲ πρὸς αὐτὸν ἀπεκρίθησαν· ἡμεῖς ὦ Συριανὲ τιμὰς ἀτίμους οὐ προσιέμεθα, πρόσκαιρα γάρ εἰσι τὰ βλεπόμενα· οὔτε δαιμόνων ξοάνοις τὴν μόνην πρέπουσαν θεῷ λατρείαν προσφερομεν· ἀλλ' οὔτε Χριστὸν ἀρνησόμεθα τὸν πάντα ποιήσαντα, ὃν βασιλέα αἰώνιον ἔχοντες, δωρεὰς παρ' αὐτοῦ ἐπηγγειλαμεθα, θανάτου κρείττους, καὶ πρὸς λῆξιν οὐχ ὁρῶσας, στεφάνων δὲ πλήρεις καὶ τρυφῆς ἀθανάτου.

10. Πρὸς οὓς οἰμώξας ὁ Συριανὸς καὶ τοὺς ὀδόντας βρύξας εἶπεν· ἔδει μὲν ὑμᾶς τῇ φιλανθρωπίᾳ πειθομένους τοῦ νόμου, κερδῆσαι τὴν σωτηρίαν· ἐπειδὴ δὲ τύφῳ κεκράτησθε, πληγαῖς ὑμᾶς εἴξειν τοῖς προστάγμασιν πείσω τοῦ αὐτοκράτορος· ταῦτα εἰπὼν, τὰς παρθένους ἔμπροσθεν αὐτοῦ γενομένας παρέστησεν, καὶ πᾶν εἶδος βασάνων τοῖς ἁγίοις ἐπέφερεν· ὡς δὲ μάστιξιν πλήξας καὶ ῥοπάλοις, πυρί τε φλέξας καὶ ὀξάλμῃ βρέξας, τὰ φλεχθέντα μέλη τριχίνοις ῥάκεσιν προστρίβειν ἐκέλευσεν· παντί τε εἴδει, ὡς λέλεκται, βασάνου χρησάμενος ῥωμαλαιωτέρους ἑώρα τοὺς μάρτυρας, καὶ ὡς ἐν ἀλλοτρίοις πάσχοντας σώμασιν, καὶ σφοδρότερον ἀντιλέγοντας, πίσσῃ τε βραττούσῃ τοὺς πόδας ἐπλήρωσεν· καὶ πολλοὺς (ὁρῶν) ἐφελκομένους πρὸς μίμησιν, καὶ τῇ πίστει προσαγομένους ταῖς καρτεραῖς ἀντιστάσεσιν· ἐν γὰρ τῇ ὑπομονῇ τῶν τοσούτων, καὶ τῆς τῶν μαρτύρων ἀλύπου φαιδρότητος, οἱ πολλοὶ τῆς μελλούσης ζωῆς τὰ τῆς ἀφθαρσίας εἰκονίζοντο ἔπαθλα· μεταστῆναι κελεύσας τοὺς μάρτυρας, πάλιν τὰς παρθένους ἐκέλευσεν αἰκίζεσθαι ἅμα τῇ φιλοθέῳ μητρὶ· ὡς δὲ πρὸς κέντρα λακτίζων, καὶ ταύταις ἥττατο ἐκ τῶν μαρτύρων τὴν τοῦ μαρτυρίου ἀπαλειφομέναις γενναιότητα, τέλος τὸν ψῆφον ἀπέφηνεν, καὶ

Digitized by Google

τὰς κεφαλὰς αὐτῶν τμηθῆναι ἐκέλευσεν τῶνδε τῶν τοῦ Χριστοῦ νυμφῶν, σὺν τῇ γεννησαμένῃ προσέταττεν.

11 Κῦρον τε πάλιν καὶ Ἰωάννην τοὺς μάρτυρας ἐβασάνιζεν, καὶ κυμάτων δίκην προσρησσόντων πέτραις πάλιν ἐλύετο· ὡς δὲ πεῖθειν τοὺς ἁγίους οὐκ ἴσχυσεν, οὐ θωπείαις, οὐ παρακλήσεσιν, οὐ νουθεσίαις, οὐ τιμῶν προτάσει μεγίστων ὡς ὤφετο, οὐ μάστιξιν, οὐ πίσσῃ βραττούσῃ, οὐ θερμῷ ὕδατι, οὐ πυρὶ, οὐ τοῖς στρεβλωτικοῖς τῶν μελῶν ὀργάνοις, ἀποκαμὼν καὶ τούτοις τὴν ψῆφον ἐπήγαγεν φήσας εὐτως· Κῦρον τὸν τῶν γαλιλαίων προστάτην, καὶ Ἰωάννην τὸν τούτου ὁμόφρονα, τοῖς θεσπίσμασι τῶν αὐτοκρατόρων μὴ εἴξαντας, καὶ τοῖς μεγίστοις θεοῖς λατρεύειν οὐχ ἑλομένους, κεφαλικῇ τιμωρίᾳ ὑπάγομεν· καὶ ταύτῃ τῇ ψήφῳ τὸν τῆς ἀφθαρσίας ἀνεδήσαντο στέφανον· ἡμέραν εἶχεν τριακάδα πρώτην μὴν ἰαννουάριος, ὅτε τὴν πίστιν τηρήσαντες, τὸν δρόμον οἱ ἅγιοι τὸν ἀθλητικὸν ἐκτετέλεκαν· παρθένοι μὲν καὶ Χριστοῦ νύμφαι τρεῖς Θεοκτίστη, Θεοδότη, καὶ Εὐδοξία, καὶ ἡ ταύτας βλαστήσασα καὶ εὐσεβῶς ἀναθρεψαμένη Ἀθανασία, Κῦρος τε ὁ ἀββᾶς ὁ φιλόθεος, καὶ Ἰωάννης στρατιώτης ὁ τοῦτου ὁμόπιστος καὶ ὁμότιμος· καὶ τὰς μὲν τρεῖς ἁγίας παρθένους σὺν τῇ τεκούσῃ κατὰ ἀνατολὰς ναοῦ τοῦ ἁγίου Μάρκου κατέθεντο, ἐν αὐτῷ δημάμενοι σορὸν πρέποντα· Κῦρον δὲ τὸν ἀοίδιμον καὶ Ἰωάννην τὸν Κύρου συμμάρτυρα ἐν αὐτῷ τῷ εἴκῳ τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου κατέθεντο ἐν θήκῃ μιᾷ.

12. Κρόνου δὲ προελθόντος οὐκ ὀλίγου, ὡς καθαίρεσιν μὲν τῆς ἑλληνικῆς τυραννίδος γενέσθαι, καὶ χριστιανοὺς τὰ σκῆπτρα κρατύναι τῆς ῥωμαίων ἀρχῆς, Θεοδοσίου τε τοῦ

Digitized by Google

μεγάλου τὴν βασιλείαν κατέχοντος, καὶ ταύτην πίστεως ἔργοις κοσμήσαντος, ὡς βίβλοι ἐκκλησιαστικοὶ μαρτυροῦσιν τῶν ἱστοριογράφων, καὶ αὐτὰ δὲ βοᾷ πᾶσιν τὰ πράγματα· μιᾶς δ' οὖν αὐτοῦ καὶ ἡμεῖς ἀρετῆς μνημονεύσωμεν πρὸς τὴν τῶν εἰρημένων ἀπόδειξιν· πόλεμον αὐτῷ φασὶν ἐκ τῶν δυτικῶν κεκινῆσθαι μερῶν, πλείστων ὅσων ἐθνῶν ἔκ τινος συμφωνίας ἐπαναστάντων, καὶ ἐθνῶν ἔθνεσι μιγνυμένων, καὶ ἐν τοῖς προλαβοῦσιν συῤῥεόντων χειμάῤῥων ὥσπερ ἀλλήλοις ἐπιῤῥεόντων, καὶ θάλατταν ἀπεργαζομένων τῷ πλήθει τοῦ ὕδατος, ἣ δίκην ἀκρίδος καὶ ψάμμου ἀριθμὸν οὐκ ἐχόντων· τὸν εὐσεβῆ δὲ τοῦτον Θεοδόσιον μὴ πρὸς ἑτέρων ἐθνῶν προτρέπειν ἐλθεῖν εἰς πρεσβείαν σπουδὰς ἐμπράξαι, οἷα φιλεῖ ἐκ τῶν ἀνισχύρων ἐν κινήσεσι πολέμων γίνεσθαι, ὡς σύνηθες αὐτῷ πρὸς θεὸν ἐπανέδραμεν, καὶ πίστιν βοηθὸν ἐπεσπάσατο.

13. Μαθὼν γὰρ κατὰ τὴν Σκήτην, ἔρημος δὲ αὕτη ἐστὶν πρὸς Αἴγυπτον οὕτως ὀνομαζομένη, ἄνδρα τῷ γένει αἰγύπτιον, ἀρετῇ δὲ πάσῃ θεία κομῶντα, καὶ θείας ἠξιωμένον τῆς χάριτος, καὶ μείστων θαυματουργημάτων ἐργάτην ὑπάρχοντα, πρὸς Θεόφιλον εὐθὺς γράφει οὕτως· αὐτὸς γὰρ τῶν ἐν Ἀλεξανδρείᾳ Χριστεῦ πειμνίων τῷ κατ' ἐκεῖνο καιροῦ κηδεμὼν ἐγνωρίζετο, ὥστε τὸν προλεχθέντα θαυμάσιον ἄνδρα πρὸς αὐτὸν ἐκπέμψαι, παρακαλέσαντα βοηθεῖν αὐτῷ ταῖς πρὸς θεὸν ἱκεσίαις εἰς τὸν πόλεμον, πιστεύων ὀρθῶς καὶ εὔελπις ὢν, ὅτι πάντως γενήσεται· πρὸς ὃν ἐκδραμὼν ὁ ἐπίσκοπος, καὶ τὴν αἰτίαν ἐξειπὼν, ἀναβαίνειν πρὸς τὸν κρατοῦντα νουθετῶν ἐλιπάρει· ὁ δὲ Σενσύφις, τοῦτο γὰρ ὄνομα τῷ μακαρίῳ ἀνδρὶ (1), συγχω-

(1) Ex hoc nostro, ut reor, opusculo mutuatus est eamdem narrationem Glycas annal. part. IV. ed. Paris. p. 257.

Digitized by Google

ρεῖν αὐτῷ τὸν ἀρχιερέα ἱκέτευεν, ἁμαρτωλὸν ἑαυτὸν εἶναι λέγων καὶ ἀχρεῖον δοῦλον ἀπεκαλῶν τοῦ κυρίου· ἐπεὶ δὲ συγχωρήσεως τυχεῖν οὐχ οἷός τε γέγονεν, κατὰ ἀναστολὰς ἔστη, καὶ τὸ μαφόριον ὃ φέρων ἐπ' ὤμων εἶχε σὺν τῇ βακτηρίᾳ ταῖς χερσὶ διακατέχων, καὶ πρὸς οὐρανὸν ἀνατείνας, τάδε πρὸς αὐτὸν ἀνεβόησεν· κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν οἵαν περ μοι ἰσχὺν δέδωκας τῷ σῷ ἁμαρτωλῷ οἰκέτῃ, πάρασχε καὶ ταύτῃ μου βακτηρίᾳ σὺν τῷ μαφορίῳ· καὶ δοὺς αὐτὰ τῷ ἀρχιερεῖ, τάδε πρὸς αὐτὸν ἔφησε· ταῦτα πέμψας τῷ βασιλεῖ γράφε, τὸ μὲν μαφόριον περιβαλέσθαι τῇ κεφαλῇ, καὶ τῇ χειρὶ τὴν βακτηρίαν κατέχοντα, πρὸ παντὸς ἐξιέναι καὶ αὐτοῦ τοῦ στρατοπέδου αὐτοῦ εἰς τὸν πόλεμον καὶ τῶν ἐναντίων παράταξιν· εἴπερ γάρ με Χριστὸς ὁ Θεὸς ἡμῶν εἰς δοῦλον λελόγισται, καὶ τῆς ἐμῆς δεήσεως ἐπακήκοεν, καὶ τὴν νίκην διὰ τούτων τῇ πρὸς Θεὸν πίστει δωρήσεται.

14. Περιφθέντων τοιγαροῦν τῶν λεχθέντων, κοσμεῖται μὲν ὁ θεοστεφὴς Θεοδόσιος περικεφαλαίαν σωτηρίας ἐλπίδα τὸ μαφόριον, καὶ τῇ δεξιᾷ χειρὶ τὴν βακτηρίαν δεξάμενος, πρὸς τὸν πόλεμον ἐξῆλθεν πρῶτος τοῦ πιστωτάτου αὐτοῦ στρατεύματος· ὃν ὡς εἶδον οἱ βάρβαροι, πρὸς φυγὴν εὐθέως ἐτράπησαν, καὶ ἑαυτοὺς κατηνάλωσαν, βέλος παντελῶς ἢ πληγὴν παρὰ τοῦ στρατοῦ μὴ δεξάμενοι· καὶ μέχρι τέλους τῇ σωτηρίῳ ταύτῃ περικεφαλαίᾳ τὸν εὐσεβῆ καὶ φιλόθεον αὐτοκράτορα ἀντὶ παντὸς ἐν αὐτοῖς σεμνύνεσθαι διαθήματος· ἐν οἷς καὶ πάνδημον ἑορτὴν ἐν τῇ Ἀλεξανδρείᾳ ἄγουσιν, καθ' ἕκαστον ἔτος τὸ εἰκόνιον αὐτὴν ὀνομάζοντες· εἰκόνα γὰρ ἔχουσιν αὐτοῦ, λέγω δὴ τοῦ εὐσεβεστάτου βασιλέως Θεοδοσίου, τὴν μὲν κεφαλὴν τῷ μαφορίῳ κεκαλυμ-

Digitized by Google

μένην ἔχοντος, τῇ δὲ δεξιᾷ χειρὶ τὴν βακτηρίαν κατέχοντος, ἀεὶ τὸ θαῦμα κηρύττουσαν διὰ τῆς ἐτησίας αὐτῆς πανηγύρεως.

Praeterea cum in Phrygiae partibus Constantinus imperator tres milites stratilates misisset ad quamdam gentem acephalam vindicandi causa , quod praedati essent illorum affines , Nepotianum videlicet Ursum et Aspilionem , misit ad debellandum rebelles. Armata itaque navi egressi sunt urbe Constantinopoli , ac per aequora navigare coeperunt. Tunc, cum mira tempestate in finibus Myraeorum Lyciae fractis anchoris applicuissent , et ad portum adriaticum per vim venti fluctuassent , vir Domini commotus advenit festinus ; ibique repertis principibus illis , post salutationis officium , eos osculatus est ; ac deinde percunctatus est eos dicens : qui estis , aut unde ? pacem ne huc fertis , an arma? At illi : pater inquiunt sancte , pacifici sumus , et tempestas nos vestris appulit oris Iussu regis imperantis venimus , ut illos qui rebelles fuerunt praedantesque provincias , tres nostros iuvenes captivantes decapitari cupiunt. Tunc praesul alacriter eis conlocutus , invitavit ut pariter ad urbem proficiscentes ; iuvenum ei ostende-

Digitized by Google

rent necem. Quo peracto spatio, iam praedicti adolescentes flexis poplitibus iussu regis plectendi erant in platea. Mox advenit Dei servus Nicolaus, iam gladium carnifex dextra levaverat, laeva quoque comam capitis tenebat. Tunc Dei famulus retro gladium sumpsit, et in eius oculis minans, liberavit eos. Carnifex autem admirans, nil contra eum ausus agitare, principi suo cuncta narravit. His ille auditis, mirabatur quomodo vir Dei adveniret Nicolaus. Nicolaus autem pacifice secum iuvenes morari praecepit, et principes iam supradictos alaeri mente coepit admonere, ut diligenter sui principis iussa complerent, ut omnibus bene peractis cum gaudio ad eum redire valerent. Stratilates vero illi post celebratum convivium, pontificis benedictione aucti, laetanter socios classemque revisunt. Inde coeptum iter aggressi, flatibus adiuti secundis, velociter Phrygiam pervenerunt. Quam cum sagaciter, ablatis seditionis fautoribus, sub imperii iura redegissent, constantinopoleam repedarunt ad urbem. Quibus non solum gratulabundus occurrit populus, sed procerum multi, imperator etiam ob subactos sine sanguine hostes gestiens gaudio, triumphaliter eos in suo recepit palatio.

Sed haec non aequis oculis ille antiquus humanae salutis inimicus aspiciens, non in longum quievit. Tamdiu enim se formas vertit in omnes, quousque invidos quosdam stimulis agitaret amaris; qui eorum principum dignitatem zelantes, aut dedecus, aut necem contra illos molirentur. Quid plura? Accedentes quidam dolosi ad quemdam praefectum nomine Eparchum, in multis eos accusabant, praesertim contra Augustum eos nitebantur ostendere conspiratores. Extemplo corruptus Eparchus immensitate maxime fulvi metalli sibi promissi,

Digitized by Google

intravit ad Augustum, et sic fari exorsus est: excellentissime Domine, cuius moderamine totus mundus pacatus quiescit, ecce invidia diaboli, a quo omnis nequitiae seminarium oritur, intestinos contra nos suscitavit inimicos. Revera enim stratilates, quos dudum Phrygiam vestra misit sublimitas, insidias machinantur domino meo; nam conventicula crebra agentes, promittunt confoederatos suos ditare opibus, et magnis extollere dignitatibus. Hoc ego pro certo sciens, ideo coram tua veni narrare praesentia, ne divinum iudicium et imperialem incurram iram; quandoquidem non solum rei sunt qui male faciunt, sed et qui consentiunt facientibus; maxime cum haec procul dubio a sociis eorum didicissem. Unde caelitus vobis collata provideat sagacitas, quid facto opus sit.

Credidit itaque Augustus fallaciis eius, utpote praefecti sui; et iratus, e vestigio comprehendi eos iussit, et in carcerem trudi. Illis vero carceralibus custodiis mancipatis, accidit ut reor non sine nutu divino, ut imperator in summis rei publicae praeoccupatus negotiis horum protelaret capitalem sententiam. Cum autem diu multumque ibi gemerent, Nepotianus unus ex eis recordatus est qualiter sanctus Nicolaus trium iuvenum mirabilis liberator fuisset, suspirans iterum atque iterum tandem hanc precem fudit: rex Deus excelse succurre miseris, succurre perituris, meamque humillimam deprecationem non nostris sed servi tui Nicolai meritis dignanter attendas, quatinus sicut eius instantia tres illos erutos a morte conspeximus, ita nos per eius intercessionem ab instanti eripiamur sententia; quandoquidem, si non adest corporaliter, credimus tamen illum specialiter omnium compati necessitatibus, proque eis

Digitized by Google

tibi saepius supplicare. Tu ergo, Domine, tu qui voluntatem timentium te facis, propter orationem eius libera nos. Sic Nepotianus, sic supplicabant et comites, atque simul uno ore clamabant: sancte Nicolae adiuva nos, serve Dei licet absens interveni pro nobis, ut eruti a praesenti iugulo tuam devoti faciem videre, tuosque sacratissimos osculari mereamur pedes. O clemens pietas creatoris! o clemens benignitas salvatoris! Quis umquam quaesivit puro corde, et non invenit? Quis petivit ab eo misericordiam, et non accepit? Ipse enim se obligavit dicens, quodcumque petieritis patrem in nomine meo, fiet vobis. Huius enim sponsionem veritatis, inter angustias hii tres mirabiliter sunt experti. Nam vir Domini vitam adhuc carpebat praesentem, et bonus Dominus sic praedictorum supplicum preces audire dignatus est, ac si sanctus Nicolaus interventor in superiori regno penes eum fuisset.

Nocte igitur insecuta qua plectendi erant stratilates illi, cum se imperator et Eparchus sopori dedissent, simillima viderunt somnia. Apparuit quaedam effigies sancti Nicolai Caesari dicens: Constantine, cur stratilates illos iniuste comprehendi fecisti? Cur sine crimine morti addicasti? Surge celeriter, eosque dimitti quantocius iubeto. Quod si fortasse me spreto alia facere volueris, caelestem deprecor regem, ut contemptus mei ultor existens, tibi indurato bellum sinat insurgere, et te ibi perempto, caro tua bestiis avibusque sit cibus. Cui Augustus: quis aut cuius auctoritatis es tu, ut hac hora palatium meum ingressus, talia audeas loqui? Et ille: ego sum peccator Nicolaus, Myraeae metropolis episcopus. Haec dicens abiit, et Eparchum sic territat ipsum. Eparche vecors mente et sensu perdite, quae ne-

Digitized by Google

cessitas incubuit, ut obstinatus innocentium fieres delator? Perge velociter, illosque continuo ex carcere produci facito. Sin aliter facies, imperatoris aeterni maiestatem obtineo, ut totum corpus tuum scaturiat vermibus, et domus tua quantocius diripiatur. Ad quem praefectus turbatus dixit: tu vero quis es qui nobis tanta minaris? Cui ille: scito me esse Nicolaum, myrensem antistitem. Dixit, et procul in tenuem evanuit auram. Talibus igitur Caesar et Eparchus perterriti visionibus, excutiuntur somno, et maturato officio quae quisque viderat, celeriter remiserunt dicendo sibi.

Deinde ubi prima stella auroram fugavit, e vestigio imperator, arcersitis magnatibus suis, et eodem Eparcho, fecit sibi stratilates illos praesentari. Quibus astantibus, torvo aspectu ita exorsus est loqui ad eos: quas magicas nostis artes, ut tantis nos illudatis phantasiis, tantisque exagitetis somniis? Illi attoniti, et nimia trepidatione pavoris turbati, nullum potuerunt dare responsum. Et denuo Augustus: dicite nobis, quae sunt malefficia vestra? Ad quem Nepotianus pro cunctis sic pavitanti voce respondit: excellentissime imperator, cui Deus regni commisit habenas, absit ut nos documentis nefariae artis simus instructi. Numquam enim tali magisterio, numquam talibus vacavimus illusionibus. Tunc Augustus: nostis inquit hominem, cui nomen sit Nicolaus? Mox illi audito tanto nomine, tendentes ad caelum manus utrasque, voce magna dicebant: benedictus es domine Deus sancti Nicolai, qui non derelinquis sperantes in te, et de tua misericordia praesumentes: benedictus es et laudabilis in saecula, qui clementer infelicium servorum tuorum dignatus es intueri aerumpnas. Et nunc domine Deus, propter famulum tuum Nicolaum

Digitized by Google

eripe nos ab hac falsa proditione, sicut erepti sunt tres viri illi a pernicioso iugulo.

Augustus vos ardens desiderio illius, narravit ordinem rei, qualia illi diceret in noctis crepusculo. Mox Nepotianus hoc firmatus oraculo ait: iste est vere per omnia sanctus, cuius nos meritis credimus erui ab instanti exitio. Iste est quem in nostra invocavimus proditione, et ecce ut cernimus alacrem sentimus adiutorem. Vere enim dignum Dei credimus illum servum; ob quem tantis licet terrarum sepositum spatiis, sub uno noctis momento Christus nos exaudire dignatus est. Haec dixit, et continuo prosequens narravit qualis quantae humilitatis quantaeque esset bonitatis. Nam et ereptionem iuvenum totiens memoratam, sicut perscripta est, per ordinem pandit.

His Caesar auditis, plurimum miratus est, et pro tanta viri bonitate Deum venerans, ite inquit, et famulo Dei gratias agite, immo Deo qui vos per eum liberavit. Ex constantinis autem donariis munuscula, nec non et apices nostros ferte vobiscum; hunc scilicet evangelii codicellum mirifice auro contextum; simul et duo ex auro ceraptata; vasque hoc aliud aureum gemmis preciosissimis decoratum: eique dicite, ut dignanter ista suscipiat, et mihi libentissime praeceptis eius obedienti non irasci, sed orare pro me studeat, atque pro pace regni nostri, magis totius orbis, Dominum poscat.

Post paucos igitur dies stratilates praedicti, acceptis apicibus augustalibusque muneribus, ad servum Dei uti devoverant, ire coeperunt. Qui venientes, Nicolaumque videntes, ilico consternati solo, pedes eius osculabantur, et prae magnitudine laeticiae claris repetebant

Digitized by Google

vocibus : vere dilectissimus Dei es famulus, vere cultor et amator Christi, vere tu omnium ore laudandus, propter quem mirabiliter a morte liberati sumus. Haec et alia diutissime conclamantes, tandem cunctam deditionis seriem retulerunt, atque offerentes ei munera nec non et imperiales litteras, indicia ostendere suae liberationis. Mox doctor egregius, elevatis ad caelum brachiis, dominum collaudabat salvatorem, dicens: magnus es domine Deus noster, magnus et mirabilis, cuius magnitudinis non est finis. Tu es enim dominus dives in omnibus, qui facis mirabilia magna solus. His dictis, conversus ad illos, tantis eos irrigavit scripturarum fluminibus, ut plurima de rebus propriis largirentur egenis. Dehinc sicuti saecularium moris est, tanto gestierunt gaudio, ut sibi tonderent quos in carcere miserant crines. Exacto itaque apud servum Dei aliquanto tempore, cum ingenti laeticia instructi doctrinis eius, et aucti benedictione, remearunt ad propria, magnificantes dominum nostrum Iesum Christum, qui regnat cum patre et spiritu sancto unus Deus acquali maiestate, aequali potestate, per omnia saecula saeculorum. Amen.

Sequebatur in codice breve additamentum de s. Nicolai obitu etc. quod non esse Iohannis historici, cognoscimus ex pag. 325.

Digitized by Google

ΥΠΟΜΝΗΜΑ ΗΓΟΥΝ ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ
ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΑΡΤΕΜΙΟΥ

ΣΥΛΛΕΓΕΝ ΑΠΟ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ
ΦΙΛΟΣΤΟΡΓΙΟΥ ΚΑΙ ΑΛΛΩΝ ΤΙΝΩΝ
ΠΑΡΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ.

COMMENTARIUS HISTORICUS DE SANCTO ET INCLYTO
MAGNO MARTYRE ET PRODIGIOSO

ARTEMIO

COLLECTUS EX ECCLESIASTICA HISTORIA
PHILOSTORGII (1) ET NONNULLORUM ALIORUM
A IOHANNE MONACHO (2).

1. Τὰ τοῦ μεγάλου καὶ ἐνδόξου μάρτυρος Ἀρτεμίου διηγεῖσθαι μέλλων ἀνδραγαθήματα, καὶ τὴν ἄθλησιν, τήν τε ἄνωθεν αὐτοῦ καὶ ἐκ προγόνων οὖσαν εὐγένειαν, ᾧ ἱερὰ πανήγυρις καὶ θεοσύλλεκτον σύστημα, αὐτὸν ἐκεῖνον ἐπικαλοῦμαι τὸν μάρτυρα, καὶ τὴν ἐπισκιάζουσαν αὐτῷ χάριν

(1) In photianis Philostorgii, quae sola supersunt, excerptis nihil de Artemio dicitur. Nos igitur hanc nobilem philostorgianae historiae partem deperditam, ope codicis vaticani recuperamus.

(2) Sic appellari solet in codicibus S. Iohannes damascenus, cuius hoc esse revera opusculum Allatius iamdiu putavit, idque cum aliis sancti patris scriptis editurus ali-

Digitized by Google

τοῦ πνεύματος, συλλήπτορά μοι γενέσθαι τοῦ λόγου καὶ συνεπίκουρον· καὶ αὐτοὺς ὑμᾶς ἐν παρακλήσει ποιοῦμαι τῶν ὑμετέρων εὐχῶν προσδεόμενος, ἵν' εὔοδόν μοι καὶ ἀπρόσκοπον γένηται τοῦτο τὸ ἐγχείρημα, καὶ κατευθύνειν πρὸς ἣν περ ἐξώρμησα τοῦ μαρτυρίου αὐτοῦ καὶ τῆς ὁμολογίας διήγησιν· καὶ μήτις μοι ταῦτα ἐγχειροῦντι ἐπιμεμφέσθω, ἀφορῶν εἰς τὸ πρῶτον καὶ ἀρχαῖον τοῦ θαυμασίου τούτου καὶ ἀοιδίμου ἀνδρὸς ὑπόμνημα· ὁ γὰρ ἐκεῖνο συντάξας, ὡς ὁ τότε καιρὸς ἀπήτει, καὶ ὡς εἶχε δυνάμεως ἔγραψε, πολλῷ θορύβῳ καὶ ταραχῇ τῶν τότε πραγμάτων συνεχομένων· οὗ μὲν οὖν οὐδὲ αὐτὸς τὶς ἦν τῶν περιεσκεμμένων τὲ καὶ περὶ λόγους ἐσπουδακότων, ἀλλ' ἁπλοῦς τις καὶ ἀπέριττος μόνης τῆς ἀληθείας πεφροντικώς, καὶ τὸ λέγειν ὅπως οὖν στοχαζόμενος· καὶ κατὰ τὴν παροιμίαν ἄκρῳ δακτύλῳ, τῆς ἱερᾶς τῶν λόγων παιδείας ἁψάμενος.

2. Ὥσπερ οὖν οὐδὲ αὐτὸς ἐγὼ ἀρκούντως ἔχω καὶ ἱκανῶς πρὸς τὴν τοῦ λόγου διήγησιν, κἂν ὁ πόθος τοῦ μάρτυρος καθέλκῃ καὶ τυραννεῖ μου τὸν λογισμὸν καὶ πρὸς τὸ λέγειν βιάζεται, ἐπαινετὸς μέν τοι τῆς προθυμίας καὶ τῆς περὶ τὸν μάρτυρα πίστεως, ὅτι κἂν ὁποσοῦν ἐτόλμησεν ἅψασθαι τῆς περὶ τὸ μαρτύριον αὐτοῦ διηγήσεως, μάλιστα τοῦ ἀποστάτου καὶ ἀσεβοῦς Ἰουλιανοῦ παραγγείλαντος τοῖς ἁλισκομένοις ἐπὶ τὸ τοῦ Χριστοῦ μαρτύριον μήτε ὑπόμνημα,

quando erat; id quod ego ex vallicellianis ipsius Allatii schedis cognovi. S. Artemii passionem aeque attribuunt S. Iohanni Damasceno auctori Labbaeus in prospectu operum Damasceni, et rursus idem Allatius in Symmictis, ubi tradit notitiam eorumdem operum p. 452. n. XLVII. Sed nemo tamen eximium hoc et curiosissimum scriptum typis graecis ante me vulgaverat.

Digitized by Google

μήτε ἄλλην τὴν οἱανοῦν ποιεῖσθαι ἀναγραφήν, καθὼς εἰ πρότερον βασιλεῖς ἐνομοθέτησαν, ἀλλὰ τοὺς πλείονας αὐτῶν ἀναπολογήτους ἀπόλλυσθαι· τούτου τοῦ παραγγέλματος παντα-χόσε καταφοιτήσαντος, ἐκολάζοντο μὲν οἱ τὸν Χριστὸν ὁμολογοῦντες· κατὰ δὲ τὸ κρατοῦν ἔθος, οὐδεὶς τῶν ἐκ τοῦ δήμου κομενταρισίων, ἢ τῶν λεγομένων ταχυγράφων, πρόνοιαν ἐποιεῖτο τοῦδε τοῦ παραγγέλματος· ἐσπούδαζε γὰρ ὁ παράνομος, καὶ αὐτὴν τῶν μαρτύρων ἐξαφανίσαι τὴν εὔκλειαν· μόλις οὖν τινὲς ἐν ζοφεροῖς τισὶ καὶ ἀλαμπέσι τόποις καταδρυπτόμενοι, τοιούτων ἐφάπτεσθαι ἐτόλμων ὑπομνημάτων, τὴν τοῦ κρατοῦντος δεδιττόμενοι ἀγριότητα· πολλαὶ μὲν οὖν μυριάδες ἀνὰ πᾶσαν τὴν οἰκουμένην τῶν χριστιανῶν κατεφθείροντο, μηδὲ μιᾶς τινὸς κατὰ τὸ κρατοῦν ἔθος ἀξιούμενοι ἐρωτήσεως· ἀλλὰ τοῦτο μὲν οὐδὲν παρέβλαψε τοὺς ἀθλητὰς τοῦ Χριστοῦ, τὸ μὴ τυχεῖν ὑπομνήματος· ὧν γὰρ τὰ ὀνόματα ἐν οὐρανοῖς θεὸς ἀπεγράφετο, οὐδεμία τις ἦν χρεία τῶν παρ' ἀνθρώποις ὑπομνημάτων· ἀλλὰ περὶ μὲν τούτων ἄλις.

3. Ἐγὼ δὲ, ὦ ἱερὰ πανήγυρις, καὶ Χριστοῦ λαὸς θεοσύλλεκτος, ἔθνος ἅγιον καὶ βασίλειον ἱεράτευμα, πολλοῖς ἐντυχὼν συγγράμμασι, καὶ μάλιστα τῶν τὰς ἱστορίας καὶ πράξεις τῶν βασιλέων συνταξαμένων, ἔπειτα δὲ καὶ τῶν περὶ τὴν ἐκκλησιαστικὴν ἱστορίαν σπουδασάντων, καὶ τὸ τοῦ μάρτυρος εὑρὼν ὄνομα ὧδε κἀκεῖσε διαθαρυλλούμενόν τε καὶ περιφερόμενον, καὶ ἄνδρα περιφανῆ τε καὶ διαβόητον πάντων αὐτὸν ὁμολογούντων, οὐκ ᾠήθην ταῦτα τῆς λήθης ἐνθάψαι βυθοῖς, ἀλλ' εἰς τὸ φανερὸν ἀγαγεῖν, καὶ ὑμῶν προυθῆναι ταῖς ἀκοαῖς ὡς φιλόχριστοις τε οὖσι καὶ φιλομάρτυσιν· ἵνα μὴ ἐν ὀλίγαις τισὶ συλλαβαῖς τὰ τηλικαῦτα ἐπηλυγάζωνται τοῦ θείου μάρτυρος πλεονεκτήματα·

Digitized by Google

ἅμα τε καὶ ὑμῶν κατευφρᾶναι σπεύδων τὰς ἀκοὰς, ἔκ τε τῶν τῆς ἱστορίας διηγημάτων, καὶ τῶν ἀρτίως ἀναφανέντων τοῦ μάρτυρος ἀνδραγαθημάτων.

4. Πολλοὶ μὲν οὖν τῶν τὰς ἱστορίας γραψάντων τοῦ ἀοιδίμου τούτου ἀνδρὸς ἐμνημόνευσαν, Εὐσέβιός τε ὁ Παμφίλου ὀνομαζόμενος, καὶ Σωκράτης ὁ τῆς Ναυάτου αἱρέσεως, καὶ Φιλοστόργιος ὁ τῆς Εὐνομίου καὶ αὐτὸς ὑπάρχων αἱρέσεως, Θεοδώρητός τε καὶ ἄλλοι πλείονες· ὧν ὁ μὲν Εὐσέβιος ἐν τοῖς χρόνοις τοῦ μεγάλου Κωνσταντίνου ὤν τε καὶ γνωριζόμενος, καὶ τῶν τότε ἐπισκόπων ὑπάρχων ὁ λογιώτατος, παρεισάγει τὸν μάρτυρα τῆς συγκλήτου βουλῆς ἕνα τυγχάνοντα· καὶ γνώριμον ἐς τὰ βασιλέως ὑπάρχοντα, καὶ τῆς περὶ τὸν Κωνστάντιον τὸν αὐτοῦ υἱὸν ἑταιρίας, εἴτ' οὖν φιλίας, σπουδαστὴν ἀκριβέστατον· φαίνεται γὰρ ὁ μακάριος μηδὲ πώποτε τῆς πρὸς τὸν Κωνστάντιον φιλίας ἀποσπασάμενος, τὸ ἔνδοξον αὐτοῦ καὶ μεγαλουργὸν ὑποφαίνων τῆς φύσεως· ὁ δέ γε Φιλοστόργιος, εἰ καὶ διάπυρος ἐραστὴς τῆς Εὐνομίου ὑπάρχει αἱρέσεως, ἀλλ' ὅμως ὑπὲρ πάντας ἐκθειάζει τὸν μάρτυρα, πολλήν τινα τὴν ἔνστασιν καὶ ἀκρίβειαν τῶν αὐτοῦ πράξεων ποιήσαμενος, ἐκ τῶν ἄνωθεν χρόνων τὴν τῷ μάρτυρι προσοῦσαν εὐγένειαν ὑποσημηνάμενος, καὶ πρὶν ἢ τῶν τοῦ μαρτυρίου ἀγώνων ἐφάψασθαι· ἄρξομαι τοίνυν κἀγὼ τῆς κατ' αὐτὸν ἱστορίας, ὡς αἱ τῶν παλαιῶν διαγορεύουσιν βέλτοι.

5. Τῆς εἰδωλολατρείας ἄρτι καταπαυθείσης, καὶ τῆς τῶν δαιμόνων ἀπάτης κατασβεσθείσης, ἐκ τῆς γενομένης φιλανθρωπίας παρὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ περὶ τὸν μακάριον καὶ ἀοίδιμον Κωνσταντῖνον τὸν ὑπέρλαμπρον καὶ εὐσεβῆ βασιλέα, τὸν τοῦ Κών-

Digitized by Google

σταντος υἱὸν καὶ τῆς μακαρίας Ἑλένης, ὅπως τὲ αὐτὸν ἐκ τῆς ματαίας τῶν εἰδώλων πλάνης ἀνεκαλέσατο, καὶ τῆς τοῦ ζωοποιοῦ σταυροῦ ἐν οὐρανῷ ἐπιφανείας, πῶς τε τῶν ἐχθρῶν καὶ παρανόμων βασιλέων περιεγένετο διὰ τῆς τοῦ τιμίου σταυροῦ ἐνεργείας τὲ καὶ δυνάμεως, καὶ ὡς τὸ χριστιανῶν θεοφιλὲς ὑψώθη κέρας, ὑπὸ τῆς αὐτοῦ προθυμίας καὶ πίστεως, συγκροτούμενόν τε καὶ συναυξανόμενον, ὥστε τὸ τοῦ Χριστοῦ κήρυγμα πᾶσαν πληρῶσαι τὴν οἰκουμένην, καθαιρεθῆναι δὲ πάντας τοὺς βωμοὺς τῶν εἰδώλων καὶ ξόανα καὶ νεὼς ἅπαντας ὅποι ποτὲ γῆς ἐτύγχανεν, ἀνοικοδομεῖσθαι δὲ τὰς τοῦ θεοῦ ἐκκλησίας, ἃς οἱ μισόχριστοι καὶ δισσεβεῖς βασιλεῖς κατηνάλωσαν.

6. Τούτων οὖν γινομένων, οὐκ ἤνεγκεν τὴν τοσαύτην μεταβολὴν ὁ τῆς καλῆς βασκαίνων διάβολος, ἀλλ' ἤγειρε ζάλην καὶ τάραχον, διὰ τῶν αὐτοῦ οἰκείων ὑπασπιστῶν· Ἄρειος γὰρ ὁ τῆς μανίας ἐπώνυμος, τῆς ἐν Ἀλεξανδρείᾳ ἐκκλησίας ὑπάρχων πρεσβύτερος, δεινῶς τὲ ταύτην ἐτάραξε, δόγμα κινήσας παράνομον καὶ πάσης βλασφημίας ἀνάμεστον· ἔφασκε γὰρ τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ τὸν προαιώνιον, κτίσμα εἶναι, καὶ τῆς τοῦ θεοῦ καὶ πατρὸς οὐσίας ἀλλότριον· διά τι ταῦτα ἡ ἐν Νικαίᾳ τῶν ἁγίων τριακοσίων δεκακτὼ πατέρων ἀθροίζεται σύνοδος, καὶ τὸν Ἄρειον καθελοῦσα, τὸν υἱὸν τοῦ θεοῦ καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κηρύττει τοῦ πατρὸς ὁμοούσιον· ἀλλὰ ταῦτα μὲν, αἵ τε τῶν ἔξωθεν ἱστορίαι διαγορεύουσιν, οὐκ ὀλίγοι δὲ τῶν ἡμετέρων διεκρίβωσάν τε καὶ κατετράνωσαν· ἐμοὶ δὲ περὶ ταῦτα διατρίβειν ὁ νῦν οὐχ ἁρμόσει καιρὸς, ἄλλης περὶ τούτων δεομένης ἀκριβεστέρας σχολῆς τε καὶ διασκέψεως· τὰ δὲ νῦν, τὸ φθάσαν αὐτὸν τοῦ βίου τέλος διηγήσομαι.

Digitized by Google

7. Ὁ γοῦν φιλόχριστος βασιλεὺς Κωνσταντῖνος εἰς τὸ πρῶτον καὶ τριακοστὸν ἔτος προελθὼν τῆς αὐτοῦ βασιλείας, καὶ τοῦ δευτέρου ἐπιβάς, ἐπειδὴ ἐπύθετο τοὺς Πέρσας εἰς πόλεμον ἐπ' αὐτὸν παρασκευαζομένους, ἄρας ἐκ τῆς ἑαυτοῦ πόλεως, ἄχρι τῆς Νικομηδείας ὤφθη τῶν Βιθυνῶν· ἔνθα καὶ τελευτᾷ τὸν βίον ἐξ ἐπιβουλῆς τῶν ἑαυτοῦ ἀδελφῶν, φάρμακον αὐτῷ δηλητήριον ἐκπιαμένων, Ἀστέριος ὡς φασὶ κομήτου τὸν θάνατον αὐτοῦ προμηνύσαντος· ἦσαν δὲ τῷ Κωνσταντίνῳ ἀδελφοὶ πρὸς πατρὸς οἵδε, Δαλμάτιος, Ἀναβαλλιανὸς, καὶ Κωνστάντιος· αὐτὸς γὰρ ἐξ Ἑλένης μόνος ἦν τῷ πατρὶ Κώνσταντι ἔτι ἰδιωτεύοντι· ἐκ δὲ τῆς θυγατρὸς Μαξιμιανοῦ τοῦ Ἐρκουλλίου ἐπονομαζομένου Θεοδώρας ἕτεροι γεγόνασιν αὐτῷ παῖδες· ὅ τε προρρηθεὶς Δαλμάτιος, καὶ Ἀναβαλλιανὸς, καὶ Κωνστάντιος· οὓς καὶ καίσαρας ὁ Κωνσταντῖνος καὶ νεβελλησίμους ἐτίμησε· τούτων ὁ Κωνστάντιος ἐκ τῆς συναφθείσης αὐτῷ γαμετῆς, γεννᾷ Γάλλον τε καὶ Ἰουλιανὸν τὸν παραβάτην ἐπικληθέντα, διὰ τὸ τὸν Χριστὸν ἐξομόσασθαι, καὶ πρὸς τὴν ἑλληνικὴν ἀσκλίναι θρησκείαν· ὃς καὶ τὸν μέγαν τοῦ Χριστοῦ μάρτυρα καὶ πολύαθλον Ἀρτέμιον ἐν τῷ βασιλεύειν αὐτὸν ἐκόλασε, διὰ τὴν εἰς Χριστὸν πίστιν καὶ τὸν ζῆλον τὸν ἔνθεον· ἀλλὰ ταῦτα μὲν ὕστερον καὶ μετὰ χρόνου γενόνασιν.

8. Ἐγὼ δὲ τὰ πεπραγμένα τοῖς ἄνω χρόνοις διηγησάμενος, ἐπὶ τὰ συμβάντα τῷ μάρτυρι πάλιν τρέψω τὸν λόγον· πῶς τε ὁ παράνομος καὶ παραβάτης Ἰουλιανὸς καί τινι τρόπῳ ἐπὶ τὸ τῆς βασιλείας ἦλθεν ἀξίωμα· καὶ πῶς ὁ τοῦ Χριστοῦ μάρτυς Ἀρτέμιος εἰς τὸ τῆς Χριστοῦ ὁμολογίας πανίερον ἔδραμε στάδιον. Ἄρτι τοῦ μεγάλου Κωνστα-

Digitized by Google

τίνου τελευτήσαντος, ἡ τῶν Ῥωμαίων ἀρχὴ εἰς τρεῖς διῃρέθη ἀρχὰς, τῶν υἱῶν αὐτοῦ, Κωνσταντίνου, Κωνσταντίου τε, καὶ Κώνσταντος, ταῦτας μεμερισμένων· καὶ τῷ μὲν πρώτῳ Κωνσταντίνῳ αἱ ἄνω Γαλλίαι καὶ τὰ ἐπέκεινα Ἄλπεων, αἵ τε Βρεταννικαὶ νῆσοι, καὶ ἕως τοῦ ἑσπερίου ὠκεανοῦ κλῆρος ἐδόθησαν· τῷ δέ γε Κώνσταντι, ὡς ὑστάτῳ, αἱ κάτω Γαλλίαι, ἦγουν ἡ Ἰταλία καὶ αὐτὴ Ῥώμη· ὁ δὲ Κωνστάντιος ὁ δεύτερος τῶν Κωνσταντίνου υἱῶν, ὃς ἦν ἐπὶ τῶν τῆς ἑῴας τότε πραγμάτων πρὸς τοὺς Πέρσας ἀγωνιζόμενος, τὸ τῆς ἑῴας ἀσπάζεται μέρος· καὶ τότε Βυζάντιον μετονομασθὲν εἰς Κωνσταντινούπολιν καὶ νέαν Ῥώμην, ποιεῖται βασίλειον, καὶ ἀπὸ τοῦ Ἰλλυρικοῦ μέχρι τῆς Προποντίδος ὁπόσα ὑπήκοα ῥωμαίοις, τήν τε Συρίαν καὶ Παλαιστίνην καὶ Μεσοποταμίαν καὶ Αἴγυπτον, καὶ τὰς νήσους ἁπάσας, τῇ αὐτοῦ βασιλείᾳ καὶ πολιτείᾳ ὑποτελῆ καθίστησιν.

9. Ὁ δὲ μέγας Ἀρτέμιος συνῆν τῷ Κωνσταντίῳ ἐν παντὶ καιρῷ τε καὶ πράγματι, ὡς ἄ τε φίλος ἄριστος, καὶ τῶν ἐπ' ἀρετῇ καὶ παιδείᾳ λαμπρυνομένων, καὶ τῆς χριστιανῶν πίστεως διάπυρος ἐραστής· πατρίδος καὶ γένους αὐτοῦ ἀνάγραπτον μνήμην οὐδεὶς ἡμῖν παραδέδωκεν, πλὴν ὅτι τῶν εὐπατριδῶν καὶ μεγάλων ὑπῆρχεν ὁ τρισμακάριστος· ἐξ ὧν καὶ τάδε τὰ περὶ αὐτοῦ ἀναγέγραπται, ὅτι τὰ πανάγια λείψανα τῶν τοῦ Χριστοῦ ἀποστόλου Ἀνδρέου καὶ Λουκᾶ καὶ Τιμοθέου, αὐτός ἐστιν ὁ τὴν ἀνακομιδὴν αὐτῶν ὑπὸ Κωνσταντίου ποιήσασθαι κελευσθείς, ὡς προϊὼν ὁ λόγος διδάξει· ἐγὼ δὲ ἅπαντα ταῦτα καθεξῆς διηγήσομαι ἐπὶ τοὺς χρόνους διαβαίνων καὶ ἐκτιθέμενος κατὰ τὴν δεούσαν τῶν πραγμάτων ἀκρίβειαν· ὡς οὖν

Digitized by Google

ἔρηται τῶν βασιλέων τριῶν τυγχανόντων· καὶ τῆς αὐτοῦ μοίρας ἑκάστου αὐτῶν βασιλεύοντος, ὁ πρῶτος αὐτῶν Κωνσταντῖνος τῆς οἰκείας μερίδος ἀπαναστὰς, καὶ πρὸς τὴν τοῦ ἐσχάτου ἀδελφοῦ κληροδοσίαν ἐπανελθὼν, ἐκείνου πρὸς τὴν Ῥώμην ἀποδημήσαντος, ἐπεχείρει τί τῶν ἀδίκων κατὰ τοῦ ἀδελφοῦ διαπράξασθαι· καὶ αὐτὸν μὴ παρόντα διέβαλλεν, ὡς οὐ καλῶς τῶν πραγμάτων διανεμηθέντων, καὶ ὅτι πλεῖστον μέρος τῆς αὐτῷ προσηκούσης ἀρχῆς ἐσφετερίσατο· οἱ δὲ τῆς χώρας στρατηγοί τε καὶ φύλακες, οὓς ὁ Κώνστας ἐχειροτόνησεν, οὐκ ἔφασαν χωρὶς τῆς ἐκείνου γνώμης τὲ καὶ βουλῆς δύνασθαί τι μικρὸν ἢ μέγα μετακινεῖν· ἀνόσιον γὰρ· ὁ δὲ πρὸς πόλεμον ἀποδύεται, καὶ ὅπλα κινεῖ κατὰ τοῦ μηδὲν ἀδικήσαντος· πίπτει τοίνυν ὁ Κωνσταντῖνος ἐν τῷ πολέμῳ μαχόμενος· καὶ τῆς μερίδος τῶν ἀλλοτρίων ἐπιθυμῶν, καὶ ἅπερ ἐδόκει βεβαίως κρατεῖν προσαπώλεσεν.

10. Ὁ τοίνυν τούτου λαὸς ἀπακλίνει πρὸς Κώνσταντα, καὶ γίνεται πάσα ἡ τῆς ἑσπέρας ἀρχὴ ὑπ' ἐκείνῳ μηδὲν περὶ ταύτης σπουδάσαντι· τοῦ θεοῦ ταῦτα διακάσαντος, μὴ κίνει ὅρια πατέρων σου, μὴ δὲ τοῦ πλησίον καθάπτου τῆς αὐλακος· ὁ γὰρ κατὰ τοῦ πλησίον πονηρευόμενος, αὐτὸς ἑαυτῷ συνάγει τὸν ὄλεθρον, τὴν τοῦ θεοῦ δίκην ἐφ' ἑαυτὸν ἐπισπώμενος· βασιλεύει τοίνυν ὁ Κώνσας ἐφ' ὅλης τῆς ἑσπερίου ἀρχῆς, τὰς δύο κληροδοσίας εἰς ἓν συνάψας, καὶ μίαν ἀρχὴν ἀμφότερα τὰ μέρη στησάμενος· οὐ πολὺς ἐν μέσῳ καιρὸς, καὶ ὁ Κώνστας εἰς κώμους καὶ μέθας ἐναπεκλίνας, καὶ ἀλλοκότους ἐρώτων διαγωγὰς, ῥᾳθύμως τὴν ὅλην ἀρχὴν διεπέττευε, τὸ τῆς βασιλείας μέγεθος ἐξερχόμενος· ἐπιβουλεύεται τοιγαροῦν καὶ αὐτὸς παρά τινος τῶν στρατη-

Digitized by Google

γῶν Μαγνεντίου, καὶ μετὰ τῆς βασιλείας προσαπόλλυσι καὶ τὸ ζῆν· τούτου πεσόντος, κρατεῖ τῆς ἀρχῆς ὁ Μαγνέντιος· μεθ' οὗ τῆς τυραννίδος συναπελάβοντο Νεποτιανὸς καὶ Βρεττανίων.

11. Ταῦτα μαθὼν ὁ Κωνστάντιος ἐκ τῶν τῆς ἀδελφῆς γραμμάτων, ἀπάρας ἐκ τῆς ἀνατολῆς, καὶ πρὸς τὴν ἑσπέραν γενόμενος, συνάπτει πρὸς ἀμφοτέρους πόλεμον, καὶ κατὰ κράτος νικᾷ, τοῦ Βρεττανίωνος πρὸς αὐτὸν ἀποκλίναντος· ὅτε καὶ τὸ τοῦ σταυροῦ σημεῖον μεγίστου τε καὶ δεινῶς ἐκφανὲν ἅπαν, ὡς ὑπεραστράπτειν τῷ πληκτικῷ τῆς αἴγλης τῆς ἡμέρας τὸ φῶς, ἐπὶ τῶν Ἱεροσολύμων ὤφθη περὶ τρίτην ὥραν μάλιστα τῆς ἡμέρας, τῆς ἑορτῆς τῆς λεγομένης πεντηκοστῆς ἐνεστηκυίας, διῆκον ἀπὸ τοῦ κρανίου λεγομένου τόπου, ἄχρι καὶ τοῦ ἐλεῶνος ὄρους, ὅθεν ὑπῆρχεν ὁ σωτὴρ τὴν ἀνάληψιν ποιησάμενος· κρατεῖ τοίνυν τῆς βασιλείας ἁπάσης Κωνστάντιος, τῶν τοῦ μεγάλου Κωνσταντίνου υἱῶν μόνος ὑπολειφθείς.

12. Ἀτενίσας οὖν πρὸς τὸ τῆς ἀρχῆς μέγεθος, καὶ εἰλιγγιάσας, ὡς ἅτε δὴ ἄνθρωπος ὤν, καὶ μὴ ἔχων τὸν ἐκ τοῦ γένους αὐτῷ συνασπίζοντα, οὔτε γὰρ αὐτῷ παῖς ἐγεγόνει, οὔτέ τις τῶν ἀδελφῶν κατελέλειπτο, καὶ δείσας μή τις αὐτῷ πάλιν ἐπαναστάτης τύραννος κατὰ τῆς αὐτοῦ βασιλείας ἐξανιστάμενος, σκέπτεται τῶν συγγενῶν τινὰ λαβεῖν σύγκληρον, καὶ τῆς βασιλείας ὑπασπιστήν· ὃ δὴ καὶ πεποίηκε, Γάλλον τὸν Ἰουλιανοῦ ἀδελφὸν καίσαρα προστησάμενος· ἀνεψιὸς δὲ πρὸς πατρὸς ὁ Γάλλος ἦν αὐτῷ· Κωνσταντῖνος γὰρ ὁ Γάλλου καὶ Ἰουλιανοῦ πατὴρ, ἀδελφὸς ἦν Κωνσταντίνου τοῦ μεγάλου. Τοῦτον οὖν ἐν τῷ

Digitized by Google

Σιρμίῳ προχειρισάμενος, γυναῖκα τὲ αὐτῷ ζεύγνυσι τὴν ἑαυτοῦ ἀδελφὴν Κωνστάντιος, πίστεως καὶ βεβαιότητος χάριν· καὶ ἄρχοντας αὐτῷ δίδωσιν αὐτὸς καταςήσας· οὐ γὰρ ἐκείνῳ γε ἐφεῖτο καισαρί γε ὄντι· Θαλάσσιον μὲν ἀποστείλας ἔπαρχον πραιτωρίων· Μόντιον δὲ, ἐπὶ τῶν βασιλικῶν πραγμάτων, οὓς κοιαίστωρας αὐτοῖς ὀνομάζειν φίλον, ἅμα καὶ πατρίκιον αὐτὸν ποιησάμενος. Ὁ δὲ Γάλλος ὡς τότε παρὰ τοῦ Κωνσταντίου πεμφθεὶς ἐπὶ τῆς ἑώας, εἶχετο τῶν πραγμάτων· ὧν αὐτίκα μαθόντες οἱ πέρσαι κατωρρόδησαν, νέον τὲ αὐτὸν καὶ θερμουργὸν εἰς τὰ ἔργα πυθόμενοι, οὐκέτι ἐποιήσαντο τὴν ἐπὶ τοὺς Ῥωμαίους ἐξέλασιν· καὶ ὁ μὲν ἐν τῇ Ἀντιοχείᾳ τῆς Συρίας ἦν· Κωνστάντιος δὲ ἐν τῇ ἑσπέρᾳ καθίστη τὰ πράγματα· καὶ τότε δὴ μάλιστα καθαρῶς ἡσύχασεν ἡ ῥωμαίων ἀρχὴ, πρὸς ἀμφοτέρων φυλαττομένη· καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον.

13. Ὁ δὲ Γάλλος τοῦ καίσαρος ἀμφιασάμενος ἀλουργίδα, καὶ ἤδη τῶν πρώτων τῆς βασιλείας ἀρξάμενος ἐπιβαίνειν ἀναβαθμῶν, οὐκ ἔμενεν ἐπὶ τῆς αὐτῆς γνώμης καὶ πίστεως ἧς πρὸς τὸν Κωνστάντιον ἐποιήσατο, ἀλλὰ βαρύς τις ἦν καὶ ἀκάθεκτος καὶ τὴν ὀργὴν ἀπαραίτητος· φρονήματος γὰρ ἀκαίρου καὶ βουλῆς ἀνωμάλου δραξάμενος, ὑπερέβη τοὺς ὅρους καὶ τὰς συνθήκας ἐφαύλισεν ἃς πρὸς τὸν Κωνστάντιον ἐποιήσατο, βασιλικότερον τῶν πραγμάτων ἁπτόμενος, καὶ μετὰ πολλοῦ τοῦ θράσους καὶ τῆς ἀλαζονείας διατατόμενος· τοὺς γὰρ ἄρχοντας οὓς σὺν αὐτῷ ἐπεπόμφει Κωνστάντιος, τῶν βασιλικῶν τε καὶ πολιτικῶν πραγμάτων ὄντας διαιτητὰς, τόν τε παραιτωμίων ἔπαρχον Δομετιανὸν, ὁ γὰρ Θαλάσσιος ἐτεθνήκει, καὶ τὸν ἐπὶ τοῦ κοιαίστωρος Μόντιον, διὰ τὸ τὸ μὴ πειθαρχεῖν αὐτοὺς καὶ ὑπουργεῖν ταῖς παραλόγοις·

Digitized by Google

αὐτοῦ καὶ ἀκαθέκτοις ὁρμαῖς, σχοίνους τοῖς στρατιώταις τῶν ποδῶν αὐτῶν ἐξάψασθαι παρακελευσάμενος, ἐπὶ τῆς ἀγορᾶς συρῆναι προσέταξεν, καὶ ἀμφοτέρους ἀπέκτεινεν, ἄνδρας ἐν ἀξιώμασι διαπρεψαντας, καὶ παντὸς κέρδους καὶ λήμματος εὑρεθέντας ὑψηλοτέρους· οὓς ὁ τῆς πόλεως περιστείλας ἐπίσκοπος ἔθαψεν, αἰδεσθεὶς τὸ τῆς ἀρετῆς αὐτῶν ἀνυπέρβλητον.

14. Ὁ δὲ Κωνστάντιος ἐπειδὴ τάχιστα ἐπύθετο τὸ συμβὰν, μετάπεμπτον ὡς ἑαυτὸν ἐποιεῖτο τὸν Γάλλον· ὁ δὲ εἰδὼς μὲν ὡς οὐκ ἐπ' ἀγαθῷ τυγχάνει καλούμενος, ἐννοῶν δὲ πάλιν ὡς εἰ μὴ βούλοιτο ὑπακούειν, πόλεμον ἀνάγκη ποιεῖν, ὅπλα πρὸς Κωνστάντιον ἐκ τοῦ εὐθέως ἀράμενον, αἱρεῖται μᾶλλον τὰ τῆς εἰρήνης, καὶ τὴν γυναῖκα προαποστείλας ὡς τὸν Κωνστάντιον ἐκμειλίξασθαι, καὶ αὐτὸς ἀπῄει αὐτόμολος ἐπὶ τὸν κίνδυνον· ἡ μὲν οὖν Κωνσταντῖνα προτέρα ἐξώρμησε προεντυχεῖν τῷ ἀδελφῷ, καὶ αἰδέσασθαι αὐτὸν ὑπὲρ τοῦ ἀνδρὸς προθυμουμένη, τοῦ μή τι εἰς αὐτὸν βουλεύσασθαι ἀνήκεστον· πολλῇ δὲ προθυμίᾳ περὶ τὴν ὁδοιπορίαν χρωμένη εἰς νόσον τε ἔπεσε μεταξὺ πορευομένη· καὶ Βιθυνίας ἐπιβάσα ἐν σταθμῷ τινὶ ταύτης Γαλλικάνῳ λεγομένῳ ἀπέθανεν· ὁ δὲ Γάλλος καὶ τοῦτο παράδοξον αὐτῷ συμβᾶν μεγάλην συμφορὰν ποιησάμενος, ὅμως τᾶς πράσω τῶν δεδεγμένων οὐκ ἐξιστάμενος· ἐπεὶ δὲ εἰς Νωρίκους ἀφίκετο πόλιν αὐτῶν Πυταβιῶνα καλουμένην, ἐνταῦθα δὴ ἀπὸ Μεδιολάνου καταπέμπεται στρατηγὸς Βαρβατίων, ἐκεῖ τοῦ Κωνσταντίου τὸ τηνικαῦτα τυγχάνοντος· ὃς τὸν Γάλλον ἀφαιρεῖται τῆς ἀλουργίδος, καὶ εἰς ἰδιώτην μετασκευάσας, ἐξόριστον αὐτὸν εἴς τινα νῆσον τῆς Δαλματίας κατέστησε.

Digitized by Google

15. Τοῦ δὲ Γάλλου εἰς τὴν νῆσον ἀπηγμένου, εἰ τὸ πᾶν ἐπ' αὐτῷ συστήσαντες, Εὐσέβιος δὲ μάλιστα ἦν ὁ εὐνοῦχος ὁ τὴν τοῦ πραιποσίτου τιμὴν ἔχων, καὶ οἱ σὺν αὐτῷ, πείθουσι Κωνστάντιον ὡς τάχιστα τὸν Γάλλον ποιήσασθαι ἐκ ποδῶν· ὁ δὲ πεισθεὶς, πέμπει τοὺς ἀποκτενοῦντας αὐτὸν· καὶ ἤδη τούτων ἀφικνουμένων, πάλιν ὁ Κωνστάντιος εἰς ἔλεον μετεκλίθη, καὶ πέμπει διὰ ταχέων ἑτέρων γραμμάτων τὸν Γάλλον τοῦ πάθους ἀνακαλούμενος. Ὁ δὲ Εὐσέβιος καὶ οἱ σὺν αὐτῷ πείθουσι τὸν πεμφθέντα Μαγιστριανὸν μὴ πρότερον ἐπιστῆναι δεικνύντα τὸ γράμμα, πρὶν ἂν πύθοιτο τὸν Γάλλον ἀνῃρημένον· ἐγένετο ταῦτα, καὶ ὁ Γάλλος ἐτεθνήκει· ὁ δὲ Κωνστάντιος περὶ τοῖς πραγμασι δείσας, μὴ οὐχ' οἷος τε ᾖ μόνος ἁπάσης εἶναι τῆς ἀρχῆς ἐγκρατὴς, ἄλλως τε καὶ τῶν Γαλατῶν ὀξύτατα δὴ καὶ ὁπότε προθυμηθείεν εἰς τὰς τυραννίδας ἐγειρομένων, διά τε σώματος ἰσχὺν καὶ κουφότητα φρονημάτων, μετέμελε τότε τὸν Γάλλον ὑποξελών· καὶ λογισάμενος ὡς τὸ συγγενὲς τοῦ ὀθνείου καὶ ἀλλογενοῦς ἀσφαλέστερον εἶναι μακρῷ πρὸς κοινωνίαν τῆς βασιλείας, Ἰουλιανὸν τὸν ἀδελφὸν τοῦ Γάλλου ἐκ τῆς Ἰωνίας μεταπεμψάμενος ἐν τῇ Μεδιολάνῳ, καίσαρα ἀνέδειξεν, καὶ τὴν ἀδελφὴν αὐτῷ τὴν ἑαυτοῦ Ἑλένην εἰς γάμον ἐκδοὺς, καὶ τὰ πιστὰ πρὸς αὐτὸν ποιησάμενος, τοῦτον μὲν ἐξέπεμψεν εἰς τὰς Γαλλίας φύλακα τῆς ἐκεῖσε βασιλείας ἐσόμενον· αὐτὸς δὲ εἰς Ἰλλυριοὺς ἀφικόμενος, ἐν τῷ Σιρμίῳ διῆγεν.

16. Ἀκούσας δὲ ταῦτα ὅτι οἱ πέραντοι Ἴστρου βάρβαροι μέλλουσιν ἐπιστρατεύειν τῇ τῶν ῥωμαίων ἀρχῇ, ἀπάρας ἀπὸ τοῦ Σιρμίου πρὸς τὸν Ἴστρον διέβη, καὶ πρὸς αὐτῇ τῇ ὄχθῃ χρόνον οὐκ ὀλίγον ποιήσας, ἐπεὶ τὰ τῶν βαρβάρων ἠρέμει

Digitized by Google

συστήματα, πάλιν εἰσὶ τὴν Θράκην ἤλαυνεν· ἐπεὶ δὲ ἐν Ὀδρυσαῖς ἐτύγχανε γεγονὼς, ἔνθα πόλιν κτίσας Ἁδριανὸς ὁ βασιλεὺς τὴν ἑαυτοῦ καταλέλοιπε τῷ τόπῳ προσηγορίαν, ἐπύθετο πρός τινας τῶν ἐπισκόπων, ὡς τὰ σώματα τῶν τοῦ Χριστοῦ ἀποστόλων Ἀνδρέου καὶ Λουκᾶ, ἐν Ἀχαΐᾳ τεθαμμένα τυγχάνουσιν, Ἀνδρέου μὲν ἐν Πάτραις, Λουκᾶ δὲ ἐν Θήβαις τῆς Βοιωτίας· ὡς οὖν ἤκουσεν ὁ βασιλεὺς ταῦτα Κωνστάντιος, ἥσθη τε τῷ λόγῳ καὶ ἐπὶ μέγα ἐβόησε, καὶ πρὸς τοὺς παρόντας φησὶ· καλέσατέ μοι Ἀρτέμιον· τοῦ δὲ τάχος παραγενομένου, συγχαίρω σοι ἔφη ἀνδρῶν ἁπάντων θεοφιλέστατε· ὁ δὲ πρὸς αὐτὸν, καὶ εἴης μοι κεχαρμένος ὦ βασιλεῦ διὰ παντὸς, καὶ μήποτέ σε τῶν ὀχληρῶν τι καταλήψεται· καὶ ὁ βασιλεὺς· ζητεῖς δέ τι χαριωδέστερον ὦ φίλων ἄριστε τῆς τῶν σωμάτων τῶν τοῦ Χριστοῦ ἀποστόλων εὑρέσεως; καὶ ὁ μέγας Ἀρτέμιος· τίς καὶ πόθεν ὦ δέσποτα ὁ τοῦτον ἡμῖν τὸν θησαυρὸν φανερώσας τὸ τήμερον; καὶ ὁ Κωνστάντιος, ὁ τῆς Ἀχαΐας ἐπίσκοπος ὁ νῦν ἐφορεύων ἐν Πάτραις· ἀλλ' ἄπιθι, ἀνδρῶν ἄριστε, καὶ τὰ τάχος ἐν Κωνσταντινουπόλει τὴν τούτων ἄνοδον ποίησαν.

17. Ταῦτα παρὰ τοῦ βασιλέως ἀκούσας ὁ μέγας Ἀρτέμιος, ἐπορεύετο τὴν ἐπὶ τοὺς ἀποστόλους ὁδὸν, ἀνακομίσων τὰ τούτων σανάγια λείψανα ἐπὶ τὴν Κωνσταντινούπολιν· ὁ δὲ τὴν ἱστορίαν γράφων, τοιαῦτα περὶ Κωνσταντίου καὶ τοῦ μάρτυρος φάσκει· λέγεται δὴ περὶ Κωνσταντίου ὅτι οὐ μόνον τὰ πρὸς θεὸν σπουδαῖος τὲ καὶ ἐράσμιος ὑπῆρχεν, εἰ καὶ πρὸς τὴν ἀρειανικὴν ἀπέκλινεν αἵρεσιν ὑπὸ τοῦ δυσσεβοῦς τε καὶ ἀθεωτάτου Εὐσεβίου τοῦ τῆς Νικομηδείας ἐπισκόπου συνελκυσθεὶς, ἐπεὶ τά γε ἄλλα μέτριος, καὶ εὐσχημοσύνης ἐς τὰ μάλιστα ἐπιμελούμενος, καὶ σωφροσύνης

Digitized by Google.

ἄκρος ἐπειλημμένος περί τε τὴν δίαιταν καὶ τὸν ἄλλον τρόπον· καὶ πλείστην γε τὴν εἰς τὰς ἐκκλησίας ἐποιεῖτο σπουδήν, μακρῷ τὸν ἑαυτοῦ πατέρα ταῖς περὶ ταῦτα προθυμίαις ὑπερβαλέσθαι φιλοτιμούμενος· καὶ τήν τε ἐκκλησίαν ἐδείματο τὴν μεγίστην ἐν τῇ πόλει τοῦ πατρὸς, πλησίον τῆς γερουσίας, κάτωθεν τοῦ ἔργου καὶ ἐκ κρηπίδων ἀρξάμενος· καὶ τὸν τοῦ πατρὸς τάφον τιμῶν, νεὼν ἐξῳκοδομήσατο μέγιστον ἐκεῖ θρησκευτήριον· καὶ Ἀνδρέαν τὸν ἀπόστολον ἐκ τῆς Ἀχαΐας μετενεγκών, ὡς πρόσθεν, ἐκεῖ μετέθηκεν· καὶ μὴν καὶ Λουκᾶν τὸν εὐαγγελιστὴν ἐκ τῆς αὐτῆς μετέθηκεν Ἀχαΐας, καὶ Τιμόθεον ἐξ Ἐφέσου τῆς Ἰωνίας.

18. Ὁ δὲ ἦν τῶν γε δὴ βελτίστων ἀνθρώπων ὁ τὴν διακομιδὴν τούτων ποιήσασθαι προσταχθείς· καὶ γέρας γε αὐτῷ τῆς λειτουργίας ὁ βασιλεὺς, δεηθέντων τῶν ἐπισκόπων, τὴν τῆς Αἰγύπτου παρέσχεν ἀρχήν· καὶ ταῦτα μὲν ὁ τὴν ἱστορίαν συνάγων περὶ τοῦ μάρτυρος, συμμαρτυρῶν αὐτῷ, ὅτι καὶ πρὸ τῶν τῆς μαρτυρίας ἀγώνων, πᾶσιν ὑπῆρχεν αἰδέσιμος διὰ τὴν ἀπαστράπτουσαν τοῦ βίου αὐτοῦ ἀρετήν· περὶ δὲ τοῦ Λουκᾶ, καὶ τοιονδέ τι διηγήσατο Ἀνατόλιος ὁ εὐνοῦχος τῶν ἐκ τοῦ βασιλικοῦ κοιτῶνος, αὐτὸς ἐφ' ἑαυτοῦ τὴν τῆς ἁγιστείας πεῖραν δεξάμενος· ἔφασκεν οὖν οὗτος ὁ Ἀνατόλιος φύλλῳ διακεῖσθαι, καὶ μείζον ἤδη τὸ πάθος, ἢ κατὰ τὴν τῶν ἰατρῶν εἶναι τέχνην· τῆς οὖν λάρνακος ἐν ᾗ κατακείμενος ἦν ὁ Λουκᾶς ἐπειδὴ προσεπεπλεύκεσαν οἱ ἄγοντες αὐτὴν, ἄρτι ἐκ τῆς θαλάσσης ἐπὶ τὸν νεὼν κομιζομένης, αὐτὸς ὑπὸ προθυμίας ὑπελθεῖν καὶ συνδιαβαστάσαι τοῖς φέρουσιν αὐτὴν ἐφ' ὅσον αὐτῷ τὰ τῆς δυνάμεως εἶχε, καὶ τότε παραυτί-

Digitized by Google

κα ἀπαλλαγῆναι τῆς νόσου, καὶ εἰς τὸν ἔπειτα τῆς ζωῆς αὐτοῦ χρόνον παρελκυσθέντα ἐπ' οὐκ ὀλίγων ἐτῶν ἀριθμόν· τὸν γοῦν τῶν ἀποστόλων νεὼν Κωνστάντιος ᾠκοδόμησε πρότερον, κἄν ὕστερον Ἰουστινιανὸς ἐπὶ τὸ μεγαλειότερον κατεσκεύασε, καὶ κρείττοσιν ὕλαις εἰς τὸ κοσμιώτερον κατεφαίδρυνε· καὶ ἔστιν νῦν ὁ νεὼς ἔνθα κεῖται τῶν ἀποστόλων τὰ σώματα, κενῷ ὀνόματι τῶν ἀποστόλων ἐπικαλούμενος.

19. Ὁ μὲν οὖν μέγας Ἀρτέμιος ἐπὶ τὴν Αἴγυπτον ἐπορεύετο, τὴν τοῦ δουκὸς ἀξίαν ἀμφικασάμενος· ὁ δὲ Κωνστάντιος ἄρας ἀπὸ τῆς Κωνσταντινουπόλεως, τὴν ἐπὶ τῆς Συρίας ἐποιεῖτο ὁδὸν· καὶ φθάσας τὴν μεγαλόπολιν Ἀντιόχειαν, αὐτοῦ κατασκηνεῖ, τὸν πρὸς τοὺς Πέρσας ἑτοιμαζόμενος πόλεμον· αὐτοῦ δὲ χρονοτριβήσαντος ἐν τῇ πόλει καὶ τὸν στρατὸν ἐξαρτύοντος, ἀφίκετο γράμματα πρὸς αὐτὸν δηλοῦντα τὴν τοῦ Ἰουλιανοῦ ἐπανάστασιν· ὁ γὰρ Ἰουλιανός, ὡς δεδήλωταί μοι καὶ πρόσθεν, ἵνακα τῶν περὶ τούτων ἐποιούμην λόγον, ἐπὶ φυλακῇ τῶν ἑσπερίων εἰς τὰς Γαλλίας ὑπὸ τοῦ Κωνσταντίου καῖσαρ ἀποδειχθείς, αὐτὸς ἐπὶ πλεῖον ἐν τῷ τοῦ καίσαρος σχήματι εἶναι μὴ ἀνασχόμενος, τό τε διάδημα περιτίθεται, καὶ τῆς μείζονος ἀνθάπτεται βασιλείας· ἐπεὶ δὲ ἀντελάβετο τῶν πραγμάτων, οὐκέτι μικρὸν οὐδὲν ἐνενόει, οὐδὲ διαμέλλειν ἐγίγνωσκε δεῖν· ἀλλὰ τὴν Εὐρώπην τέως ὑφ' ἑαυτῷ ποιήσασθαι πᾶσαν ἐθέλων ἐπόσῃ ῥωμαίοις ὑπακούει, τῷ στρατῷ συνταξάμενος διὰ γερμανῶν ἐπὶ τὸν Ἴστρον ἐχώρει, καὶ τῆς πέραν ἔχθης λαβόμενος, διὰ τῶν ἐκείνης χωρίων ἤλαυνεν· ἀμφοτέρους τοὺς ὑπάρχους διαλαθών, τόν τε τῶν Ἰταλιῶν Ταῦρον οὕτω καλούμενον καὶ τὸν Ἰλλυριῶν Φλορέν-

Digitized by Google

τισν· ἐπεὶ δὲ κατὰ Παίονας ἐγένετο, διαβὰς ἐπὶ θάτερα τὸν ποταμὸν, αὐτίκα τήν τε Ἰλλυρίδα πᾶσαν ὑφ' ἑαυτῷ γῆν εἶχε, καὶ τὰς Ἰταλίας, καὶ τὰ μέχρι τοῦ ἑσπερίου ὠκεανοῦ σύμπαντα ἔθνη ὁπόσα τῆς ῥωμαίων ἐπικρατήσεως ἦν.

20. Ὁ δὲ Κωνστάντιος ταῦτα διὰ τῶν γραμμάτων μαθὼν, ἐταράχθη τε ὥσπερ καὶ εἰκὸς ἦν, καὶ περὶ τῆς Κωνσταντινουπόλεως μάλιστα δείσας μὴ ὅπερ κἀκεῖνος διενοεῖτο φθάσειεν αὐτὴν ὑφ' ἑαυτὸν ποιησάμενος, ὑπείγετο οὖν κατὰ τὸ δυνατὸν προκαταλαβεῖν· ἐν ὅσῳ δὲ ὁ στρατὸς αὐτῷ συνελέγετο κατὰ τὰς πόλεις τῆς ἑώας ἐσκεδασμένος, καὶ ἔμελλεν ἐξαρτύεσθαι ὡς πρὸς τοσαύτην ὁδὸν, σημαίνει τοῖς ἐπισκόποις εἰς τὴν Νίκαιαν αὐτὸν ὡς ὅτι τάχιστα φθῆναι πρεσβεύσαντας· ἐμελέτα γὰρ δευτέραν ἐν αὐτῇ συγκροτῆσαι σύνοδον, παρὸ τῶν δυσσεβῶν ἀρειανῶν κατὰ τοῦ ὁμοουσίου παροτρυνόμενος· ἐωσὶ δὲ τὴν Κιλικίαν διεξελθὼν εἰς τὰς Μόψου καλουμένας κρήνας ἀφίκετο, ἀσθένειά τις αὐτῷ ἐξαπιναίως προσέπεσε, καὶ οὐκ εἷός τε ἦν ἔτι τὸ πρόσω χωρεῖν· ὡς δὲ ἤσθετο φαύλως ἔχων ἤδη καὶ οὐκ ἂν βιωσόμενος, τὴν ταχίστην τὸν Ἀντιοχείας ἐπίσκοπον μεταπέμπεται Εὐζῶϊον, καὶ αὐτῷ βαπτίσαι αὐτὸν ἐπιτρέπει· βαπτισάμενος δὲ καὶ μικρὸν ἐπιβιοὺς, αὐτόθι προλείπει τὸ ζῆν, βασιλεύσας τὰ σύμπαντα ἔτη τεσσαράκοντα, τὰ μὲν ἡμίσεα μετὰ τοῦ πατρὸς, τὰ δὲ ἐπίλοιπα μόνος· αὐτὸν δὲ ἡ στρατεία ὀλοφυραμένη, καὶ τὰ νομιζόμενα ἐπ' αὐτῷ τελεσάσα, λάρνακι τοῦτον ἐνέθεσαν, τοῖς εἰωθόσιν εἰς τὸ διαρκέσαι σκευάσαντες τὸν νεκρὸν, καὶ εἰς ὁρμαμάξαν ἐνθέμενοι, ἐκόμιζον ἐπὶ τὴν Κωνσταντινούπολιν, σὺν τοῖς εἰκείοις ἕκαστοι ὅπλοις αὐτῷ ἑφεπόμενοι, καὶ κατὰ τὸν αὐτὸν κόσμον ὅν περ καὶ ζῶντος ὑπὸ τοῖς ἡγεμόσι τεταγμένοι ἐτύγχανον.

Digitized by Google

21. Οὗτοι μὲν διὰ τὴν Κωνστατινούπολιν εἶχον, ἄγοντες τὸν νεκρὸν, καὶ Ἰουλιανὸς συνομάρτησεν ἐκ τῶν Ἰλλυριῶν ἀφικόμενος, καὶ ἤδη βεβαίως ἔχων τὴν πᾶσαν βασιλείαν, οὐδενὸς αὐτὸν μετὰ τὸν Κωνσταντίου θάνατον ἐναντιωθῆναι τολμήσαντος· κομιζομένου δὲ τοῦ νεκροῦ ἐπὶ τῷ νεῷ τῶν ἀποστόλων ἵνα περ αὐτὸν καταθήσειν πλησίον τοῦ πατρὸς ἔμελλον, αὐτὸς ἡγεῖτο τῆς κλίνης τὸ δίαθημα τῆς κεφαλῆς περιελών· ἐπεὶ δὲ ἔθαψαν αὐτὸν, ἐπὶ τὰ βασίλεια ἤδη ἀπαλλαττόμενος, τό τε διάθημα ἐπέθετο αὖθις, καὶ τῶν πραγμάτων ἐγκρατὴς ἦν, μόνος ἤδη τὴν ὅλην τῶν ῥωμαίων βασιλείαν ὑποζωσάμενος· ἐπεὶ οὖν ὁ Κωνστάντιος ἐκ ποδῶν ἦν, εἰς τοὺς ὑπολειπομένους καὶ μαλίστα τῷ φθόνῳ τὴν αἰτίαν παρασχομένους τῆς ἀναιρέσεως Γάλλου, ἀνέψυχε τὸ ζέον τῆς ὀργῆς· καὶ αὐτίκα Εὐσέβιον μὲν τὸν πραιπόσιτον, τῆς κεφαλῆς ἀφαιρεῖται· διό τι τὴν ἀρχήν τε ἐφαίνετο ἐκ τῶν ἑαυτοῦ διαβολῶν τὸν ἅπαντα τῷ Γάλλῳ φόνον συγκερασάμενος· Παῦλον δὲ τὸν σπανὸν εἰς τοὺς ὑπογραφέας τοῦ βασιλέως τελοῦντα πυρὶ παραδίδωσιν, ὡς πολλὰ δὴ μάλα τῷ Γάλλῳ ἐμπικρανάμενον· τούτους μὲν ἀμφοτέρους εἰς τὴν Χαλκηδόνα διαπέμψας, ἐκεῖ τῇ οἰκείᾳ δίκῃ ὑπάγει ἑκάτερον· ἀνεῖλεν δὲ καὶ Γαυδέντιον στρατηγὸν τῆς Ἀφρικῆς, καὶ ἄλλους τινὰς, ὁπόσοι τί εἰς αὐτὸν πεπαρωνήκεσαν.

22. Ἀλλὰ τούτους μὲν διὰ γραμμάτων ἐκόλασεν· τὸν δὲ τοῦ Χριστοῦ μάρτυρα καὶ γενναῖον ἀθλητὴν Ἀρτέμιον αὐτὸς δι' ἑαυτοῦ ἐν Ἀντιοχείᾳ παρὼν καὶ παρόντα, διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν ἀπανθρώπως ἐκόλασεν, καὶ τῆς παρούσης αὐτὸν ἀπεγύμνωσεν ἐξουσίας, μὴ φέρων τὴν αὐτοῦ παῤῥησίαν καὶ ἔνστασιν· ὁ γὰρ Ἰουλιανὸς, ὡς δεδή-

Digitized by Google

λωται τὴν τῶν ῥωμαίων βασιλείαν ὑποζωσάμενος, ἐσπούδαζε μάλιστα τὸν ἑλληνισμὸν ἐπανορθοῦν· πανταχοῦ τοίνυν γράμματα διαπεμπόμενος, ἐκέλευε τὰ τούτων τεμένη καὶ τοὺς βωμοὺς ἀνιστᾶν μετὰ πολλῆς σπουδῆς τε καὶ προθυμίας· καὶ ὅσας ὁ μέγας Κωνσταντῖνος ταῖς ἐκκλησίαις προσόδους ἀπένειμε καὶ ὁ τούτου υἱὸς Κωνστάντιος, ταύτας ἀφελὼν, τοῖς τῶν δαιμόνων ναοῖς ἀφιέρωσεν· ἀντ' ἐπισκόπων καὶ πρεσβυτέρων καὶ διακόνων, καταστήσας τζακόρους, καὶ νεωκόρους, καὶ ῥάντας, καὶ θύτας, καὶ κανηφόρους, καὶ ὅσας ὁ ἑλληνικὸς ὕθλος ἐπιφημίζει προσωνυμίας· ταῦτα μὲν οὖν καὶ ἕτερα διεπράττετο κατὰ τὴν Κωνσταντινούπολιν.

23. Μετὰ δὲ ταῦτα μητρὸς αὐτοῦ ἀδελφὸν ἔχων Ἰουλιανὸν τοὔνομα, τὴν τοῦ χριστιανισμοῦ θρησκείαν ἀπαρνησάμενον διὰ τὴν ἐκείνου χάριν, καὶ πολλὴν ὑπὲρ τοῦ ἑλληνισμοῦ προθυμίαν ἐπιδεικνύμενον, ἄρχοντα τῆς ἑῴας ὃν καλοῦσι κόμητα ἐξέπεμψεν, ἐντειλάμενος τὰ μὲν τῶν ἐκκλησιῶν πράγματα κακοῦν τε καὶ διαφθείρειν, πανταχοῦ δὲ καὶ διὰ πάσης ἰδέας τὸν ἑλληνισμὸν αὔξειν τε καὶ ἐπαίρειν· ὁ δὲ ἀφικόμενος ἐν Ἀντιοχείᾳ, ἐπειρᾶτο μείζω τῶν ἐντεταλμένων τοῖς ἔργοις φαίνεσθαι, καὶ δὴ προσαφαιρεῖται μὲν πασῶν τῶν ἐκκλησιῶν ἅπαντα τὰ κειμήλια ὅσα ἐν ἀργύρῳ τε καὶ χρυσῷ καὶ σηρικοῖς ὑφάσμασι διετέλει, ἀποκλείει δὲ καὶ τὰς ἐκκλησίας τοῦ μή τινα εἰσφοιτᾶν ἐν αὐταῖς εὐχῆς ἕνεκα, κλεῖθρα καὶ μοχλοὺς τοῖς πυλῶσιν ἐπιβαλών· καὶ ταῦτα μὲν κατὰ τὴν Ἀντιόχου πόλιν ὁ τῆς ἀνατολῆς ἄρχων εἰργάζετο.

24. Ὁ δὲ βασιλεὺς Ἰουλιανὸς ἔτι κατὰ τὴν Κωνσταντινούπολιν διεῖλκε τινὰ χρόνον, τὰ ἐν ταύτῃ κρατύνας εἰς

ὅπερ ἐνομίζετο μάλιστα τῇ βασιλείᾳ συμφέρειν, καὶ ὅπως ὁ ἑλληνισμὸς αὐτῷ πρὸς τὸ μεγαλειότερον ἐξαρθῇ σκοπῶν τε καὶ πραγματευόμενος· ἆρας οὖν ἐκ τῆς Κωνσταντινουπόλεως σὺν παντὶ τῷ στρατῷ τὴν ἐπὶ τῆς Συρίας ἐπειεῖτο ὁδόν· διελθὼν τοίνυν ἅπασαν τὴν Φρυγίαν, καὶ πρὸς τὴν ἐσχάτην αὐτῆς πόλιν τὸ καλούμενον Ἰκόνιον καταντήσας, ἐξέκλινε τὴν Ἰσαυρίαν καταλιπὼν, καὶ τὸν γενόμενον Ταῦρον ὑπεραναβὰς, ἦλθεν ἐπὶ τὰς πόλεις τῆς Κιλικίας, καὶ τῷ σταθμῷ προσπελάσας τῷ ἐν Ἰσσῷ, αὐτοῦ κατασκηνεῖ, τὸν ἐκ Μακεδονίας Ἀλέξανδρον μιμησάμενος· αὐτόθι γὰρ κἀκεῖνος ἐν Ἰσσῷ τὸν πρὸς Δαρεῖον τῶν περσῶν βασιλέα συνεκρότησε πόλεμον, καὶ τοῦτον νικήσας, ἐπίσημον τὸν τόπον εἰργάσατο· ἐκεῖθεν τὸν Ἰσσικὸν κόλπον διαπεφάσας, ἦλθεν ἐν Ταρσοῖ τῇ πόλει· κακεῖθεν εἰς Ἀντιόχειαν, θυμομαχῶν κατὰ τῶν χριστιανῶν καὶ ἐπαπειλούμενος τὸ τούτων εἰς ἅπαν ἐξαλείφειν ὄνομα.

25. Ἐλθόντι τριγαρσῦν τῷ τυράννῳ ἐν Ἀντιοχείᾳ τῇ πόλει καὶ πρὸς τοῖς βασιλείοις οἴκοις κατασκηνώσαντι, καὶ οὐδὲ πρὸς ἡμέραν μίαν ἡσυχάσαντι, προσήχθησαν αὐτῷ ὥσπερ ἀπό τινος παραγγέλματος διαβληθέντες, Εὐγένιος καὶ Μακάριος πρεσβύτεροι τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας ὑπάρχοντες· οὓς προκαθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσε παραστῆναι ὁ ἀλιτήριος, καὶ φησὶ πρὸς αὐτούς· τίνες ἐστὲ ἄνθρωποι, καὶ ποίου βίου καὶ τύχης τυγχάνοντες, ἐπὶ τοῦ ἡμετέρου προσήχθητε βήματος; Εὐγένιος ἔφη· χριστιανοὶ ἐσμὲν, καὶ τῆς Χριστοῦ ποίμνης ἀγελάρχαι τυγχάνομεν· τοῦτο βίος ἡμῖν καὶ τύχη καὶ ἐπιτήδευμα· καὶ ὁ βασιλεὺς· οὗ τοίνυν ἐστὶν ἡ τοῦ Χριστοῦ ποίμνη ἧς ὑμεῖς ἀγελάρχαι τυγχάνετε; καὶ ὁ Εὐγένιος· πᾶσα ἡ οἰκουμένη ὅσην

Digitized by Google

ὁ ἥλιος ἐφορᾷ, καὶ ὅσοι ἐπὶ ταύτης εἰσὶν ἄνθρωποι· καὶ ὁ Ἰουλιανὸς· ἡμεῖς δὲ τίνων ἄρχομεν καὶ τίνων σήμερον βασιλεύομεν, ὦ ταλαίπωρον καὶ δυστυχέστατον ἀνθρωπάριον, εἰ ὅσην ὁ ἥλιος ἐφορᾷ γῆν ὁ Χριστὸς πέπμπην κέκτηται; καὶ ὁ μάρτυς· τῆς αὐτῆς ὦ βασιλεῦ καὶ πέμπης καὶ ἀγέλης ἐπιστατεῖς, ἧς περ καὶ ἡμεῖς ἀγελόρχαι τυγχάνομεν· δι' αὐτοῦ γὰρ βασιλεῖς βασιλεύουσιν, καὶ τύραννοι κρατοῦσι γῆς, καὶ αὐτός σοι τὸ βασίλειον σήμερον δέδωκε· κἂν αὐτὸς ἀχάριστος περὶ τὸν εὐεργέτην ἐφάνης, αὖριον δὲ πάλιν ἄλλῳ τινὶ δώσει· ἐφήμερος γὰρ εἶ, καὶ ἐφημέρων νῦν βασιλεύεις· αὐτὸς δὲ τὴν βασιλείαν αἰώνιον κέκτηκται, καὶ πέρας οὐδέπω λαμβάνουσαν.

26. Καὶ ὁ παραβάτης· ἀνόσιε καὶ τῆς τῶν Θεῶν εὐμενείας ἀλλότριε, χθιζὸς ὢν ὁ Χριστὸς καὶ ἐφήμερος, κἀκ τῶν τοῦ καίσαρος Αὐγούστου χρόνων ἀρξάμενος, αἰώνιος βασιλεὺς ὑπὸ σοῦ κεχειροτόνηται σήμερον; καὶ ὁ μάρτυς· ναὶ κατὰ τὸ ἀνθρώπινον καὶ τὸ τῆς ἀφράστου καὶ ἀῤῥήτου οἰκονομίας αὐτοῦ μυστήριον, εἴτ' οὖν σαρκώσεως, οὕτως ἔχει βασιλεῦ, ἐπεὶ κατὰ τὴν θείαν αὐτοῦ καὶ πρεσβώτιον γέννησιν οὐδεὶς εὑρεθήσεται χρόνος ὁ ταύτης ὑπέρτερος· καὶ ὁ παραβάτης νομίσας ἀπαίδευτον εἶναί τινα τὸν τοῦ Χριστοῦ μάρτυρα, καὶ τῆς ἑλληνικῆς σοφίας ἀμέτοχον, διαχλευάζων ἔφη πρὸς αὐτὸν· οἰκοῦν, ὦ ταλαίπωρε, ὁ Χριστός σου δὶς ἄρα γεγένηται; καὶ εἰ ἐπὶ τούτῳ κομπάζεις, εἰσὶ καὶ παρ' ἕλλησιν ἄνδρες σοφώτατοι οὐ μόνον δὶς γεννηθέντες, ἀλλὰ καὶ τρὶς· ὅ τε γὰρ Ἑρμῆς ὁ τρισμέγιστος ἐπικαλούμενος, τρίτον ἦλθεν ἐν κόσμῳ, ἑαυτὸν ἐπιγνούς, καθὼς αἱ ἱεραὶ αὐτοῦ καὶ θαυμάσιοι βίβλοι διαγορεύουσι, καὶ διὰ τοῦτο τρισμέγιστος ὀνομάζεται· ὁμοίως δὲ καὶ Πυθαγόρας

Digitized by Google

ὁ τούτου μεταγενέστερος, καὶ αὐτὸς τρίτον ἦλθεν ἐν βίῳ· πρότερον μὲν αἰγύπτιος γεγενὼς ναύκληρος, ἔπειτα δ' Εὔφορβος ὁ ὑφ' Ὁμήρου μνημενευόμενος, ἔσχατον δὲ Πυθαγόρας Μνησάρχου υἱὸς σάμιος.

27. Καὶ ὁ μάρτυς καταγελάσας τῶν ληρημάτων, μᾶλλον δὲ κομψευμάτων τοῦ σοφοῦ βασιλέως, καὶ τῆς τῶν ἀσεβῶν ἑλλήνων μωρολογίας· ὑπενοήσας δὲ τὸν τύραννον τὴν τοῦ Χριστοῦ γέννησιν διὰ τουτωνὶ τῶν ῥημάτων χλευάζειν πειρώμενον, ἔφη πρὸς αὐτὸν μετὰ πολλῆς αὐστηρίας καὶ γενναιότητος· ἔδει τὴν ἀρχὴν μὴ δὲ ἀποκρίνασθαί σοι παρανεμώτατε· μὴ δὲ τῆς εἰασοῦν ἀπολογίας καταξιῶσαι σε· ἀλλὰ διὰ τὸν παρεστῶτα ὄχλον, ὅτι τῆς τοῦ Χριστοῦ πίμνης οἱ πλείονες αὐτῶν τυγχάνουσιν, εἶπον ὅσα περ εἶπον, καὶ νῦν ἐπ' ὀλίγον ἐρῶ τῆς αὐτῶν κηδόμενος σωτηρίας· ὅτι τὸν Χριστὸν ἄνωθεν καὶ πρὸ πολλῶν γενεῶν οἱ προφῆται προκατήγγειλαν, καὶ πολλὰ τῆς παρουσίας αὐτοῦ τὰ μαρτύρια κἀκ τῶν παρ' ὑμῖν χρησμῶν καὶ τῶν σιβυλλείων γραμμάτων· καὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ ἡ αἰτία ἐπὶ σωτηρίᾳ καὶ ἀνακλήσει τῆς τῶν ἀνθρώπων ἐκπτώσεως γέγονεν· ἐλθὼν γὰρ ἐπὶ τῆς γῆς, πᾶσαν νόσον ἀπήλασε, καὶ τὸ παραδεξότερον καὶ ῥήματι νεκροὺς ἤγειρεν ἐδωδέτας, καὶ τὸ δὴ πάντων θαυμασιώτερον, ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας παθὼν τὸ διὰ σταυροῦ πάθος, ἀνέστη τριήμερος ἐκ τῶν νεκρῶν ὑπὸ μάρτυσι πεντακοσίοις, καὶ στρατιωτῶν φρουρούντων αὐτοῦ τὸν τάφον, ἵνα μὴ σχῇ χώραν ὁ τὴν ἀνάστασιν αὐτοῦ συκοφαντῆσαι βουλόμενος· καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, ὤφθη τοῖς μαθηταῖς αὐτοῦ ἐφ' ἅλαις τεσσαράκοντα ἡμέραις μετ' αὐτῶν συναναστρεφόμενος, καὶ ὁρώντων αὐτὸν καὶ βλεπόντων ἀνελήφθη εἰς τοὺς οὐρανούς, ἐξαπο-

Digitized by Google

στείλας αὐτοῖς τὴν τοῦ ἁγίου πνεύματος δωρεὰν τε καὶ δύναμιν· ὥστε καὶ γλώσσαις ἀλλογενῶν ἀποφθέγγεσθαι, καὶ μὴ ἔχειν χρείαν τοῦ ἑρμηνεύοντος, ἐλάλει γὰρ ἐν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, ὥστε καὶ τὰ πόῤῥω προβλέπειν καὶ προφητεύειν τὰ μέλλοντα· οἵ τινες ἐξελθόντες, ἐκήρυξαν αὐτὸν πανταχοῦ, μηδὲν ἐπιφερόμενοι ἢ μόνην τὴν αὐτοῦ ἀόρατον δύναμιν, σὺν ἀσπίδα καὶ δόρυ καὶ ξίφος κατέχοντες, ἀλλὰ γυμνοὶ καὶ ἄοπλοι καὶ πένητες, πάντα τὸν κόσμον ἐζώγρησαν, νεκροὺς ἐγείροντες, λεπροὺς καθαρίζοντες, δαιμόνια ἐκβάλλοντες· καὶ ταῦτα τίνες; ἁλιεῖς καὶ ἀγράμματοι καὶ τῆς τοῦ κόσμου σοφίας ἀμέτοχοι.

28. Οὓς δὲ αὐτὸς παρεισήγαγες ἐπικερτομῶν τὴν τοῦ Χριστοῦ γέννησιν ἄνδρας σοφούς τε καὶ θεολόγους, ὡς νῦν εἴρηκας, εἰ καὶ δοίημεν ἀληθὲς γενέσθαι τοῦτο τὸ παραλήρημα, τί γεννηθέντες ὄις τε καὶ τρὶς καὶ τετράκις τὸν κόσμον ὠφέλησαν, ἢ μέρος τί τῶν τοῦ κόσμου μικρὸν ἢ ἐλάχιστον; τίς ἐκ τῶν βίβλων Ἑρμοῦ τε καὶ Πυθαγόρου, νεκροὺς ἐξανέστησεν, ἢ λεπροὺς ἐκαθάρισεν, ἢ δαίμονας ἀπήλασεν, οὓς ὑμεῖς θεραπεύετε; ἀλλ' Ἑρμῆς μὲν ὁ τρισμέγιστος ὑφ' ὑμῶν προσαγορευόμενος, αἰγύπτιος γέγονεν ἄνθρωπος, καὶ τοῖς αἰγυπτίων νόμοις τραφεὶς γυναῖκα τε γήμας, παῖδας ἐτέκνωσεν, ὧν τὸν πρεσβύτερον, Τὰτ ὀνομάζουσι, πρὸς ὃν αὐτὸς διαλέγεται καὶ τοὺς ἑαυτοῦ λόγους ἀφοσιοῖ, πρός τε τὸν ἐξ Ἐπιδαύρου Ἀσκλήπιον τὸν προκατάρξαντα καθ' ὑμᾶς τῆς ἰατρικῆς ἐπιστήμης, ὃς καὶ τὴν ἑαυτοῦ θεολογίαν διασαφεῖ ἔχουσαν οὕτως· θεὸν νοῆσαι μὲν χαλεπὸν, φράσαι δὲ ἀδύνατον· ἔστι γὰρ τρισυπόστατος, ἀνερμήνευτος οὐσία καὶ φύσις, οὐκ ἔχουσα παρὰ βροτοῖς ἐξομοίωσιν· οὓς δὲ θεοὺς ὀνομάζουσιν ἄνθρωποι,

Digitized by Google

πολὺ τὸ μυθῶδες καὶ σφαλερὸν ἐφ' ἑαυτοὺς ἐπεσπάσαντο· καὶ περὶ τῆς τοῦ Χριστοῦ ἐλεύσεως, καὶ αὐτὸς ἀμυδράν τινα προφητείαν διαγορεύει, οὐκ ἐξ ἑαυτοῦ ἀλλ' ἐκ τῆς ἑβραίων θεολογίας ταύτην ἀπαρρυσάμενος· ἀλλὰ τί μοι τῶν σαπρῶν τε καὶ ὀδωδότων Ἑρμοῦ ῥημάτων τῶν παρ' ὑμῖν τιμωμένων, ἤδη πρὸ πολλοῦ σεσηπότων καὶ ἀπερρυηκότων; οὐδὲ γὰρ ὅσιον περὶ τῶν ζώντων ἐρωτᾷν τοὺς νεκρούς, ἔχων ἐκ τῶν θεοσόφων λογίων τοὺς ἀληθεῖς μάρτυρας, οἳ τὴν Χριστοῦ παρουσίαν τε καὶ θεότητα προκατήγγειλαν.

29. Πυθαγόρας δὲ ὁ τῆς ἰταλικῆς κατάρξας αἱρέσεως, τί μέγα καὶ θαυμαστὸν ἐν τῷ βίῳ τρὶς παραχθεὶς ἀπειργάσατο; ἢ ὅτι ἐν Ὀλυμπίᾳ γενόμενος, ὡς ὑμεῖς φάσκετε, χρυσοῦν τὸν ἑαυτοῦ μηρὸν ἐλλανοδίκαις ὑπέδειξε· καὶ βοῦν θύεσθαι μέλλοντα μυκησάμενον, ἀνδρὸς ἔφη ψυχὴν ἐμοὶ φιλτάτου κέκτηται, καὶ διὰ τοῦ μυκήματος προσαγορεύει με ὁ ταλαίπωρος· καὶ ἀετὸν ἐν ὕψει πετόμενον, δι' σπουδῆς καταπεσεῖν ἐπὶ γῆς πεποίηκε· ταῦτα ὁ τρὶς γεννηθεὶς ἐθαυματούργει ἐν Ὀλυμπίᾳ γενόμενος, δοξομανῶν καὶ φαντασιούμενος ὁ τρισάθλιος· ὁ τὴν τετρακτὺν ὅρκον τιθέμενος, καὶ ταύτην φάσκων πηγὴν ἀενναόν φύσεως· ὁ τοὺς κυάμους σεβόμενος, δι' οὓς καὶ ἀπώλετο μετὰ τῶν αὐτοῦ ἑταίρων ὑπὸ τῶν Ταραντίνων συνελαυνόμενος· μὴ βουλόμενος γὰρ τὸν τόπον πατῆσαι ἐν ᾧ οἱ κύαμοι ἐσπαρμένοι ἐτύγχανον, αὐτὸς μετὰ τῶν ἑταίρων καὶ μαθητῶν κατασφάττεται, καὶ τῶν ἐχθρῶν γίνεται παραναλωμα· Θεανὼ δὲ ἡ τούτου γαμετὴ καὶ μαθήτρια, μὴ θέλουσα τὴν αἰτίαν κατειπεῖν, δι' ἣν τὸν κύαμον οὐκ ἐσθίουσι, τὴν γλῶσσαν ἐκτμηθεῖσα πρότερον, καὶ αὐτὴ προσαπόλλυται.

30. Ταῦτα τῶν σῶν φιλοσόφων τὰ προτερήματα τῶν δὶς

Digitized by Google

καὶ τρὶς γεννηθέντων, ὡς αὐτὸς ἐρπτόρευσας· κἀκεῖνα τοῦ ἐμοῦ Χριστοῦ ἐπὶ σωτηρίᾳ καὶ ἀνακλήσει τοῦ τῶν ἀνθρώπων γένους τὰ τερατουργήματα· καὶ Πυθαγόρας μὲν καὶ Ἑρμῆς τὰς τῶν ἀνθρώπων ψυχὰς εἰς τὸν ᾅδου πυθμένα κατάγουσι, μετεμψυχώσεις δή τινας καὶ μεταγγισμοὺς παρεισάγοντες· ποτὲ μὲν εἰς ἄλογα ζῶα καὶ θηρία, ταῦτας μετεμβιβάζοντες, ποτὲ δὲ εἰς ἰχθύας καὶ φυτὰ καὶ ἄλλας τινὰς ἐπανακυκλήσεις καὶ περιόδους κατασπῶντες αὐτὰς καὶ ἀπορραπίζοντες· ὁ δὲ Χριστὸς καθὸ θεοῦ ὑπάρχων ἀληθὴς καὶ αἰώνιος, ἀθάνατον ψυχὴν καὶ ἀγήρω κατασκευάσας τῷ ἀπ' ἀρχῆς πνεύματι θείῳ καὶ ἐμφυσήματι, ὅτε τὸν πρῶτον ἐδημιούργησεν ἄνθρωπον, ὡς αἱ θεῖαι καὶ ἀδιάβλητοι τοῦ Μωϋσεῶς διαγορεύουσι βίβλοι· καὶ πεσοῦσαν μετὰ τοῦ σώματος διὰ τῆς παρακοῆς καὶ τῆς ἀπάτης τοῦ ψυχοφθόρου δράκοντος, ἐλθὼν ἐπὶ γῆς καὶ πολιτευσάμενος, καὶ ὑποδείξας ἡμῖν ὁδὸν σωτηρίας διὰ τοῦ βαπτίσματος καὶ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως, ἐκ τῶν τοῦ ᾅδου πυθμένων εἰς οὐρανοὺς ταύτην ἐπανήγαγεν· καὶ πάλιν ἐρχόμενος κρίναι ζῶντας καὶ νεκρούς, ἐξαναστήσει τὰ σώματα, καὶ συνάψει ταῖς ἑαυτῶν ψυχαῖς, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

31. Ταῦτα τοῦ μάρτυρος φιλοσοφήσαντος, ὁ παράνομος καὶ ἀποστάτης ἔφη Ἰουλιανός· ὁρᾶτε ἄνδρες ῥωμαῖοι καὶ ἕλληνες τουτονὶ τὸν παλαμναῖον καὶ ἀλιτήριον, πόσον ἐκ τῶν ἑλληνικῶν μαθημάτων κατὰ τῆς ἡμετέρας ἐσχεδίασεν ὕβριν; μὰ τὸν ἐμοὶ προσφιλέστατον ἥλιον τὸν χρυσαυγῆ καὶ παγκόσμιον, οὐκέτι ἀνέξομαι τοῖς ἑλλήνων μαθήμασι τὸ χριστιανῶν ἀθεώτατον ἐκπαιδευέσθαι γένος· ἰδοὺ γὰρ τῆς ἱερᾶς τῶν λόγων παιδείας καὶ οὗτος ὁ κύων μεταλαβὼν, κἂν

Digitized by Google

οὐκ ἐπ' εὐθείας καὶ ὁμαλοῦ, ἀλλ' ὅμως πολλὴν τινα καὶ ἀτερπῆ περὶ τὴν ἱστορίαν μωρολογίαν κατέχεεν τῶν ἱερῶν ἐκείνων καὶ φιλοσόφων ἀνδρῶν· ταῦτα εἰπὼν, κελεύει τὸν μάρτυρα τοῖς δημίοις παραδοθῆναι, καὶ μαστιγοῦν ἄχρι πεντακοσίων πληγῶν· οἱ δὲ λαβόντες ἤκιζον ἀσανθρώπως ταῖς μάστιξι· καὶ ὁ κήρυξ ἐβόα, ποίησον τὸ τοῦ βασιλέως θέλημα, παῦσαι τῶν μωρολογιῶν καὶ ἀπαλλαγήσῃ τῶν κολαζόντων σε· ὁ δὲ μάρτυς ἐκαρτέρει τυπτόμενος, σιωπῶν καὶ μηδὲν ὅλως φθεγγόμενος.

32. Ἀτενίσας δὲ πρὸς τὸν τοῦ Χριστοῦ μάρτυρα Μακάριον, ἔφη πρὸς αὐτὸν· σὺ τί λέγεις περὶ σεαυτοῦ ταλαίπωρον ἀνθρωπάριον; Μακάριος ἔφη· σὺ εἶ ταλαίπωρος καὶ πάντων ἀνθρώπων ἀθλιώτερος κύων ῥυπαρὲ καὶ ἀκάθαρτε, ἐγὼ δὲ τῷ ὄντι μακάριός εἰμι καὶ τρισμακάριστος, κατὰ τὴν προσωνυμίαν μου, ὅτι τὸν Χριστὸν ὁμολογῶν προσκυνῶ τὸν θεοῦ υἱὸν τὸν ζῶντα καὶ πρεσβύτερον· αὐτὸς δὲ τοῦτον ἀπηρνήσω προσκολληθεὶς τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ τοῖς ὀλεθρίοις τε καὶ ἀκαθάρτοις δαίμοσιν, οἵ σε καὶ οὐκ ἐθέλοντα τῷ αἰωνίῳ πυρὶ παραπέμψουσιν· καὶ ὁ παραβάτης· οἶδα ὅτι θανατᾷς, καὶ πρὸς ὀργὴν κινῆσαί με σπεύδεις, ἵνα τάχειον ἐξαναλώσω σε· ἀλλ' οὐχ ὡς αὐτὸς ἤλπισας, οὕτως ἔσται σα ἀσεβέστατε· τοῦτο δὲ πρῶτον ἀποκρίνου καὶ δίδασκε, τί τὸ δόξαν ὑμῖν ὦ παμμίαροι, ὅτι μὴ δὲ μιᾶς τινὸς ἐξουσίας ἢ παρὰ βασιλέως ἢ παρά τινος τῶν ἀρχόντων μετειληφότες, παντὶ τὲ καὶ πανταχοῦ διατρέχοντες, τὰς τῶν μεγάλων θεῶν σπονδὰς τὲ καὶ θυσίας ἀνατρέπειν σπουδάζετε; διδάσκοντες ἂν τοὺς ἀνθρώπους, τούτους μὴ εἶναι θεοὺς, μὴ δὲ σωτῆρας τῆς οἰκουμένης, καὶ τοῦ ἀνθρωπείου γένους πρεσβευτάς τε καὶ κή-

Digitized by Google

δεμόνας τυγχάνοντας, οὓς ἡ ἀπ' αἰῶνος καὶ ἄνωθεν πατροπαράδοτος τῶν ἀνθρώπων συνήθεια, σέβειν τε καὶ προσκυνεῖν παραδέδωκεν; τὸν δὲ Χριστὸν χθὲς τὸ εἶναι ἀρξάμενον, καὶ οὐ πρὸ πολλοῦ τῆς ἡμετέρας γενεᾶς, θεὸν προαιώνιον καὶ βασιλέα τῶν ὅλων ἀνακηρύττετε.

33. Καὶ ὁ Μακάριος· οὐκ ἠρκέσθης ταῖς Εὐγενίου σοφαῖς ἀποδείξεσιν, ὦ παρανομώτατε, ὅτι τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν ἀεὶ ἐρωτᾷς; πλὴν ἐγώ σοι τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν ὁμοτρόπως ἀποκριθήσομαι, ὅτι Χριστὸς ὃν σὺ χλευάζεις καὶ διασύρεις ἐπιγελῶν, οὕτως παρακελεύεται· εἶπεν γὰρ πρὸς τοὺς ἱεροὺς αὐτοῦ μαθητάς, πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν, φεύγειν τε ἀπὸ τῶν ματαίων εἰδώλων, καὶ ἐπιστρέφειν ἐπὶ θεὸν ζῶντα, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν· οἱ γὰρ θεοί σου, οὓς αὐτὸς προσκυνεῖς, δαιμόνων εἰσὶ πλάσματα, καὶ μύθων εὑρέματα, καὶ διαβολικῆς ἐνεργείας κυοφορήματα· λέγει γὰρ περὶ αὐτῶν ἡ ἡμετέρα γραφή· θεοὶ οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν ἀπολέσθωσαν, ἀλλὰ καὶ νόμος αὐτοὺς ἕτερος βασιλικὸς ὁ παρὰ Κωνσταντίνου τοῦ σοῦ συγγενοῦς ἐκτεθεὶς, ἐκβάλλει τῆς προσκυνήσεως, καὶ καταλύει αὐτῶν τὰ σεβάσματα· ὃς εἰς Χριστὸν πιστεύσας, τὰ τῶν εἰδώλων τεμένη κατέσρεψε, καὶ τὰς προσαγομένας αὐτοῖς θυσίας διαῤῥήδην ἀπέπαυσε· τί τοίνυν ἀδικοῦμεν, ὦ βασιλεῦ, ἃ θεὸς προσέταξε, καὶ βασιλεὺς μέγας νενομοθέτηκε, κρατύνοντες καὶ διαυθεντίζοντες; ἃ δὲ ἡ τῶν παλαιῶν, ὡς ἔφης, ἀνδρῶν ἄνοια ἐκ τῆς τῶν δαιμόνων ἐφεῦρε μηχανουργίας, ἐξαφανίζοντες καὶ διακωλύοντες;

Digitized by Google

34. Καὶ ὁ παραβάτης· ἀλλὰ Κωνσταντῖνος, οἰκτρότατοι, νεωτερίσας διὰ τὰς προσπεσούσας αὐτῷ ἀνοσιουργίας, ἀπέστη τῶν Θεῶν, ὑφ' ὑμῶν τῶν γαλιλαίων ἐξαπατηθείς, ἅτε δὴ παιδείας ἀμετόχος, καὶ μήτε τοῖς ῥωμαϊκοῖς νόμοις, μήτε τοῖς ἑλληνικοῖς ἔθεσιν ἐμπεδωθείς· ἐγὼ δὲ, ὦ ἀνόσιε, τῆς ἑλληνικῆς τε καὶ ῥωμαϊκῆς παιδείας ἄκρον ἐπειλημμένος, καὶ ταῖς τῶν παλαιῶν ἀνδρῶν θεολογίαις Ἑρμοῦ τέ φημι καὶ Ὀρφέως καὶ Πλάτωνος ἐξησκημένος, οὐχ ἥκιστα δὲ καὶ ταῖς ἰουδαϊκαῖς γραφαῖς ἐξωμιληκὼς, καὶ τὴν τούτων τερθρείαν πεπατηκὼς, πάλιν ἐπὶ τὸ πατροπαράδοτον καὶ ἀρχαιότατον καὶ θεοφιλὲς τοὺς ἀνθρώπους ἔθος τε καὶ σέβας μένειν διακελεύομαι, ἢ ταῖς τῶν ἀπαιδεύτων καὶ νεωτεριζόντων ἀνοίαις ἀκολουθεῖν· ἀλλὰ ἀπογυμνούσθω καὶ οὗτος τῆς ἀμπεχόνης, καὶ τῆς τῶν μαστίγων πείρας ἐν μεθέξει γενέσθω· ὡς ἂν ἐκ τούτου σωφρονέστερος γεγονὼς, τοῖς ἡμετέροις νόμοις καὶ μὴ βουλόμενος ὑποκύψειεν.

35. Τούτων τοίνυν ἀπανθρώπως τιμωρουμένων, αἰκισμοῖς τε βαρυτάτοις ἀλγυνομένων, ὁ μακάριος καὶ εὐσεβὴς Ἀρτέμιος, ὡς προδεδήλωται, δοὺξ καὶ αὐγουστάλιος ὑπὸ Κωνσταντίου τῆς Αἰγύπτου πάσης κατασταθεὶς, καὶ διὰ τὴν ὀρθὴν αὐτοῦ καὶ ἀμίμητον πρᾶξιν ἐπιτροπὴν ἔσχε καὶ τῶν τῆς Συρίας ἐπιμελεῖσθαι πραγμάτων· ὡς ὑπάρχων οὖν καθοσιωμένος τῇ τῶν ῥωμαίων βασιλείᾳ, καὶ ἀκούσας ὅτι Ἰουλιανὸς βεβασίλευκε, καὶ πρὸς τὸν περσικὸν κατεπείγεται πόλεμον, γράμματά τε δεξάμενος τὰ παρακελευσμένα μετὰ παντὸς τοῦ στρατεύματος εἰς Ἀντιόχειαν ἧκεν, κατὰ τὸ κελευσθὲν αὐτῷ παρεγένετο ἐν Ἀντιοχείᾳ, καὶ μετὰ τῆς προσηκούσης αὐτῷ τιμῆς τε καὶ ὁρυφορίας, παρεστήκει τῷ βασιλεῖ ἐπὶ τοῦ βήματος, ὅτε τὴν τῶν ἁγίων

Digitized by Google

μαρτύρων ὁ παράνομος ἐπειεῖτο ἐξέτασιν· καὶ φησὶν πρὸς αὐτὸν· ὦ βασιλεῦ, διὰ τί οὕτως ἀπανθρώπως ἄνδρας ἁγίους καὶ τῷ Θεῷ ἀφιερωμένους αἰκίζῃ, καὶ ἀναγκάζεις ἐξάρνους γενέσθαι τῆς ἑαυτῶν πίστεως; γίνωσκε τοίνυν ὅτι καὶ αὐτὸς ἄνθρωπος εἶ ὁμοιοπαθής, καὶ τῆς αὐτῆς φύσεως τῶν παθημάτων μετεσχηκώς· καὶ εἰ Θεός σε βασιλέα κατέστησεν, εἰ ἄρά γε ἐκ Θεοῦ τὸ βασίλειον ἔχεις, καὶ μὴ ἀργέκακος καὶ πονηρὸς διάβολος ὥστερ τὸν Ἰὼβ ἐξητήσατο καὶ ἔλαβεν, οὕτως καὶ σὲ καθ' ἡμῶν ἐξαιτησάμενος εἴληφεν ὁ παμπόνηρος, ἵνα σινιάσῃ τὸν τοῦ Χριστοῦ σῖτον, καὶ ἐπισπείρῃ ζιζάνια· ἀλλ' εἰς μάτην αὐτοῦ τὸ ἐγχείρημα· οὐκέτι γὰρ αὐτῷ ἰσχὺς ὡς καὶ πρότερον· ἀφ' οὗ γὰρ ἦλθε Χριστὸς καὶ κατεπάγη σταυρὸς καὶ ὑψώθη Χριστὸς ἐν αὐτῷ, πέπτωκεν ἡ τῶν δαιμόνων ὀφρὺς, καὶ καταπεπάτηται ἡ τούτων ἰσχὺς, καὶ καταπεφρόνηται τὰ τούτων τεχνάσματα· μὴ οὖν ἀπατῶ βασιλεῦ, μὴ δὲ τοῖς δαίμοσι χαριζόμενος, τὸ τῶν χριστιανῶν θεοφρούρητον δίωκε γένος· γίνωσκε τοίνυν, ὡς ἡ τοῦ Χριστοῦ ἀνίκητος καὶ ἀπτητος ὑπάρχει ἰσχύς τε καὶ δύναμις· πάντως δὲ καὶ αὐτὸς τοῦτο πεπληροφόρησαι, ἐξ ὧν σοι χρησμῶν Ὀριβάσιος ὁ ἰατρὸς καὶ κοιαίστωρ παρὰ τοῦ ἐν Δελφοῖς Ἀπόλλωνος κεκόμικεν· ἐγὼ δέ σοι καὶ τὸν χρησμὸν, κἂν μὴ βούλῃ, ἐπαναγνώσομαι· ἔχει γὰρ οὕτως·

εἴπατε τῷ βασιλεῖ, χαμαὶ πέσε δαίδαλος αὐλὰ·
οὐκέτι Φοῖβος ἔχει καλύβαν, οὐ μάντιδα δάφνην,
οὐ παγὰν λαλέουσαν, ἀπέσβετο καὶ λάλον ὕδωρ.

33. Ταῦτα ἀκούσας ὁ Ἰουλιανὸς παρὰ τοῦ μάρτυρος, ἔνθαμβος ὅλως ἐγένετο, καὶ τὸν θυμὸν μᾶλλον ἐγείρας ὡσεὶ φλόγα πυρὸς ἀναρριπιζομένης καὶ κάτωθεν ὕλης τι-

Digitized by Google

νὸς ὑποστρεφούσης αὐτὸν, μέγα τὲ καὶ δικπρύσιον ἀνεβόησεν· τίς πόθεν εἶτος ὁ ἀλιτήριος, ὁ τοσαύτην ἡμῖν ἐπὶ τοῦ βήματος καταβομβήσας δημηγορίαν; ἡ τάξις ἔφη· ὁ δοὺξ ἐστὶν Ἀλεξανδρείας, ὦ δέσποτα· καὶ ὁ βασιλεὺς· Ἀρτέμιος εἶπεν ὁ ἀλιτήριος ὁ τῷ ἐμῷ ἀδελφῷ θάνατον πικρὸν κερασάμενος; ναί φησι, κράτιστε βασιλέων, αὐτὸς ἔστι· καὶ Ἰουλιανὸς· χάριν ἐποφειλω τοῖς ἀθανάτοις θεοῖς καὶ τῷ δαφναίῳ Ἀπόλλωνι, ὅτι μοι τὸν ἀλάστορα αὐτόμολον καὶ αὐτοσάγγελτον ἐφανέρωσαν· καὶ φησὶν ἀποζωσθήτω τοῦ ἀξιώματος ὁ παμμίαρος, καὶ τὴν ζώνην ἀφαιρεθήτω, δίκην τῶν ἀρτίως αὐτῷ τολμηθέντων· ὑπὲρ δὲ τῆς σφαγῆς τοῦ ἐμοῦ ἀδελφοῦ καὶ τοῦ αἵματος, αὖριον αὐτῷ θεῶν βουλομένων προσείσω τὴν δίκην· οὐ γὰρ ἑνί γε αὐτὸν ἐξαναλώσω θανάτῳ, ἀλλὰ μυρίοις καὶ ὅσοις οἱ ἀνδροφόνοι ὑπόχρεοι καθεστήκασιν· οὐ γὰρ κεινοῦ γε ἀνδρὸς ἀλλὰ βασιλέως αἷμα ἔξεχεεν, καὶ ταῦτα μηδὲν πρὸς αὐτοῦ πεπονθὼς ἄδικον.

37. Ταῦτα τοῦ βασιλέως Ἰουλιανοῦ δημηγορήσαντος, ἀνάρπαστος ὑπὸ τῶν δορυφόρων ὁ ἅγιος γίνεται, καὶ τῆς ζώνης μετὰ τοῦ ἀξιώματος ἀφαιρεθεὶς, γυμνὸς ἐπὶ τοῦ βήματος ἵστατο καὶ τῶν δημίων ταῖς χερσὶ παρεδίδοτο· οἱ δὲ σχοίνους τῶν χειρῶν αὐτοῦ καὶ ποδῶν ἐξαψάμενοι, διατείκυσιν ἐκ τεσσάρων, καὶ τήν τε γαστέρα καὶ τὸν νῶτον τοῦ μάρτυρος τοῖς βουνεύροις ἔτυπτον ἐπὶ τοσοῦτον, ὥστε ἀλλάξαι αὐτὸν ζυγὰς τέσσαρας· καὶ ἦν ἰδεῖν ξένην τινὰ καὶ οὐκ ἀνθρωπίνην ὑπομονήν· οὐ γὰρ στεναγμὸς, οὐ φωνὴ, οὐ σκυλμὸς, οὐκ ἄλλο τί τῶν ὅσα πάσχουσιν ἄνθρωποι βασάνοις ἐξεταζόμενοι, παρ' αὐτοῦ ἀνεπέμπετο· ἀλλ' ἄτρεπτός τις καὶ ἀναλλοίωτος τῷ προσώπῳ κατεφαίνετο· ἡ γῆ δὲ τοῦ αἵματος ἐπεπλήρωτο, καὶ ὁ μάρτυς ὡς ἄλλου πά-

Digitized by Google

σχοντος ἐγκωμίζετο· ὥστε θαυμάσαι πάντας τοὺς παρεστῶτας, καὶ αὐτὸν τὸν ἀλάστορα Ἰουλιανὸν ἐκπλαγῆναι ἐπὶ τῷ ξένῳ θεάματι· καὶ κελεύει αὐτὸν ἀνεθέντα ἐπὶ τὴν φυλακὴν ἀπαχθῆναι μετὰ τῶν λειπῶν ἀγίων, σκεψόμενος πῶς καὶ τίνι τρόπῳ καὶ ποίῳ θανάτῳ τῆς παρούσης ζωῆς ἐξαφανίσει τοὺς μάρτυρας.

38. Οἱ μὲν οὖν τοῦ Χριστοῦ μάρτυρες ἐπὶ τὴν φυλακὴν ἀπαγόμενοι ἔψαλλον· ἐδοκίμασας ὁ θεὸς, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον· εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα, ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν, ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν· λείπει οὖν τὸ διελθεῖν ἡμᾶς διὰ πυρός τε καὶ ὕδατος, ὅπως εἰς ἀναψυχὴν ἀγάγῃς ἡμᾶς· καὶ τῆς εὐχῆς πληρωθείσης, ἔλεγε πρὸς ἑαυτὸν ὁ μέγας Ἀρτέμιος· ἰδοὺ γὰρ τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῷ σώματί σου κεχάρακται· λείπει οὖν ἵνα καὶ αὐτὴν τὴν ψυχὴν προσαποδῷς μετὰ τοῦ ἐπιλοίπου σου αἵματος· καὶ τὸ προφητικὸν ἐκεῖνο λόγιον ἐνθυμούμενος ἔλεγεν· ἰδοὺ δέδωκα τὸν νῶτον μου εἰς μάστιγας, καὶ τὰς σιαγόνας μου εἰς ῥαπίσματα· ἀλλὰ τί περισσότερον τοῦ ἐμοῦ δεσπότου ὑπήνεγκας ὁ ἀνάξιος; κἀκεῖνος κατεξάνθη ταῖς μάστιξι· κἀκείνου τὸ πρόσωπον ῥαπίσματα κατεδέξατο καὶ κολαφίσματα, καὶ πυγμὰς ὑπέστη δι' ὅλου τοῦ σώματος, ἀκάνθινον ἐφόρεσε στέφανον, καὶ τὰς χεῖρας ὀπίσω δεθεὶς, γυμνὸς ἐπὶ τὸν σταυρὸν προσεπάγη διὰ τὴν ἐμὴν ἁμαρτίαν τε καὶ παράβασιν, ὁ μὴ γνοὺς ἁμαρτίαν μὴ δὲ δόλον ἐν στόματι ἐργασάμενος· πολλὰ ταγαρσῦν τὰ τοῦ ἐμοῦ δεσπότου παθήματα, μακρὰν εἰμὶ τῆς ἐκείνου μακροθυμίας καὶ ἀνοχῆς ὁ ταλαίπωρος· χαίρω τοίνυν καὶ ἀγαλλιῶ τοῖς τοῦ δεσπότου μου παθήμασι λαμπρυνόμενος· κουφίζει μου τὸν πόνον

Digitized by Google

ἡ μίμησις τοῦ πάθους· ἐλαφρύνει μου τὴν ἀλγηδόνα ἡ ὁμοτιμία τῶν κρειττόνων· κἀγὼ γὰρ δι' αὐτὸν υἱὸς θεοῦ ἐγενόμην διὰ τοῦ βαπτίσματος καὶ τῆς δωρεᾶς τοῦ ἁγίου πνεύματος, καὶ ἔτι μᾶλλον γενήσομαι διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως· εὐχαριστῶ σοι, δέσποτα, ὅτι τοῖς σοῖς με πάθεσιν ἐστεφάνωσας· ἀλλὰ φιλάνθρωπε καὶ φιλοκτίρμων καὶ τῶν σῶν δούλων προνοητὰ, τελείωσόν μου τὸν δρόμον ἐν τῇ ὁμολογίᾳ σου, καὶ μή με ἀνάξιον κρίνῃς τοῦδε τοῦ ἐγχειρήματος, διὰ τὰς ἐν τῷδε τῷ βίῳ προσγενομένας μοι ἁμαρτίας· ἐγὼ γὰρ, δεσπότα, εἰς τοὺς σοὺς ἐμαυτὸν ἀπέρριψα οἰκτιρμούς.

39. Καὶ ταῦτα πρὸς ἑαυτὸν εὐξάμενος, ἔφθασεν ἐν τῇ φυλακῇ μετὰ τῶν ἁγίων μαρτύρων Εὐγενίου καὶ Μακαρίου, καὶ παρεδόθησαν τῷ δεσμοφύλακι· καὶ ἦν ὁ τοῦ Χριστοῦ μάρτυς μετὰ τῶν ἁγίων ἀθλοφόρων Εὐγενίου καὶ Μακαρίου, δοξολογῶν καὶ εὐχαριστῶν τῷ θεῷ· πρωΐας δὲ γενομένης, κελεύει πάλιν ὁ παραβάτης τοὺς μάρτυρας στῆναι ἐπὶ τὸ δικαστήριον, καὶ μὴ δὲ μιᾶς καταξιώσας αὐτοὺς ἐρωτήσεως, ἢ μόνον τὸν μέγαν Ἀρτέμιον διαχωρισθῆναι τῆς αὐτῶν συζυγίας παρακελευσάμενος, ἐξορίαν κατ' αὐτῶν ψηφίζεται, καὶ πέμπει αὐτοὺς ἐν Ὀάσει τῆς Ἀραβίας· δύο δὲ εἰσὶ χωρία οὕτω καλούμενα, Ὄασις μικρὰ καὶ μεγάλη· φθοροποιὰ δὲ τὰ χωρία, καὶ ὑπὸ φθοροποιῶν ἀέρων καταπνεόμενα, καὶ οὐδεὶς τῶν ἐκεῖσε ἀπερχομένων, ἐνιαυτὸν ἕνα καὶ μόνον διήρκησεν, ἀλλ' αὐτόθι ὑπὸ χαλεπῶν ἁλισκόμενοι νοσημάτων ἐναποθνήσκουσιν· ἐκεῖ τοίνυν τοὺς ἁγίους περιορίσας Εὐγένιον καὶ Μακάριον, ἐν αὐτῇ τὰς κεφαλὰς τῶν ἁγίων ἀποτμηθῆναι ἐκέλευσεν· οἳ καὶ ἐτελειώθησαν μετὰ τεσσαράκοντα ἡμέρας, τῇ εἰκάδι τοῦ δεκεμβρίου μηνός·

Digitized by Google

ἐν δὲ τῷ τόπῳ τῆς αὐτῶν τελειώσεως, θαῦμα γέγονε μέγα· μὴ ἔχοντος γὰρ τοῦ τόπου ὕδωρ τὸ σύνολον, πηγὴ ἀνέβλυσεν ὕδατος, πᾶσαν ἀποδιώκουσα νόσον, ἣ καὶ μέχρι τῆς σήμερον μένει, τῶν ἁγίων σώζουσα τὴν ἐπωνυμίαν.

40. Τὸν δὲ ἅγιον Ἀρτέμιον προσκαλεσάμενος ἔφη πρὸς αὐτὸν· διὰ τὴν πρεπέτειαν σου κατηνάγκασάς με ἀτιμάσαι τὸ γένος σου, καὶ τὴν προσοῦσαν σοι περιφάνειαν ἐνυβρίσαι, καὶ αὐτῶν ἐφάψασθαι τῶν σαρκῶν σου· πείσθητι οὖν μοι, Ἀρτέμιε, καὶ προσελθὼν θύσον τοῖς θεοῖς, μάλιστα τῷ δαφναίῳ Ἀπόλλωνι τῷ ἐμοὶ τριποθήτῳ καὶ παναγάστῳ θεῷ, καὶ τῆς αἰτίας τοῦ αἵματος τοῦ ἐμοῦ ἀδελφοῦ ἀπολύω σε, τήν τε ἀξίαν μείζονα καὶ ἐνδοξοτέραν ἐπαναθήσω σοι· ἔπαρχον γὰρ πραιτωρίων σε καταστήσας καὶ ἀρχιερέα τῶν μεγάλων θεῶν, πατέρα ἐμὸν ὀνομάσω, καὶ τῆς ἐμῆς βασιλείας τὰ δεύτερα φέροντα, καὶ ἔσῃ μεθ' ἡμῶν πάντα τὸν χρόνον τῆς ἡμετέρας ζωῆς τε καὶ διαγωγῆς· οἶδας γὰρ καὶ αὐτός, ὦ Ἀρτέμιε, ὡς ὁ ἐμὸς ἀδελφὸς μάτην παρὰ Κωνσταντίου πεφόνευται, καὶ ὡς φθόνος αὐτὸν κατειργάσατο, καὶ ὁ πάντων ἀνθρώπων ἀνόσιώτατος ὁ εὐνοῦχος Εὐσέβιος, ὁ τὴν τοῦ πραιποσίτου ἀξίαν κακῶς ἐνδυσάμενος, κἂν οὐκ ἀρκοῦσαν δέδωκε τὴν δίκην τοῦ ἀνοσιουργήματος ὁ παμπόνηρος.

41. Καὶ ὅτι τῆς ἡμετέρας γενεᾶς ἐστὶ μᾶλλον ἡ βασιλεία ἁρμόδιος· ὁ γὰρ ἐμὸς πατὴρ Κωνστάντιος ἐκ τῆς Μαξιμιανοῦ θυγατρὸς Θεοδώρας γεγένηται τῷ ἐμῷ πάππῳ Κώνσταντι· ὁ δὲ Κωνσταντῖνος ἐξ Ἑλένης αὐτῷ γέγονε φαύλης τινὸς γυναικὸς καὶ τῶν χαμαιτύπων οὐδὲν διαφερούσης· καὶ ταῦτα μήπω γεγονότι καίσαρι, ἀλλ' ἐν ἰδιώτου τυγχάνοντι σχήματι· ὁ τοίνυν Κωνσταντῖνος θρασύτητι γνώ-

Digitized by Google

μης τὴν βασιλείαν ἀφήρπασε, καὶ τὸν ἐμὸν πατέρα καὶ τοὺς τοῦτου ἀδελφοὺς ἀμφοτέρους ἀδίκως ἀπέκτεινε· καὶ ὁ τούτου υἱὸς Κωνστάντιος τὸν αὐτοῦ πατέρα μιμησάμενος, τὸν ἐμὸν ἀδελφὸν πεφόνευκε, καὶ ταῦτα ὅρκοις πρὸς αὐτὸν φρικωδεστάτοις χρησάμενον· ἡμᾶς τε αὐτοὺς εἰ μὴ Θεῶν προνοία περιεσώθημεν, τὸ αὐτὸ ἠβούλετο ὁρᾶσαι· ἀλλ' οἱ Θεοὶ διεκώλυσαν, αὐτοφεί μοι τὴν σωτηρίαν μηνύσαντες, εἰς οὓς ἐγὼ τεθαῤῥηκὼς τὸν χριστιανισμὸν ἐξωμοσάμην καὶ πρὸς τὸν ἕλληνα βίον ἀπέκλινα· εὖ εἰδώς, ὡς ὁ τῶν ἑλλήνων καὶ ῥωμαίων ἀρχαιότατος βίος καλεῖ; ἔθεσι καὶ νόμοις χρησάμενος, θεοὺς προσαγορεύει τοὺς τὸ πιστὸν ἐκ τῶν πραγμάτων ἔχοντας.

42. Τίς γὰρ τὴν γνώμην ἀμφίβολος, ἥλιον βλέπων ἐν οὐρανῷ διϊππεύοντα καὶ σελήνην ἐφ' ἅρματος χρυσαντύγου ταυροπολοῦσαν; ὁ μὲν γὰρ τὴν ἡμέραν φαεινὴν ἀπεργάζεται, καὶ τοὺς ἀνθρώπους ἐπ' ἔργον ἐγείρει· ἡ δὲ τὴν νύκτα λαμπαδουχεῖ, καὶ τοὺς ἀστέρας καταφαιδρύνει, καὶ ταῖς ἀγρύπνοις φωτοβολίαις, ὑπνοῦν τοὺς ἀνθρώπους παρακελεύεται· ταῦτα θεολογοῦσιν ἕλληνες καὶ ῥωμαῖοι, Ἀρτέμιε, καὶ οὐκ ἀδίκως ἀλλὰ πρεπόντως καὶ μετὰ δικαίου τοῦ κρίματος· τί γὰρ ἡλίου τηλαυγέστερον; ἢ τί σελήνης αὐγοειδέστερον; ἢ τί τοῦ χεροῦ τῶν ἀστέρων ἡδύτερόν τε καὶ εὐπρεπέστερον; ταῦτα τοίνυν ἕλληνες καὶ ῥωμαῖοι θειάζουσίν τε καὶ σέβουσιν, καὶ πρὸς αὐτὰ τὰς ἑαυτῶν ἐλπίδας ἐναπεκρέμασαν· καὶ τὸν μὲν ἥλιον Ἀπόλλωνα προσαγορεύουσιν, τὴν δὲ σελήνην Ἄρτεμιν, καὶ τοὺς μεγίστους τῶν ἀστέρων οὓς προσαγορεύουσιν πλανήτας τοὺς τὰς ἑπτὰ ζώνας τὰς οὐρανίους ἐπεχόντας, ὃν μὲν Κρόνον, ὃν δὲ Δία, ὃν δὲ Ἑρμῆν, ὃν δὲ Ἄρεα, ὃν δὲ Ἀφροδίτην κατονομά-

Digitized by Google

ζουσιν· οὗτοι γὰρ τόν τε κόσμον ἅπαντα διακοῦσι, καὶ ταῖς αὐτῶν δυνάμεσι πᾶσα ἡ ὑπ' οὐρανὸν διεξάγεται· τούτων τοίνυν εἰκόνας στήσαντες, σέβουσιν ἄνθρωποι καὶ τιμῶσιν· ἅμα δὲ καὶ μύθους τινὰς πρὸς ἡδονὴν ἀναπλάσαντες· οὐχ ὡς θεοὺς δὲ τιμῶσι τὰς εἰκόνας αὐτῶν, ἄπαγε· τοῦτο γὰρ τὸ ἁπλούστερον καὶ ἀγροικικὸν τῶν ἀνθρώπων διαλαμβάνεται γένος· ἐπεὶ οἱ τὴν φιλοσοφίαν ἀσπαζόμενοι, καὶ τὰ τῶν θεῶν ἀκριβῶς ἐξετάζοντες, οἴδασι τίνι τὴν τιμὴν ἀπονέμουσι, καὶ πρός τινα διαβαίνει ἡ τῶν θείων ἀγαλμάτων προσκύνησις.

43. Παραινῶ τοίνυν τὴν σὴν γενναιότητα μεθ' ἡμῶν τε εἶναι καὶ τὰ ἡμῖν ἀρέσκοντα διαπράττεσθαι, τήν τε θρησκείαν ἑλληνίζειν ὀρθῶς, καὶ τῶν ἀρχαίων ἐθῶν τε καὶ πραγμάτων ἀντέχεσθαι· ὁ γὰρ Κωνσταντῖνος, ὡς καὶ αὐτὸς ἐπίστασαι, εὐεξαπάτητος ἀνδρῶν ἀμαθῶς τε καὶ ἀσόφως εὑρεθεὶς, περὶ τὴν θρησκείαν ἐνεωτέρισεν, καὶ τοὺς ῥωμαίων νόμους ἐξαθετήσας, ἐπὶ τὸν χριστιανισμὸν ἐξέκλινε, τὰς ἀνοσίους αὐτοῦ πράξεις δεδιττόμενος, καὶ ὅτι οἱ θεοὶ αὐτὸν ἀπεβουκόλησαν ὡς ἐξάγιστον, καὶ τῆς αὐτῶν θρησκείας ἀνάξιον, αἵματος ὁμογνίου γενόμενον ἔμπλεον· τούς τε γὰρ ἀδελφοὺς ἀπέκτεινε μηδὲν πράξαντας ἄτοπον, καὶ τὴν γυναῖκα Φαύσταν, καὶ τὸν αὐτοῦ υἱὸν Πρίσκον τὸν χρηστόν τε καὶ ἀγαθὸν ἄνδρα τυγχάνοντα· ταῦτα τοίνυν τὰ ἀνοσιουργήματα μυσαχθέντες οἱ θεοὶ, τοῦτον ἀπεβουκόλησαν, καὶ τῆς ἱερᾶς αὐτῶν καὶ παναγεστάτης θρησκείας πόῤῥω ποῦ καὶ μακρὰν ἀπεπλάνησαν, καὶ σπέρμα τὸ ἐναγὲς αὐτοῦ καὶ παμμίαρον καὶ γένος ὅλον ἐξ ἀνθρώπων ἠφάνισαν· διὰ τοῦτο, θαυμάσιε, ὁρῶν σου τὸ κατὰ πάντα εὐσταθές τε καὶ βέβαιον, βούλεμαί σε τῆς ἡμε-

Digitized by Google

τέρας μερίδος καὶ ἑταιρίας γενέσθαι φίλον, καὶ σύγκληρον, καὶ κοινωνὸν κατὰ πάντα τῶν τῆς βασιλείας πραγμάτων· δεῦρο τοίνυν, Ἀρτέμιε, στῆθι μεθ' ἡμῶν τῶν ἀνθρώπων, καὶ τοῦ Χριστοῦ ἔξαρνος γενόμενος, ἐπὶ τὴν πάτριον καὶ ἀρχαιοτάτην καὶ πολυχρόνιον ῥωμαίων τὲ καὶ ἑλλήνων θρησκείαν μετάβηθι, καὶ τῶν παρὰ θεοῖς δεδωρημένων ἡμῖν ἀγαθῶν συναπόλαυε, τιμῶν μεγίστων τὲ καὶ ἀξιωμάτων ἐν μετοχῇ γεγενώς.

44. Πρὸς ταῦτα ὁ τοῦ Χριστοῦ μάρτυς μακρὸν ἐπισχὼν καὶ ἐπιλογισάμενος, καὶ ὅλον ἐπισυνάξας τὸν ἑαυτοῦ νοῦν τὲ καὶ λογισμὸν, ἀπεκρίνατο· ἐγὼ μὲν, ὦ βασιλεῦ, περὶ τῆς ἐμῆς θρησκείας καὶ πίστεως εὐδεμίαν τινά σοι ἀπολογίαν ποιήσομαι τὸ παρὸν, ἔχων ἐν ἑτοίμῳ * τὰς ὑπὲρ αὐτῆς ἀποδείξεις· πρὸς δὲ τὸν τοῦ σοῦ ἀδελφοῦ θάνατον, ἐκεῖνό σοι ἀπολογήσομαι, ὡς οὐ μὴ φανήσομαι τὴν ἐκείνου ψυχὴν ἠδικηκὼς πώποτε, οὐκ ἔργῳ, οὐ λόγῳ, οὔτέ τινι διανοίας ἐπινοήματι· οὐδ' εἰ μυρία κάμοις περὶ τούτου ἀνερευνῶν· ἡ ἀλήθεια γὰρ ἀμεταβλητος· ἠπιστάμην γὰρ αὐτὸν χριστιανόν τε ὄντα, θεοφιλῆ τὲ καὶ δίκαιον, καὶ περὶ τοὺς τοῦ Χριστοῦ νόμους πρόθυμόν τε καὶ σπουδαῖον ὑπάρχοντα· ἴστω τοίνυν οὐρανός τε γῆ καὶ πᾶς ὁ τῶν ἁγίων ἀγγέλων χορὸς, καὶ Χριστὸς ὁ τοῦ θεοῦ υἱὸς, ᾧ ἐγὼ λατρεύω ἐν τῷ ἐμῷ πνεύματι, ὡς καθαρὸς ἐγὼ τῆς ἐκείνου σφαγῆς τὲ καὶ τελευτῆς, καὶ μηδὲν συνεισενεγκὼν εἰς τὸν ἐκείνου φόνον τὸν ἄδικον τοῖς τοῦτον κατεργασαμένοις ἀνοσίοις ἀνδράσιν· οὐδὲ γὰρ παρὼν ἤμην τότε σὺν Κωνσταντίῳ, ἀλλὰ τὴν Αἴγυπτον εἶχον οἴκησίν τε καὶ δίαιταν μέχρι τοῦ παρόντος ἐνιαυτοῦ· καὶ ταύτην μὲν ἀπολογίαν ποιοῦμαι περὶ τοῦ σοῦ ἀδελφοῦ.

* cod. τιμῇ.

Digitized by Google

45. Περὶ δὲ τοῦ τὸν Χριστὸν ἐξομώσασθαι καὶ τὸν ἑλληνικὸν ἀσπάσασθαι βίον, τοῦτο σοι ἀποκριθήσομαι, τῶν τριῶν παίδων τῶν ἐπὶ Ναβουχοδονόσορ τὴν φωνὴν δανεισάμενος, ὡς γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύω, καὶ τῇ εἰκόνι τῇ χρυσῇ τοῦ σοῦ φιλτάτου Ἀπόλλωνος οὔ ποτε προσκυνήσω· ὅτι δὲ τὸν μακάριον Κωνσταντῖνον τὸν πάντων βασιλέων ὑπέρτερον, καὶ τὸ τούτου γένος ἐξεμυκτήρισας, ἐχθρὸν τοῖς σοῖς ἀποκαλέσας θεοῖς, καὶ μανιώδη, καὶ φόνου μεστὸν, τοῦ τε ἐμεγνίου ἀνάπλεων αἵματος, ταῦτά σοι ὑπὲρ ἐκείνου ἀπολογήσομαι· ὅτι μᾶλλον ὁ σὸς πατὴρ Κωνστάντιος καὶ οἱ τούτου ἀδελφοὶ πρακατῆρξαν τοῦ ἀδικήματος, φάρμακον αὐτῷ δηλητήριον κερασάμενοι, καὶ θάνατον ἐλέθριον προξενήσαντες, μηδὲν πρὸς αὐτοῦ πεπονθότες ἄδικον· ἐκεῖνος δὲ τὴν γυναῖκα Φαύσταν, καὶ πάνυ δικαίως ἀπέκτεινεν ὡς μιμησαμένην τὴν πάλαι Φαιδρὰν, καὶ διαβαλοῦσαν τὸν τούτου υἱὸν Πρίσκον ὡς ἐρωτικῶς αὐτῇ διακείμενον καί τι πρὸς βίαν ἐπιχειροῦντα· καθάπερ κἀκείνη τὸν τοῦ Θησέως Ἱππόλυτον· καὶ δὴ κατὰ τοὺς τῆς φύσεως νόμους ὡς πατὴρ τὸν υἱὸν ἠμύνατο· ὕστερον μέν τοι μαθὼν τὴν ἀλήθειαν, καὶ αὐτὴν προσαπέκτεινε, δίκην ἐπ' αὐτῇ δικάσας πασῶν δικαιωτάτην· ἀπέκλινε δὲ πρὸς τὸν Χριστὸν, οὐρανόθεν ἐκείνου καλεσάντος, ὅτε τὴν πρὸς Μαξέντιον θριμείαν τε καὶ βαρυτάτην διηγωνίσατο μάχην, δείξας αὐτῷ τὸ τοῦ σταυροῦ σημεῖον μεσούσης ἡμέρας, ὑπὲρ τὸν ἥλιον ταῖς αὐγαῖς ἐξαστράπτον, καὶ γράμμασιν ἀστροτύπως ῥωμαϊκοῖς διασημήνας αὐτοῦ τὴν τοῦ πολέμου νίκην· ἡμεῖς τε γὰρ αὐτοὶ τὸ σημεῖον ἐθεασάμεθα τῷ πολέμῳ παρόντες, καὶ τὰ γράμματα ὑπανέγνωμεν· ἀλλὰ καὶ τὸ στράτευμα ἅπαν τεθάατο, καὶ πολ-

Digitized by Google

λοὶ τούτου μάρτυρες ἐν τῷ σῷ στρατοπέδῳ τυγχάνουσιν, εἴ γε ἄρα ἐρωτῆσαι θελήσειας.

46. Καὶ τί δὴ ταῦτα λέγω; τὸν Χριστὸν ὅτι μὲν προφῆται, προκατήγγειλαν ὡς καὶ αὐτὸς κρεῖττον ἐπίστασαι· καὶ πολλαὶ τῆς αὐτοῦ παρουσίας αἱ μαρτυρίαι κἀκ τῶν παρ' ὑμῖν σεβομένων θεῶν, καὶ τῶν χρησμῶν αἱ προαγορεύσεις· τά τε σιβύλλεια γράμματα, καὶ ἡ τοῦ Βιργιλίου τοῦ ῥωμαίου ποίησις, ἣν ὑμεῖς βουκολικὴν ὀνομάζετε, καὶ αὐτὸς ὁ παρ' ὑμῖν θαυμαζόμενος Ἀπόλλων ὁ μαντικὸς τοιάνδέ τινα περὶ Χριστοῦ ἐξεφώνησε λόγον· ἐρωτηθεὶς γὰρ παρὰ τῶν ἑαυτοῦ προπόλων, ἀπεκρίνεται ὧδε·

μὴ ὄφελες πύματόν με καὶ ὕστατον ἐρέεσθαι,
δύσμορ ἐμῶν προπόλων, περὶ θεσπεσίοιο θεοῖο,
καὶ πνειῆς τῆς πάντα πέριξ βοτρυηδὸν ἐχούσης,
τείρεα φῶς ποταμούς τε καὶ τάρταρον ἠέρα καὶ πῦρ,
ἣ με καὶ εἰς ἐθέλοντα δόμον ἀπὸ τῶνδε δαῶσαι·
ἡ δὲ ἐμοὶ τριπόδων ἔτι λείπετο ἠριγένεια,
αἳ μοι τρίποδες στοναχήσατε, οἴχετ' Ἀπόλλων,
οἴχετ', ἐπεὶ βροτός με βιάζεται οὐράνιος φῶς·
καὶ ὁ παθὼν θεός ἐστι, καὶ οὐ θεότης πάθεν αὐτή.

47. Ὑπολαβὼν δὲ ὁ παραβάτης ἔφη· δακῶ σε, ὦ Ἀρτέμιε, οὐ στρατηγὸν ἐν Αἰγύπτῳ παραγενέσθαι, ἀλλὰ χρησμολόγον τινὰ, μᾶλλον δὲ βωμολόχον ἢ μὴν ἀγύρτην, καὶ γραῶν κωθωνιζομένων λσγύδρια καὶ μύθους παλαιοὺς καὶ γεγηρακότας ἐπισυνάγοντα. Καὶ ὁ μάρτυς· οὐ καλῶς ὑπείληφας, ὦ βασιλεῦ, οὐδὲ τῆς σῆς σοφίας καὶ ἀρετῆς ἰσοστάσια· ἐκ τῶν σῶν δὲ θεῶν καὶ τῶν σοὶ προσφιλῶν μαθημάτων ποιοῦμαι τὰς ἀποδείξεις, ἵν' ἐκ τῶν σοὶ γνωρίμων τὸ τῆς ἀληθείας μάθοις μυστήριον, καὶ μή με δόξῃς τοῖς

Digitized by Google

τῶν ἑλλήνων ἐγκαλλωπίζεσθαι ῥήμασι· μὴ δὲ γὰρ ἔλαιον ἁμαρτωλοῦ τὴν ἐμὴν λιπανάτω κεφαλήν, ἀλλὰ τῆς σῆς κηδόμενος ψυχικῆς σωτηρίας, κινῶ πάντα λίθον ὥστε πεισθῆναι σε· ὑπολαμβάνω δὲ ὅτι ὥσπερ ὁ σατανᾶς τὸν παλαιὸν Ἀδὰμ καὶ πρωτόπλαστον ἀπετύφλωσε διὰ τῆς παρακοῆς καὶ τῆς τοῦ φυτοῦ βρώσεως, οὕτω καὶ σὲ, βασιλεῦ, φθονῶν τῆς σῆς σωτηρίας, τῆς τοῦ Χριστοῦ ἀπεγύμνωσε πίστεως· ὅτι δὲ τὸν ἥλιον καὶ σελήνην καὶ τοὺς ἀστέρας θεοὺς ἀποκαλεῖς, αἰσχύνομαι τὸ τῆς ἀμαθίας, μᾶλλον δὲ κακοβουλίας ἐπάγγελμα· οὐχὶ Ἀναξαγόρας ὁ κλαζομένιος ὁ σὸς δηλαδὴ διδάσκαλος, μύδρον ἔφη τὸν ἥλιον, καὶ τοὺς ἀστέρας κισσηρειδῆ σώματα, καὶ παντελῶς ἄψυχα καὶ ἀναίσθητα; πῶς οὖν αὐτὸς, βασιλέων ἄριστε καὶ φιλοσοφώτατε, τὰ ὑπὸ τῶν σῶν διδασκάλων ἀθετούμενα καὶ διαβαλλόμενα, θεοὺς προσαγορεύεις; οἶδα γὰρ ὅτι τῆς πλατωνικῆς ὑσάρχεις αἱρέσεως, καὶ Πλάτων μὲν Σωκράτους διήκουσε, Σωκράτης δὲ Ἀρχέλαου, Ἀρχέλαος δὲ καὶ Περικλῆς Ἀναξαγόρου διήκουσαν· πῶς οὖν, ὦ θαυμάσιε, ταῦτα προσαγορεύεις θεοὺς, ὑπὲρ δὲ πάντας ἀσπάζεις τὸν ἥλιον, καὶ ὅρκον αὐτὸν βασίλειον τίθεσαι; ἄνω τε καὶ κάτω κἂν ταῖς ἐπιστολαῖς κἂν τοῖς λόγοις κἂν ταῖς προσαγορεύσεσι, πολὺ τὸ μὰ τὸν ἥλιον; ἀλλά τί δεῖ ταῦτα μακρηγορεῖν; εἰκὸς ἐξαρνοῦμαι τὸν Χριστόν μου, μὴ γένοιτο, εἰκὸς ἀσπάζομαι τὴν μυσαρὰν ἑλλήνων ἀσέβειαν· ἀλλὰ μενῶ ἐν οἷς ἐδιδάχθην, καὶ καρτερῶ ἐπὶ ταῖς πατρικαῖς παραδόσεσιν, ἃς οὐδεὶς καταβαλεῖ χρόνος, κἂν εἰ δι' ἄκρων τὸ σοφὸν ἐφεύρηται φρενῶν, ἴν' εἴπω τί κατ' Εὐριπίδην τὸν ὑμέτερον ποιητήν.

48. Πρὸς ταῦτα ὁ Ἰουλιανὸς εἰλιγγιάσας καὶ ἐξαπο-

Digitized by Google

ρηθεὶς, οὐκ εἶχεν ὅ τι καὶ γένηται, τοῦ μάρτυρος θαυμάσας τὸ πολυμαθές τε καὶ εὔστομον καὶ πρὸς πᾶν οὖν ἕτοιμον καὶ εὐαπολόγητον· καὶ φησὶν πρὸς αὐτὸν ὁ τοῦ Χριστοῦ μάρτυς· ἄφες, ὦ βασιλεῦ, τὴν νεκρὰν καὶ ἐξωθηκυῖαν τῶν ἑλλήνων θρησκείαν· ἤδη γὰρ καὶ πρὸ πολλοῦ σέσηπεν, καὶ πρόσελθε τῷ Χριστῷ· μακρόθυμος γὰρ ἐστὶν καὶ φιλάνθρωπος καὶ δέχεταί σου τὸ μεταμελές *. Ἀλλ' οὐκ ἦν ἄρα γνώμης ἐθελοκακούσης ἀντισχεῖν ὁρμαῖς, οὐδὲ ἀνακαλέσασθαι ψυχὴν αὐτομόλῳ διανοίᾳ πρὸς ἀπώλειαν ἐρχομένην καὶ ἐπισπεύδουσαν· ὁ γὰρ Ἰουλιανὸς πάλαι τὸν ἑλληνισμὸν κατὰ ψυχὴν ὠδίνων, ἐκ τῶν ἐν Ἰωνίᾳ γενομένων αὐτῷ ὡρὸς τὸν ἀμφὶ τὸν Μάξιμον φιλόσοφον συνουσιῶν, ἐφ' ὅσον μὲν ὅ τε ἀδελφὸς αὐτῷ περιῆν, καὶ μετ' αὐτὸν Κωνστάντιος, ὁ δὲ οὐδὲν παραγυμνοῦν ἐθάρρει, διὰ τὸ ἐξ ἐκείνων δέος· ἐπεὶ δὲ οὗτοι ἐξ ἀνθρώπων ἦσαν, αὐτὸς δὲ τῶν πραγμάτων ἤδη κύριος ἦν, τότε δὴ εἰς τὸ φανερὸν ἀπαμφιασάμενος, πάσαις ἀθρόον εἰς τὸν ἑλληνισμὸν ἐξερράγη ταῖς προθυμίαις.

* cod. πλημμελές.

49. Ἀπεκρίνατο τοιγαροῦν πρὸς τὸν μάρτυρα· ἐπεὶ τοὺς ἐμοὺς ἐξεφαύλισας λόγους, ὦ κακὴ κεφαλή, ἐτόλμησας δὲ καὶ πρὸς τὴν τῶν χριστιανῶν με πίστιν μεταγαγεῖν, ταῦτά σοι ἀντὶ τῶν δωρεῶν ὧν ὑπεσχόμην χαρίζομαι· κελεύει σὺν ἀπογυμνοῦσθαι τὸν μάρτυρα, καὶ σανίβλαις σιδηραῖς πεπυρακτωμέναις τὰς πλευρὰς αὐτοῦ διαπερονᾶσθαι, καὶ τὸν νῶτον αὐτοῦ τριβόλοις ὀξέσι κατακεντᾶσθαι καὶ διαῤῥήγνυσθαι συρόμενον ὕπτιον· τούτων δὲ μετὰ πολλοῦ τοῦ τάχους προσενεχθέντων τῷ μάρτυρι, ἡ αὐτὴ καρτερία ἦν αὐτῷ καθὼς περ καὶ πρότερον, καὶ ὥσπερ ἀλλοτρίου πάσχοντος σώματος, αὐτὸς θεατὴς ἀλλ' οὐ τασχεῖν τί τῶν δεινῶν

Digitized by Google

κατεφαίνετο· καὶ δὴ ἐπὶ πολλαῖς ταῖς ὥραις τοῦ ἁγίου βασανιζομένου, καὶ μὴ δὲ μίαν φωνὴν ἢ στεναγμὸν ἀφιέντος, αὐτὸς τῷ χεῖρε κροτήσας ὥσπερ ἡττημένος ἀνέστη τοῦ βήματος, καὶ κελεύει τὸν μάρτυρα πάλιν ἐπὶ τὴν εἱρκτὴν ἀπαχθῆναι, καὶ μήτε ἄρτον, μήτε ὕδωρ αὐτῷ παρασχεθῆναι, μὴ δ' ὅσα πρὸς τὸ ζῆν μεταλαμβάνουσιν ἄνθρωποι· αὐτὸς δὲ ἐπὶ τὴν Δάφνην ὥρμησε, τὸ τῆς Ἀντιοχείας κάλλιστον ἐνδιαίτημα.

50. Περὶ δὲ τὸ μεσονύκτιον εὐχομένῳ τῷ μάρτυρι ἐπὶ τῆς φυλακῆς, φαίνεται αὐτῷ ὁ Χριστὸς, καὶ φησὶ πρὸς αὐτὸν· Ἀρτέμιε, ἀνδρίζου καὶ ἴσχυε καὶ μὴ φοβοῦ, μὴ δὲ δειλία τὸν τύραννον· ἐγὼ γὰρ εἰμὶ μετὰ σοῦ, ἐξαιρούμενός σε ἀπὸ παντὸς πειρασμοῦ καὶ πάσης τῶν κλαστηρίων ὀδύνης, καὶ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν στεφανώσω σε, καὶ ὥσπερ αὐτὸς ὡμολόγησάς με ἐνώπιον τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, ὁμολογήσω κἀγώ σε ἐνώπιον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς· θάρσει οὖν καὶ ἀγαλλίασ· μετ' ἐμοῦ γὰρ ἔσῃ ἐν τῷ παραδείσῳ· ταῦτα ὁ μάρτυς ἀκούσας παρὰ τοῦ κυρίου, εὐθαρσὴς ἐγένετο, καὶ δι' ἔλης τῆς νυκτὸς ἦν δοξολογῶν καὶ εὐχαριστῶν τῷ Θεῷ· ἀνέθη γὰρ ἐκ τῶν πληγῶν καὶ τῶν τραυμάτων αὐτοῦ, ὥστε μήτε μώλωπα φαίνεσθαι ἐν τῷ ἁγίῳ αὐτοῦ σώματι· ἐποίησε δὲ πέντε καὶ δέκα ἡμέρας, μηδενὸς τὸ σύνολον γευσάμενος· ἐτρέφετο γὰρ τῇ τοῦ ἁγίου πνεύματος χάριτι.

51. Ὁ δὲ Ἰουλιανὸς ἐπὶ τὴν Δάφνην ὥρμησε τὸ πρᾶστειον ὡς προέφημεν, θυσίας ἑτοιμαζόμενος τῷ Ἀπόλλωνι, καὶ χρησμοὺς παρ' αὐτοῦ δέξασθαι προσδοκῶν· ἡ δὲ Δάφνη προάστειόν ἐστι τῆς Ἀντιοχείας, ἐπὶ τῶν ὑψηλοτέρων αὐτῆς χωρίων κείμενον, ἄλσεσι παντοίοις συνηρεφὲς· πολυπρεμ-

Digitized by Google

νότατον γὰρ καὶ πολυκαρπότατον ἔστι τὸ χωρίον, ἔνθα τῶν τε ἄλλων παντοίων δένδρων καὶ δὴ καὶ κυπαρίττων ἐξαίσιον πεφύτευται χρῆμα, πρός τε κάλλος καὶ ὕψωμα καὶ μέγεθος οὐ συμβλητόν· νάματά τε πανταχῇ διαθέει ποτίμων ὑδάτων, μεγίστων αὐτόθι πηγῶν ἀναδιδομένων, ἀφ' ὧν καὶ ἡ πόλις ἐν ὀλίγαις δὲ πόλεων ἐνυδροτάτη τυγχάνειν δοκεῖ, καὶ μὴν καὶ εἰκοδομαῖς λαμπραῖς καταλύσεων καὶ λουτρῶν καὶ τῶν ἄλλων κατασκευῶν, εἴς τε χρείαν καὶ κόσμον εὖ μάλα πολυτελῶς ἐξήσκηται τὸ χωρίον· ἐνταῦθα καὶ ἄλλων μὲν δαιμόνων ναοί τε καὶ ἀγάλματα ἦν, διαφερόντως γε μὴν τὸ τοῦ Ἀπόλλωνος ἐξ ἀρχαίων τῶν χρόνων ἐνυπῆρχε θεραπευόμενον· αὐτόθι γὰρ καὶ τὸ περὶ τὴν Δάφνην τὴν παρθένον συμβῆναι πάθος ὁ ἑλληνικὸς ἔπλασε μῦθος· ἧς δὴ μάλιστα φέρειν ἔτι δοκεῖ τὴν ἐπωνυμίαν ὁ τόπος.

52. Τὸ δὲ ἄγαλμα τοῦ Ἀπόλλωνος, τοιόνδε τὴν κατασκευὴν ἦν· ἐξ ἀμπέλου μὲν αὐτῷ συνεπεπήγει τὸ σῶμα· παυθαυμάστη δὴ τέχνη πρὸς μιᾶς συμφυΐας ἰδέαν συναρμοσθὲν, χρυσῷ δὲ πᾶς ὁ περικείμενος πέπλος ἀμφιεννύμενος, τοῖς παραγεγυμνωμένοις καὶ ἀχρύσοις τοῦ σώματος, εἰς ἄφραστόν τι συνεφθέγγετο κάλλος· ἐστῶτι τὲ μετὰ χεῖρας ἦν ἡ κιθάρα, μουσηγετοῦντα τινὰ ἐκμιμουμένῳ· αἵ τε κόμαι, καὶ τῆς Δάφνης ὁ στέφανος τὸν χρυσὸν ἀναμὶξ ἐπῄνθουν· ὡς ἤμελλε χάρις ἐξαστράψειν πολλὴ τοῖς θεασομένοις· ὑάκινθοί τε αὐτῷ δύο λίθοι μεγάλοι, τὸν τῶν ὀφθαλμῶν ἐξεπλήρουν τύπον, κατὰ μνήμην τοῦ ἀμυκλαίου παιδὸς Ὑακίνθου, καὶ ἀεὶ τὸ τῶν λίθων κάλλος καὶ μεγέθος τὸν μέγιστον προσετέλει τῷ ἀγάλματι κόσμον, ἐνταθέντων περιττῶς πρὸς ἀκριβέπειαν αὐτοῦ τῶν ἐργασαμένων· ἵνα πλείστους ἀπατᾶσθαι περὶ αὐτοῦ συμβαίνῃ, τῷ περικαλλεῖ τῆς

Digitized by Google

προφαινομένης μορφῆς, εἰς τὸ προσκυνεῖν αὐτοῖς δελεαζομένους· ὅπερ οὖν καὶ αὐτὸς ὁ Ἰουλιανὸς πεπονθὼς ἦν· πλείονα γ' οὖν ἢ σύμπασι τοῖς ἀγάλμασι προσῆγε τὴν θεραπείαν, χιλιόμβας ὅλας ἐξ ἑκάστου γένους αὐτῷ θυόμενος.

53. Ἐπεὶ δὲ αὐτῷ πάντα ποιοῦντι καὶ πραγματευομένῳ ὅπως χρὴ τὸ ἄγαλμα, πλέον ἦν οὐδέν, ἀλλὰ τοῦτο τε καὶ τὰ λοιπὰ αὐτόθι σύμπαντα ἀγάλματα βαθεῖα σιωπὴ κατεῖχεν, ἐνταῦθα νομίσας τὰ ἀπὸ τῆς γοητείας ἐνδεῖν, ἣν ἱερατικὴν καλοῦσιν Ἕλληνες, Εὐσέβιόν τινα μέγιστον ἐπὶ τὸ ταῦτα δύνασθαι, κεκτημένον ἐν Ἕλλησι κλέος, μεταπεμψάμενος, τούτῳ προσέταττεν ἐπίπνουν ὅτι μάλιστα καὶ ἐνεργὸν ἀποφαίνειν, μηδενὸς ὧν εἰς ταῦτο προσδεῖν αὐτῷ νομίζει φεισάμενον· τῷ δ' ἐπειδὴ πάσας ἑαυτοῦ κεκινηκότι τὰς μηχανάς, καὶ μηδὲν ὅ τι πλέον ἂν ἐπινοήσειεν ὑπολειπομένῳ, τὸν ὅμοιον ἐσεσιωπήκει καὶ κατὰ φύσιν τρόπον, οὐδέν τι μᾶλλον ἢ καὶ πρόσθε φθεγγόμενον, ἐνταῦθα ἤδη πρὸς τοῦ Ἰουλιανοῦ ἐρωτώμενος καὶ καθ' ὅτι μάλιστα σιωπᾷ, καὶ ταῦτα πάντων τελεσθέντων ἐπ' αὐτῷ τῶν νομιζομένων παρ' αὐτοῖς, Βαβύλαν ἔφη τῆς σιωπῆς τοῦτο τε καὶ τῶν λοιπῶν ἀγαλμάτων αἰτιώτατον εἶναι, αὐτοῦ ἐν τῇ Δάφνῃ κειμένου, ὡς τῶν θεῶν τὸν νεκρὸν αὐτοῦ βδελλυττομένων, καὶ διὰ τοῦτο τοῖς ἔθεσι σφῶν ἐπιφαιτᾶν οὐκ ἀνεχομένων· οὐ γὰρ ἠβούλετο τὴν ἀληθεστάτην αἰτίαν εἰπεῖν, οὐ παντάπασί γε αὐτῆς ἀνεπαίσθητος γεγονώς, ὅτι δὴ κρείττων δύναμις ἦν, ἡ τὰς τῶν δαιμόνων ἐνεργείας πεδησαμένη· ἄλλως τε καὶ τοῦ δαίμονος αὐτῷ τοῦ τὸν Ἀπόλλωνα ὑποκρινομένου σαφῶς καὶ διαῤῥήδην ὡς λεγέται εἰρηκότος, μὴ δύνασθαι ἀποκρίνασθαι διὰ Βαβύλαν.

54. Ὁ γὰρ δὴ Βαβύλας οὗτος λέγεται ἐπίσκοπος μὲν

Digitized by Google

γενέσθαι τῆς Ἀντιοχείας, Νουμεριανῷ δὲ τῷ βασιλεῖ εἰσελθεῖν βουλομένῳ ἐν τῇ τῶν χριστιανῶν ἐκκλησίᾳ κατὰ δή τινα ἑορτὴν, στὰς πρὸ τῶν θυρῶν διεκώλυσεν εἰσελθεῖν, φάσκων εἰς δύναμιν μὴ περιόψεσθαι λύκον τῷ ποιμνίῳ ἐπεισερχόμενον· τὸν δὲ παραυτίκα μὲν ἀποκρουσθῆναι τῆς εἰσόδου, εἴτε δὴ στάσιν τινὰ πρὸς τοῦ ὄχλου ἔσεσθαι ὑπειδόμενον, εἴτε καὶ ἄλλως αὐτῶν μεταβουλευθὲν· ἐν χαλεπῷ μέν τει τὴν ἀντίστασιν τοῦ ἐπισκόπου πεπεισάμενον, ἐπειδὴ ὡς ἑαυτὸν ἐπὶ τὰ βασίλεια ἀπηλλάγη, παραστήσασθαί τε αὐτὸν ἐπὶ τοῦ βήματος ἀπολογησόμενον ἐκέλευσε· καὶ δὴ παραστάντος αὐτοῦ, πρῶτα μὲν τὴν τόλμαν τῆς κωλύσεως ἐνεκάλει, ἔπειτα μέν τοι κελεύει αὐτὸν τοῖς δαίμοσι θύειν, εἰ βούλοιτό γε τὴν ἐπὶ τῷ ἐγκλήματι δίκην διαφυγεῖν· τὸν δὲ πρὸς τὴν ἔγκλησιν ἀπολογήσασθαι καὶ τὴν ὠρόκλησιν διακρούσασθαι, τὴν μὲν φήσαντα πειμένι ἑαυτῷ πάντα προσήκειν ὑπὲρ τοῦ ποιμνίου προθυμεῖσθαι, τὴν δὲ μὴ ἀνελέσθαι τοῦ ὄντως ὄντος ἀποστάντα θεοῦ, ψευδωνύμοις ὀλεστῆρσι δαίμοσι θύειν· εἶδ' ὁ μὲν ὡς ἑώρα μὴ πειθόμενον, προσέταξεν αὐτὸν ἀλύσεσι καὶ πέδαις ἐνδησαμένους, τὴν ἐπὶ θανάτῳ ἄγειν τῆς κεφαλῆς ἀφαιρήσοντας· ὁ δὲ ἑτοιδὴ ἤγετο τεθνηξάμενος, ταύτας ἀναλαβὼν ἤδε τοῦ ψαλμοῦ τὰς ῥήσεις, ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐηργέτησέ σε.

55. Φασὶ δὲ καὶ τρεῖς παῖδας ἀδελφοὺς τὸ γένος κομιδῇ νέους ὑπ' αὐτῷ ἀνατρεφομένους, ἁρπαγῆναί τε καὶ αὐτοὺς ὑπὸ τοῦ βασιλέως· καὶ ὡς οὐδ' αὐτοὶ θύειν ἤθελον, καί τοι παντοίας ἀνάγκης αὐτοῖς προσαγομένης, καὶ αὐτοὺς κελεῦσαι τὸν βασιλέα τῶν κεφαλῶν ἀφαιρεῖν· οὓς ἐπειδὴ ἦκον εἰς τὸ προκείμενον χωρίον, ὁ Βαβύλας ἑαυτῷ πρεστησάμε-

Digitized by Google

νος, πρότερους προσῆγε τῷ ξίφει· τοῦ μή τινα τερέσαντα αὐτὸν ἀναδῦναι τὸν θάνατον, καὶ ἀποτεμνομένων ταύτην ἂν εἰπὼν τὴν φωνήν, ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ θεὸς· ἔπειτα καὶ αὐτὸς προύτεινε τὸν οἰκεῖον αὐτοῦ αὐχένα τῷ ξίφει· ἐντειλάμενος τοῖς τὸ σῶμα αὐτοῦ ἀναλεξάμενος, τὰς ἀλύσεις καὶ τὰς πέδας αὐτῷ συνθάψαι, ἵν' ἦ μοι ταῦτα φησὶ κειμένῳ κόσμος· καὶ οὖν καὶ μετ' αὐτῶν ἔτι τυγχάνει κείμενος, ὡς φασὶ· τοῦτον τὸν Βαβύλαν ὁ Ἰουλιανὸς, ἐπειδὴ πρὸς τοῦ Εὐσεβίου ἤκουσε κώλυμα τοῦ μὴ χρᾶν, αὐτίκα προσέταξεν αὐτῇ θήκῃ, λίθου δ' ἐστὶ μεγάλου πεποιημένη, μετάγειν ἐκ τῆς Δάφνης οἵῳ τί τοῦτο διαφέρει πόῤῥῳ ποῦ αὐτὸν ἀλλαχόσε, ἵνα ἦ καὶ βούλωνται μετάστησαμένους· εὐθὺς οὖν ὁ τῆς πόλεως ὄχλος προχυθέντες ὡς ἐπὶ μεγάλῃ αἰτίᾳ, καὶ περιβαλλόμενοι εἶλκον τὴν θήκην· ἡ δὲ ὡς οὐχ ὑπ' ἀνθρώπων ἑλκομένη μᾶλλον ἢ κρείττονος αὐτὴν κινούσης δυνάμεως, ἔφθανε προθυμίαν ἐφεπομένη· αὐθήμερον γέ τοι αὐτὴν σταδίους πλέον ἢ πεντήκοντα κομισάμενοι, ἐν τῷ καλουμένῳ κοιμητηρίῳ κατέθεσαν· ἔστι δὲ ἐν τῇ πόλει οἶκος σωμάτων παλαιῶν ἀνδρῶν καὶ ἑνίων γε ἐπ' εὐσεβείᾳ μαρτυρούμενων, πολλὰ δεδεγμένος· τότε μὲν οὖν τὴν θήκην ἐνταῦθα εἰσεκόμισαν.

56. Ὁ δὲ Ἰουλιανὸς παρεσκευάζετο πλῆθος ἱερείων τε καὶ ἀναθημάτων, ὡς τῇ ὑστεραίᾳ σὺν αὐτοῖς εἰς τὴν Δάφνην ἀναβησόμενος, νῦν γε δὴ πάντως ἐλπίζων εἰ μὴ τῶν ἄλλων, ἀλλὰ τοῦ γε Ἀπόλλωνος τεύξεσθαι ἀποκριθησομένου· ἐπὶ τοῦτον γὰρ αὐτῷ πᾶσα τῆς προθυμίας ἡ ἐλπὶς ἦν καὶ ὁ τόνος, ὡς αὐτῷ μᾶλλον ἢ ἑτέρῳ τὸ τοιοῦτον διαφέρον κατά τε τὴν μαντικὴν τέχνην, καὶ αὐτῷ τὸ χωρίον

Digitized by Google

ἀνεῖτο ἡ Δάφνη, νομίζοντι αὐτῷ ἔν τε τῷ εἰκείῳ τόπῳ εἰκότως, ἢ τῶν ἄλλων δαιμόνων ἐσχύειν· ὁ δὲ Εὐσέβιος καὶ οἱ λεγόμενοι ἱερεῖς καὶ τῶν νεκρῶν τὸ πλῆθος προσδεχόμενοι τὸν βασιλέα, ἐν ἀγῶνι μεγάλῳ ἔστασαν, καὶ δεηγύπνουν περὶ τὸ ἄγαλμα, πάντα πραγματευόμενα, ὅπως ἐπειδὴ εν ἀφίκηται, τύχοι αὐτοῦ φθεγξαμένου· ὡς ἄλλης γε αὐτῷ ἔτι προφάσεως εἰς ἀναβολὴν μὴ ὑπολειπομένης· ἐπειδὴ δὲ πόρρω τῶν νυπτῶν ἦν, ἐκ τοῦ οὐρανοῦ πῦρ ἀθρόως κατενεχθὲν, ἐνέσκηψε τῷ νεῷ καὶ ἅμα πανταχόθεν αὐτὸν δραξάμενον, ἐμπιπρᾷ αὐτῷ ἀγάλματι καὶ αὐτοῖς ἀναθήμασιν· πάντων δὲ ὁμοῦ καταφλεγομένων, καὶ τοῦ πυρὸς ἐπὶ μέγα ἐξαιρουμένου, βοὴ μὲν αὐτίκα μεγάλη περὶ τὸν νεὼν ἦν, καὶ θόρυβος οὐδενὶ ἐοικὼς, καὶ δὴ πολλῶν ἐπαμύναι προθυμουμένων, οὐδεὶς ἦν ὁ πρὸς τὸ πῦρ ἀντισχεῖν δυνησόμενος· ἀλλ' οἱ μὲν ἔθεσαν τῷ ἄρχοντι τῆς ἑῴας Ἰουλιανῷ μηνύσοντες, ὁ δὲ λοιπὸς ὄχλος ἔστασαν ὑπ' ἐκπλήξεως θεαταὶ τοῦ παραδόξου τῆς καταλαβούσης αὐτοὺς συμφορᾶς γενόμενα· τὸ δὲ πῦρ οὐδενὸς ἦν τῶν ἄλλων ἁπτόμενον, τοσαύτης γε καὶ αὖτος ἀμφιλαφοῦς ὕλης ἐκεῖ πεφυκυίας, ὅτι μὴ μονώτατον ἐμπεσὸν κατέφλεγε σὺν τοῖς ἐνοῦσι τῷ νεῷ, ὡς τὸ μὲν ἄγαλμα καὶ πᾶν ὅ τι ἐν ἀναθήμασιν ἦν, καθάπαξ ἀφανισθῆναι· βραχέα δὲ λειφθῆναι τῶν οἰκοδομημάτων ἐδάφη, μνημεῖα τοῦ πάθους, ἃ καὶ νῦν ἔτι δείκνυται, σαφέστερον τὸ δεῖγμα τοῦ θειλάτου πυρός.

57. Ὁ δὲ Ἰουλιανὸς τὰ συμβάντα ἀκούσας, ὀργῆς τε πιμπλᾶται, καὶ δεινὸν ποιησάμενος εἰ χριστιανοὶ τοῖς συμβεβηκόσιν ἐπιτωθάσειν μέλλοιεν, αὐτίκα προστάττει τῆς μεγάλης αὐτοὺς ἐξωθεῖν ἐκκλησίας, καὶ ταύτην μὲν ἄβατον αὐτοῖς παντελῶς ἀποφαίνειν, ὡς ὅτι ἀσφαλέστατα αὐ-

Digitized by Google

τὴν ἀπακλεισαμένους, τὰ δὲ κειμήλια πάντα δημοσιοῦν· δέδωκε δὲ καὶ τοῖς ἕλλησιν ἄδειαν, ὥστε εἰσέρχεσθαι αὐτοὺς εἰς τὰς τῶν χριστιανῶν ἐκκλησίας, καὶ ποιεῖν ὅσα βούλονται· τούτων οὖν παρὰ τοῦ τυράννου καὶ ἀσεβοῦς Ἰουλιανοῦ κελευσθέντων, τί τῶν μεγίστων κακῶν οὐκ ἐτελέσθη; τί δὲ τῶν ἀπηχεστάτων οὐκ ἐλέχθη, τῶν ἀφέτῳ γλώσσῃ λαλούντων τὰ ἄῤῥητα κατὰ τῆς τῶν χριστιανῶν πίστεως, καὶ βλασφημούντων εἰς τὸν κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν ἐν πάσαις ταῖς πόλεσιν; ἐν μὲν γὰρ σεβαστῇ τῇ πάλαι μὲν Σαμαρείᾳ, νῦν δὲ παρὰ Ἡρώδου κτισθείσῃ καὶ Σεβαστῇ ἐπικληθείσῃ, τὰ ὀστὰ τοῦ προφήτου Ἐλισσαίου καὶ τοῦ βαπτιστοῦ Ἰωάννου ἐκ τῶν θηκῶν ἐξαγαγόντες, καὶ ἀλόγων ἀκαθάρτων ὀστέοις προσμίξαντες κατέκαυσαν, καὶ τὴν κόνιν εἰς τὸν ἀέρα ἐλίκμησαν· τὸν δὲ τοῦ σωτῆρος ἀνδριάντα ἐν Πανεάδι τῇ πόλει πρὸς τῆς αἱμορῥοησάσης γυναικὸς κατασκευασθέντα μεγαλοπρεπῶς, ἣν ὁ Χριστὸς ἰάσατο, καὶ ἱδρυνθέντα ἐν ἐπισήμῳ τῆς πόλεως τόπῳ, ὃν μετὰ χρόνον γνωσθέντα, ἐκ τῆς αὐτόθι φυομένης βοτάνης τοῦ θαύματος, οἱ χριστιανοὶ ἁράμενοι, ἐν τῷ τῆς ἐκκλησίας διακονικῷ ἔστησαν, τοῦτον οἱ ἕλληνες κατασπάσαντες, κἀκ τῶν ποδῶν σχοίνους ἐξάψαντες, ἐσύραν ἐπὶ τῆς ἀγορᾶς· ἕως οὗ κατὰ μικρὸν ἀποθραυόμενος, ἠφανίσθη, μόνης τῆς κεφαλῆς καταλειφθείσης καὶ ἁρπαγείσης ὑπό τινος ἐν τῷ θορυβεῖσθαι τοὺς ἕλληνας, λαλούντων αὐτῶν βλάσφημα καὶ ἀπηχέστατα ῥήματα εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἃ μή τις ἀνθρώπων ἤκουσε πώποτε. *Philostor. lib. 7.*

58. Αὐτὸς δὲ ὁ ἀσεβέστατος καὶ πάντων παρανομώτατος Ἰουλιανὸς ἠγαλλιᾶτο καὶ ἔχαιρεν, καὶ γαυριῶν ἐπὶ τούτοις, ἐκέλευσε καὶ τὸν ἐν Ἱεροσολύμοις ναὸν τῶν ἰουδαίων

Digitized by Google

Philostorg. loc. cit.

ἀνιστᾷν· καὶ τοὺς χριστιανοὺς τῆς πόλεως ἐκβαλὼν, τοῖς ἰουδαίοις ἔδωκε κατοικεῖν· ἀποστείλας Ἀλύπιόν τινα τοῦ μετὰ σπουδῆς τὸν ναὸν ἀνοικοδομησασθαι· αὐτὸς δὲ προκαθίσας ἐπὶ τοῦ βήματος ἐν τῇ καλουμένῃ βασιλικῇ, ἐκέλευσε προσαχθῆναι τὸν μάρτυρα· προσαχθέντος δὲ τοῦ ἁγίου, ἔφη πρὸς αὐτὸν, πάντως ἤκουσας καὶ αὐτὸς, ἀσεβέστατε Ἀρτέμιε, τὸ τόλμημα τῶν ἀσεβῶν κατὰ σὲ χριστιανῶν, ὅπερ ἐποίησαν ἐν Δάφνῃ ἐν τῷ ναῷ τοῦ σωτῆρος Ἀπόλλωνος, καὶ ὡς ἐνέπρησαν αὐτοῦ τὸν ναὸν σὺν τοῖς ἀναθήμασιν, καὶ τὸ πάντιμον καὶ θαυμαστὸν ἄγαλμα ἐξηφάνισαν· ἀλλ' οὐ χαρήσονται ἐπιτωθάζοντες καὶ χλευάζοντες τὰ ἡμέτερα, ἐγὼ γὰρ ἀποτίσω τὴν ὑπὲρ τούτου ποινὴν ἑβδομηκοντάκις ἑπτὰ, καθὼς φασὶ τὰ ὑμέτερα λόγια.

59. Καὶ ὁ μάρτυς· ἤκουσα ὡς θεήλατος ὀργὴ καὶ πῦρ οὐρανόθεν κατελθὼν κατέφαγε τὸν θεόν σου, καὶ αὐτοῦ τὸν ναὸν ἐνέπρησεν πάντα καὶ κατηδάφισεν· εἰ οὖν θεὸς ἦν, τί μὴ ἑαυτὸν ἐκ τοῦ πυρὸς ἐρρύσατο; Καὶ ὁ παραβάτης· τάχα καὶ αὐτὸς ἔσεσθαί μοι, ἀνοσιώτατε, κερτομεῖν ἐπὶ τοῖσδε καὶ κατακαχάζειν, ὡς ἅτε παρὰ τοῦ θεοῦ σου ἐκδίκησιν τινὰ προσδεξάμενος. Καὶ ὁ μάρτυς· ἐγὼ πάντοτε, δυσσεβέστατε, ἐπὶ τῇ τῶν δαιμόνων πτώσει τῶν παρὰ σοῦ τιμωμένων κομπάζω καὶ χαίρω καὶ ἀγαλλιῶ· καὶ ἐπὶ πάσιν εἷς ὁ Χριστός μου τερατουργεῖ, τερπόμενος γέγηθα· ἐκδικήσιν δὲ τῶν εἰς ἐμὲ πραττομένων παρὰ σοῦ, ἐκεῖ δέξομαι ὅτοτ' ἂν τὸ πῦρ ἐκεῖνο τὸ ἀκοίμητόν σε καταλήψεται καὶ ἡ διαιωνίζουσα κόλασις· κἀνταῦθα δὲ οὐ πολὺς παρελεύσεται χρόνος, καὶ τὸ μνημόσυνόν σου μετ' ἦχου ἀφανισθήσεται. Καὶ ὁ παραβάτης· εἰ οὖν ἀγαλλιᾷς ἐπὶ τούτοις καὶ ἐπευφραίνεις, ἀνοσιώτατε, πρόσθηκην ἐγώ σοι

πτήσομαι τοῦ ποθουμένου ἀγαλλιάματος· ἀλλὰ, δυσμενέσατε, φείδομαί σου δι' οἰκείαν χρηστότητα, καὶ βουλομαί σε τῆς ἀνοίας παυσάμενον, σώφρονι λογισμῷ χρήσασθαι, καὶ πρόσελθεῖν θύσοντα τοῖς ἀθανάτοις θεοῖς· καὶ ἀξιώματι γὰρ μεγίστῳ κεκόσμησαι, καὶ πλοῦτος ἱκανὸς ἄνωθέν σοι καὶ ἐκ προγόνων σεσώρευται, καὶ πολλά σοι τὰ τῆς ἀρετῆς πλεονεκτήματα αἱ θεοὶ παρεσκεύασαν, κἂν αὐτὸς ἀχάριστος ὤφθης περὶ αὐτούς.

60. Καὶ ὁ μάρτυς· τί μαίνῃ, παρανομώτατε, καὶ ἀσχολῇ ἐπὶ τοῖς ὀλεθρίοις ῥήμασιν; ἐάσας τὰς βαρβαρικὰς ἐπαναστάσεις καὶ τὸν περσικὸν ἀνεβάλου πόλεμον, δι' ὃν τὴν οἰκουμένην πᾶσαν ἐσάλευσας, καὶ εἰς ἐμὲ τὸν τοῦ θεοῦ δοῦλον ἀσχολῇ; δίδου ἀπόφασιν κατ' ἐμοῦ οἵαν ἐθέλεις· ἐγὼ γὰρ τοῖς θεοῖς σου οὐ λατρεύω, οὔτε τοῖς σοῖς προσάγμασιν ὑπέκυπτω, ἀλλὰ τῷ θεῷ μου καθ' ἑκάστην προσφέρω θυσίαν αἰνέσεως καὶ ἐξομολογήσεως· πείει οὖν ὃ θέλεις, παρανομώτατε. Ταῦτα ὁ παραβάτης ἀκούσας καὶ πλήρης θυμοῦ γενόμενος, λατόμους καὶ λιθοξόους ἐκέλευσεν εἰσελθεῖν, καὶ φησὶ πρὸς αὐτούς· ὁρᾶτε τὴν ἀπότομον πέτραν τὴν ἀπέναντι τοῦ θεάτρου πρὸς τὸ κάταντες τῆς πόλεως ῥέπουσαν; ταύτην οὖν διχάσαντες, καὶ τὸ ἕτερον μέρος αὐτῆς ἀνωφερέστερον στήσαντες, τουτονὶ τὸν ἀλιτήριον ἐμβιβάσατε μέσον· καὶ τοὺς δεσμοὺς τῆς πέτρας ἐναπερρήξαντες, ἄφετε μετὰ ῥύμης καὶ βάρους ἐναπελθεῖν πρὸς τὸ μέρος ὅθεν δεδίχασται· καὶ τούτου μέσον ἑρισκομένου ἅπας κατὰ μικρὸν συνθλασθήσεται, καὶ τὰ ἐντὸς αὐτοῦ πάντα διαῤῥαγήσονται· ἵν' εἴδῃ τίνι ἀνθίσταται, καὶ τίνι πρὸς μάχην ἐξώπλισται, καὶ τί παρὰ τοῦ θεοῦ αὐτοῦ ὠφεληθήσεται, εἰ ἄρα δυνήσεται αὐτὸν ἐξελέσθαι ἐκ τῶν χειρῶν μου·

Digitized by Google

τοῦ ἔργου δὲ ῥᾷττον λόγου περαιωθέντος, ἀφῆκαν οἱ λαξευταὶ τὴν πέτραν ὡς ὁ τύραννος ἔφησεν· ἡ δὲ σὺν βάρει πολλῷ ἐπὶ τοῦ πρανοῦς ἐλεχθεῖσα, ὅλον ἐκάλυψε τὸ σῶμα τοῦ μάρτυρος, καὶ τοσοῦτον αὐτὸν ἐξεπίεσεν, ὥστε τῶν ὀστέων αὐτῶν καταθρυσμένων ἦχόν τινα κροτηθῆναι φοβερόν τε καὶ βίαιον καὶ ξένον ἀνθρώπινῃ ἀκοῇ.

61. Καὶ ἦν ὁ ἅγιος μέσον τῶν πετρῶν στενοχωρούμενος καὶ ἐκπιεζόμενος, ἐπικαλούμενος τὸν Χριστὸν καὶ λέγων· ἐν θλίψει ὕψωσάς με, ὠθήσας με, ὅτι ἐγενήθης ἐλπὶς μου· πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ· ἔστησας ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνας τὰ διαβήματά μου· δέξαι τοίνυν μονογενές τὸ πνεῦμά μου, ὁ εἰδὼς τὴν στενοχωρίαν μου, καὶ μὴ συγκλείσῃς με εἰς χεῖρας ἐχθρῶν· ἦσαν γὰρ πάντα τὰ ἐντὸς αὐτοῦ διερρωγότα, καὶ τῶν ὀστῶν ἡ ἁρμονία πᾶσα συντεθλασμένη, καὶ οἱ βολβοὶ τῶν ὀφθαλμῶν ἐκπεπηδηκότες ἐκ τῶν θυρίδων αὐτῶν· ἀλλὰ καὶ οὕτως ἦν ἐγκαρτερῶν ὁ τοῦ Χριστοῦ γενναῖος ἀθλητὴς ὥσπερ ἄκμων ἀνήλατος, ἢ λίθος ἀτέραμνος, καὶ παντὸς ἀδάμαντος ἰσχυρότερος· ποιήσαντος οὖν τοῦ ἁγίου ἐν μέσῳ τῶν πετρῶν ἡμερονύχθιον, ἐκέλευσεν ὁ παράνομος Ἰουλιανὸς διαζευχθῆναι τὰς πέτρας, προσδοκῶν αὐτὸν διερρωγότα καὶ συντεθραυσμένον καὶ νεκρὸν εὑρεθήσεσθαι· ἀνεωχθεισῶν δὲ τῶν πετρῶν, ἐξῆλθεν ὁ ἅγιος περιπατῶν, τοὺς ὀφθαλμοὺς ἔχων ἐκπεπηδηκότας, καὶ τὰς ἰδίας ἕδρας καταλιπόντας, θέαμα φρικτὸν καὶ διήγημα ξένον τῆς ἀνθρωπίνης ὑπάρχον φύσεως, ἄνθρωπος γυμνὸς κατεθλασμένων αὐτοῦ τῶν ὀστῶν καὶ τῶν ἁρμονιῶν συντεθραυσμένων, τὴν οἰκονομίαν τῆς ἀνθρωπίνης φύσεως ἐκ τοῦ περιέχοντος σώματος ἐξελθοῦσαν παραδεικνὺς, περιε-

Digitized by Google

πάτει καὶ διελέγετο, καὶ πρὸς τὸν τύραννον ἀντεφθέγγετο.

62. Οὐ ἰδὼν ὁ παμμίαρος Ἰουλιανὸς, ἔκθαμβος ὅλος ἐγένετο, καὶ ὠρὸς τοὺς παρόντας ἐφθέγξατο· ὁρᾶτε, ἔφη, θέαμα ξένον καὶ διήγημα τῆς ἀνθρωπίνης ἀλλότριον φύσεως; ἆρ' οὐκ ἐσῳδὸς καὶ γόης πέφυκ' ὅδε; ἆρα μή τι φάντασμα καὶ δαιμόνων ἀπατηλῶν τοῦτο τεκμήριον; νῦν πείθομαι τὸν Εὐριπίδην σοφὸν εἶναι καὶ πολλῶν πραγμάτων ἐν ἐπιστήμῃ τυγχάνοντα, ἐν Ὀρέστῃ τάδε φιλοσοφήσαντα.

οὐκ ἔστι δεινὸν ὧδ' εἰπεῖν ἔπος,
οὐδὲ πάθος οὐδὲ ξυμφερὰν θεήλατον,
ἧς οὐκ ἂν ἄρετ' ἄχθος ἀνθρώπου φύσις.

Μὰ τοὺς ἀθανάτους καὶ ἀπτήτους θεοὺς, οὐκ ἤλπιζον, ἄνδρες, ἔτι τοῦτον τὸν παλαμναῖον καὶ ἀλιτήριον ἐν τοῖς ζῶσι τετάχθαι· νῦν δὲ καὶ τῶν ἐνθοσθίων αὐτοῦ ἐκραγέντων, καὶ τῆς ἁρμονίας ἁπάσης διαλυθείσης, κινεῖται καὶ φθέγγεται· ἀλλ' οἱ θεοὶ τοῦτον ἐταμιεύσαντο εἰς πολλῶν ἀνθρώπων σωφρονισμόν, ἵν' ᾖ μερμελύκιον τοῖς τὸ κράτος αὐτῶν μὴ προσκυνοῦσι τὸ ὑπερκόσμιον· καὶ φησὶ πρὸς τὸν μάρτυρα· ἰδοὺ, ταλαίπωρε, καὶ ὀφθαλμῶν ἐστερήθης, καὶ τῶν μελῶν ἁπάντων ἠχρείωσαι· ποία σὺν ἔτι λείπεταί σοι ἐλπὶς πρὸς ὃν μάτην ἤλπισας; ἀλλὰ τὴν εὐμένειαν τῶν θεῶν ἐπικάλεσαι; ἴσως ἵλεοί σοι γενήσονται, καὶ μή σε ταῖς ἐν ᾅδου κολάσεσι παραδώσουσιν.

63. Ὁ δὲ τοῦ Χριστοῦ μάρτυς κόλασιν ἀκούσας, ἐμειδίασε· καὶ φησὶ πρὸς τὸν ἀσυμπαθῆ καὶ ἀμείλικτον τύραννον· οἱ σοὶ θεοί με ταῖς κολάσεσιν παραδώσουσιν; καὶ πῶς ἐκεῖνοι, παμμίαρε, τὴν ἰδίαν κόλασιν μὴ ἐκφυγόντες, ἄλλοις βοηθῆσαι δυνήσονται; ἐκείνοις ἡτοίμασαι τὸ πῦρ τὸ αἰώνιον,

Digitized by Google

ἐκείνοις ὁ τάρταρος καὶ οἱ σκώληκες, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων ὁ μηδέπω παυόμενος· μεθ' ὧν καὶ αὐτὸς παραδοθήσῃ τῷ αἰωνίῳ καὶ ἀτελευτήτῳ πυρὶ, εἰς αἰῶνα κολασθησόμενος· ὅτι τὸν σταυρὸν τοῦ θεοῦ κατεπάτησας, καὶ τὸ αἷμα τὸ τίμιον ὃ ὑπερ ἡμῶν ἐξέχεεν καινὸν ἡγήσω, ἐνυβρίσας τὸ πνεῦμα τῆς χάριτος ἐν ᾧ ἡγιάσθης, δαίμοσιν ὀλεθρίοις πειθόμενος· ἐμοὶ δὲ ὑπὲρ τούτου τοῦ μιαροῦ καμάτου καὶ τῆς εὐτελοῦς τιμωρίας ἧς μοι προσήνεγκας, πολλὰ ἀνταποδοθήσεται ἔπαθλα καὶ στέφανοι νικητήριοι, οὓς ἀναδήσομαι εἰς τὸν ἀκήρατον νυμφῶνα μετὰ Χριστοῦ ἀνακλιθησόμενος, καὶ ταινιώσει μου τὴν κεφαλὴν ὁ δεσπότης Χριστὸς ὑπὲρ τὸ ἐφήμερον στέφος, ὅπερ σὺ περιδέδεσαι· ἀλλὰ τί μοι ταῦτα πρός σε τὸν ἀσεβῆ καὶ ἀλάστορα τύραννον; ἀπόστηθι ἀπ' ἐμοῦ, παρανομώτατε καὶ πάντων ἀνθρώπων ἀνοσιώτατε· δίδου ἀπόφασιν κατ' ἐμοῦ ὁποῖαν ἐθέλεις, καὶ οἷαν ὁ σατανᾶς ὁ κατοικῶν ἐν τῇ ψυχῇ σου ἐμβάλῃ σοι· ἐγὼ γὰρ τῷ σῷ θελήματι ἀντιτάσσομαι, καὶ τοῖς προστάγμασί σου οὐχ' ὑποκύπτω· ποίει οὖν ὃ θέλεις, παρανομώτατε.

64. Ταῦτα ὁ παραβάτης καὶ τοῦ θεοῦ ἀλλότριος Ἰουλιανὸς ἀκούσας παρὰ τοῦ μάρτυρος, ἀπεφήνατο κατ' αὐτοῦ ταυτηνὶ τὴν ἀπόφασιν· Ἀρτέμιον τὸν τοὺς θεοὺς ἐνυβρίσαντα, καὶ τοὺς ῥωμαϊκούς τε καὶ ἡμετέρους καταπατήσαντα νόμους, χριστιανόν τε αὐτὸν ἀντὶ ῥωμαίου καὶ ἕλληνος καθομολογήσαντα, καὶ ἀντὶ δουκὸς καὶ αὐγουσταλίου γαλιλαῖον ἑαυτὸν ὀνομάσαντα, τῇ τελευταίᾳ τοῦ θανάτου παραδεδώκαμεν ψήφῳ, τὴν μιαρὰν αὐτοῦ κεφαλὴν ξίφει ἐκκοπῆναι κελεύσαντες· ταύτην οὖν τὴν ἀπόφασιν ὁ τοῦ Χριστοῦ μάρτυς δεξάμενος, ἐξελήλυθε τοῦ βήματος

Digitized by Google

μετὰ τῶν ἀπαγόντων αὐτὸν στρατιωτῶν, χαίρων καὶ ἀγαλλιώμενος, ὑμνολογῶν καὶ δεξάζων τὸν βασιλέα Χριστόν· φθάσαντες δὲ τὸν τόπον εἰς ὃν ἔμελλεν ὁ τοῦ Χριστοῦ στρατιώτης καὶ μάρτυς τὴν τελείωσιν δέξασθαι, ἔφη πρὸς τοὺς ἀπάγοντας αὐτὸν στρατιώτας· ἀδελφοί, παρακαλῶ ὑμᾶς, ἔνδοτέ μοι μικρὸν τοῦ προσεύξασθαι· εἰ δὲ πρὸς αὐτὸν εἶπον· ὡς ἐγί σοι καταθύμιον, ποίησον· καὶ στραφεὶς ὁ ἅγιος κατὰ ἀνατολάς, καὶ τὰς χεῖρας εἰς οὐρανοὺς ἐφαπλώσας, ηὔξατο οὕτως.

65. Εὐχαριστῶ σοι δέσποτα σῶτερ τῶν ἐν ἀληθείᾳ ἐπικαλουμένων τὸ ὄνομά σου, ὅτι ἐνίσχυσάς με τὸν ἀνάξιον δοῦλόν σου καταπατῆσαι τὰ κέντρα τοῦ διαβόλου, καὶ συντρίψαι τὰς αὐτοῦ παγίδας ἃς ἔθετο ὑπὸκάτωθεν τῶν ποδῶν μου, καὶ καταισχῦναι τὸν ἀποστάτην Ἰουλιανὸν τὸν ἀποσκιρτήσαντα τῆς σῆς δεσποτείας, καὶ προσκολληθέντα τῷ διαβόλῳ καὶ τοῖς μισοῦσί σε· τὸν καταπατήσαντα τοὺς νόμους τοὺς ἁγίους σου, καὶ βεβηλώσαντα τὰ ἔνθεά σου προστάγματα· εὐχαριστῶ σοι, φιλάνθρωπε, ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἀλλ' ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου, καὶ κατεύθυνας τὰ διαβήματά μου· εὐχαριστῶ σοι, μονογενὲς λόγε τοῦ πατρὸς, ὅτι ἠξίωσάς με τοῦ βραβείου τῆς ἄνω κλήσεως, καὶ τοῦ χορεῦ τῶν ἁγίων σου, καὶ ἐτελείωσάς με ἐν τῇ ὁμολογίᾳ σου, καὶ κατήσχυνας τοὺς ἐπανισταμένους ἐπ' ἐμέ· καὶ νῦν ἐπικαλοῦμαί σε, δέσποτα, ἔπιδε ἐπ' ἐμὲ καὶ ἐπὶ τοῖς ῥήμασί μου τοῖς ταπεινοῖς, καὶ δὸς ἀναψυχὴν τῇ κληρονομίᾳ σου, ὅτι ἠσθένησεν καὶ οὐ κατηρτήσω αὐτὴν· ἰδοὺ γὰρ οἱ ἐχθροῖ σου ἤχησαν, καὶ οἱ μισοῦντες σε ἦραν κεφαλήν· ἐπὶ τὸν λαόν σου κατεπανουργήσαντο γνώμην, καὶ ἐβου-

Digitized by Google

λεύσαντο κατὰ τῶν ἁγίων σου· εἶπεν γὰρ· δεῦτε καὶ ἐξολεθρεύσωμεν αὐτοὺς, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα τοῦ Χριστοῦ ἔτι· ταῦτα κομπάζει Ἰουλιανός· ταῦτα θρασύνεται· ταῦτα ἀπειλᾷ τοῦ λαοῦ σου καὶ τῇ κληρονομίᾳ σου ὑπὲρ ἧς τὸ σὸν αἷμα ἐξέχεας· ἰδοὺ γὰρ τὰ θυσιαστήριά σου κατεσκάφησαν, καὶ τὸ ἁγίασμά σου ἐμπέπρησαι, καὶ ἡ εὐπρέπεια τοῦ οἴκου σου ἐξηφάνισαι, καὶ τὸ αἷμα τῆς διαθήκης σου ἐξουδένωται, διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ τὰς βλασφημίας ἃς ἐξέχεεν Ἄρειος κατὰ σοῦ τοῦ μονογενοῦς καὶ τοῦ ἁγίου σου πνεύματος, ἀλλοτριῶν σε τῆς τοῦ πατρὸς ὁμουσιότητος καὶ ἀποξενῶν σε τῆς αὐτοῦ φύσεως, κτίσμα σε ἀποκαλῶν τὸν δημιουργὸν πάσης τῆς κτίσεως, καὶ ὑπὸ χρόνον τιθεὶς τὸν τοὺς αἰῶνας δημιουργήσαντα· φάσκων ὁτῳσὶ· ἦν ποτὲ ὅτε οὐκ ἦν ὁ υἱός· βουλήσεως καὶ θελήσεως υἱὸν σε ἀποκαλῶν ὁ παρανομώτατος· ἀλλ' ἐκεῖνος μὲν ὁ δυσσεβὴς, εὗρεν τοῦ ἰδίου στόματος καὶ τῆς ὀθόνου γλώττης τὰς ἀμοιβὰς, εἰ καὶ αἱ βλασφημίαι αὐτοῦ μένουσι, καρποφοροῦσαι αὐτῷ τὴν αἰώνιον καὶ ἀτελεύτητον κόλασιν· σὺ δὲ, μακρόθυμε, στῆσον τὴν καθ' ἡμῶν τυραννίδα, καὶ σβέσον τὸν θυμόν σου τὸν δίκαιον καὶ τὴν ὀργὴν ἣν ἡμεῖς ἐξεκαύσαμεν, ἐν τῷ παροργίζειν σε κύριε· θραῦσον τῆς εἰδωλολατρείας τὰ ὀχυρώματα· σβέσον τοὺς βωμοὺς τῶν εἰδώλων καὶ τὴν κνίσσαν τῶν ἀκαθάρτων αἱμάτων κατάπαυσον· ἵνα σοὶ θυσία καθαρὰ καὶ ἀναίμακτος προσάγηται ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου· ἵνα σου δοξάζηται τὸ πανάγιον ὄνομα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν τε καὶ ἀεὶ καὶ εἰς τοὺς ἅπαντας αἰῶνας τῶν αἰώνων· ἀμήν.

Fallitur ergo Tillemontius hist. eccl. T. VII. p. 731. sqq. dum Artemium valde suspicatur fuisse arianum.

66. Καὶ κλίνας τὰ γόνατα τρίτον, καὶ προσκυνήσας κατὰ ἀνατολὰς, προσηύξατο πάλιν λέγων· θεὲ ἐκ θεοῦ, μόνε

Digitized by Google

ἐκ μόνου, βασιλεῦ ἐκ βασιλέως, ὁ ἐν οὐρανοῖς ὢν καὶ καθεζόμενος ἐκ δεξιῶν τοῦ σὲ γεννήσαντος θεοῦ καὶ πατρός, ὁ ἐπὶ γῆς πολιτευσάμενος διὰ τὴν πάντων ἡμῶν σωτηρίαν· ὁ στέφανος τῶν ὑπὲρ σοῦ εὐσεβῶς ἀθλούντων, ἐπάκουσόν μου τοῦ ταπεινοῦ καὶ ἀναξίου δούλου σου· καὶ μετ' εἰρήνης δέξαι μου τὴν ψυχήν, καὶ ἀνάπαυσον αὐτὴν μετὰ τῶν ἁγίων τῶν ἀπ' αἰῶνος σοι εὐαρεστησάντων καὶ δοξασάντων τὸ ὄνομά σου τὸ ἅγιον, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ ἁγίου πνεύματος, νῦν τε καὶ ἀεὶ καὶ εἰς τοὺς ἅπαντας αἰῶνας τῶν αἰώνων· ἀμήν. Καὶ ἐγένετο αὐτῷ ἐξ οὐρανοῦ φωνὴ λέγουσα· Ἀρτέμιε, εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ χάρις τῶν ἰαμάτων σοι δεδώρηται· σπεῦδε τοίνυν τὸν δρόμον σου, καὶ τὸν ἀγῶνα τελείωσον· εἴσελθε μετὰ τῶν ἁγίων, καὶ ἀπολάμβανε τὸ βραβεῖον τὸ ἡτοιμασμένον τοῖς ἁγίοις, καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ· ὁ δὲ παράνομος βασιλεὺς πεσεῖται ἐν Περσίδι, σφάγιον γενησόμενον τοῖς ἀκαθάρτοις δαίμοσιν οὓς ἐθεράπευεν καὶ οὓς ἐτίμα, τοιαύτην ἀντιμισθίαν παρ' αὐτῶν κομισάμενος, καὶ βασιλεύσει ἕτερος ἀντ' αὐτοῦ χριστιανικώτατος καὶ θεοφιλέστατος, καταθραύων καὶ κατασπῶν πάντα τὰ τῶν εἰδώλων σεβάσματα· ὁ δὲ λαὸς τοῦ θεοῦ εὐφρανθήσεται, καὶ πᾶσαι ἐκκλησίαι ἐλευθερωθήσονται τῆς εἰδωλομανίας, καὶ βαθεῖα εἰρήνη τὴν οἰκουμένην ἅπασαν καταλήψεται, καὶ τὸ ὄνομα τοῦ Χριστοῦ ὑψωθήσεται καὶ μεγαλυνθήσεται ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης. Οὐ γὰρ ἔτι ἀρεῖ κεφαλὴν ἡ εἰδωλολατρεία, οὐδ' οὐ μὴ σχῇ χώραν ὁ σατανᾶς, τοῦ τὸν θεμελίον τῆς ἐκκλησίας ἀναιμοχλεῦσαι· πύλαι γὰρ ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.

67. Ταῦτα παρὰ τῆς θείας φωνῆς ἐνωτισθεὶς ὁ μα-

κάριος, καὶ πληροφορίαν λαβὼν τῶν μελλόντων πραγμάτων γενήσεσθαι, εὐχαρίστησε τὲ τῷ Θεῷ, καὶ χαρᾶς καὶ εὐφροσύνης γενόμενος ἔμπλεως, ἔκλινε τὸν αὐχένα· καὶ προσελθὼν εἷς τῶν στρατιωτῶν, ἀπέτεμεν τὴν ἁγίαν αὐτοῦ κεφαλὴν, εἰκάδα ἐπέχοντος τοῦ ἐκτωβρίου μηνὸς, ἐν ἡμέρᾳ ἕκτῃ τῇ καλουμένῃ παρασκευῇ· οὗ τὸ μακάριον καὶ ἅγιον σῶμα ἐξητήσατο παρὰ τοῦ βασιλέως Ἰουλιανοῦ γυνή τις πιστὴ ὀνόματι Ἀρίστη, διάκονος ὑπάρχουσα τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας· καὶ ἐπέτρεψε δοθῆναι αὐτῇ· ἣ καὶ ποιήσασα γλωσσόκομον καὶ σμυρνίσασα τὸ ἅγιον αὐτοῦ καὶ μακάριον σῶμα, καὶ πολυτίμοις ἀρώμασι καὶ μύρεις ἐνωδιάσασα, κατέθετο ἐν τῷ γλωσσοκόμῳ, καὶ ἀνέπεμψεν ἐν τῇ πανευδαίμῳ Κωνσταντίνου πόλει, ἐν τόπῳ ἐπισήμῳ καταθεμένη, ὡς βουλομένη εἶκον ἄξιον τοῦ ἁγίου μεγαλομάρτυρος Ἀρτεμίου, πρὸς τὸ σύναξιν ἐπιτελεῖσθαι εἰς μνημόσυνον τῆς ἀειδίμου μαρτυρίας αὐτοῦ. Ταῦτα ἐπράχθη ἐν Ἀντιοχείᾳ τῇ μεγίστῃ πόλει Συρίας, ἐπὶ Ἰουλιανοῦ, καίσαρος τοῦ ἐπικληθέντος παραβάτου, ἀνθυπατεύοντος Δουλκιτίου, καὶ τὴν ὕπαρχον διεπόντος ἀρχὴν Σαλουστίου· ἐν τόπῳ καλουμένῳ Δάφνῃ, βασιλεύοντος ἡμῶν τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

68. Ἐπεὶ δὲ ἀνωτέρω εἰρήκαμεν ὡς ὁ παραβάτης Ἰουλιανὸς ἀπέστειλεν εἰς Ἱεροσόλυμα τοῦ τὸν ναὸν τῶν Ἰουδαίων ἀνοικοδομήσασθαι, ὃν Οὐεσπεσιανὸς καὶ Τίτος ὁ τούτου υἱὸς μετὰ τῆς πόλεως καὶ τοῦτον καθεῖλον καὶ ἐνεπύρισαν, καθὼς προεῖπεν ὁ δεσπότης Χριστὸς περὶ αὐτοῦ πρὸς τοὺς θεηγόρους αὐτοῦ μαθητὰς, ὅτι οὐ μὴ μείνῃ λίθος ἐπάνω λίθου ὃς οὐ μὴ καταλυθῇ· θέλων οὖν ὁ παράνομος τὰς

Digitized by Google

τοῦ Χριστοῦ φωνὰς ψευδεῖς ἀποδεῖξαι, ἐσπούδαζε μάλιστα τὸν ναὸν οἰκοδομεῖν, προστάξας ἐκ τῶν δημοσίων πραγμάτων τὲ καὶ χρημάτων ποιεῖσθαι πᾶσαν τὴν τῆς οἰκοδομῆς ἔξοδον· συνδραμόντων σὺν τῶν ἰουδαίων, καὶ μετὰ πολλῆς τῆς χαρᾶς τοῦ ἔργου ἐναρξαμένων, καὶ τὴν τῶν θεμελίων τάφρον ἐξορυττόντων ἀργυραῖς ἄμμαις καὶ σπάφαις, καὶ τοὺς θεμελίους μέλλον καταβαλλεσθαι, σφοδροτάτη καταιγὶς ἐπελθοῦσα, τὸ κενωθὲν ἀντεχώννυ· ἀστραπῶν δὲ καὶ βροντῶν καθ' ὅλην ἐκείνην τὴν νύκτα συνεχῶς καταπεμπομένων, σεισμὸς ἐγγιζούσης λοιπὸν τῆς ἡμέρας ἐγένετο, ὥστε πολλοὺς καὶ ὑπαίθρους μένοντας ἐναπσψύξαι· καὶ πῦρ ἐκ τῶν ὀρυσσομένων θεμελίων ἐξενεχθὲν, πάντας τοὺς εὑρεθέντας ἐκεῖσε κατέφλεξεν· καταπεσεῖν δὲ καὶ πόλεις συνέβη τὰς περὶ Νικόπολιν, καὶ Νεάπολιν, Ἐλευθερόπολίν τε, καὶ Γάζαν, καὶ ἑτέρας πλείους· στοά τε τῆς Αἰλίας ἦγουν Ἱερουσαλὴμ, ἡ παρὰ τὴν συναγωγὴν τῶν ἰουδαίων πολλοὺς τῶν εἰρηνένων κατενεχθεῖσα ἀνεῖλεν· πῦρ τὲ ἐκραγὲν ἀθήλως, πλείστους ἰουδαίων κατέκαυσεν· ἐγένετο δὲ καὶ σκότος κατὰ τοὺς τόπους ἐκείνους καὶ σεισμοὶ συνεχεῖς, πολλὰς φθορὰς ἐν πολλαῖς ἐργασάμενοι πόλεσιν.

69. Ὁ δὲ Ἰουλιανὸς ἀπάρας ἀπὸ τῆς Ἀντιοχείας σὺν παντὶ τῷ στρατεύματι, ἐπὶ τὴν Περσίδα γῆν ἐπερεύετο· καὶ τὴν Κτησιφῶντα πόλιν καταλαβὼν, ἐδόκει τί μέγα διαπραξάμενος ἔργον, ἐφ' ἕτερα μεταβαίνειν κρείττονα· ἔλαθεν δὲ αὐτὸν ἐξαπατηθεὶς ὁ παμμίαρος· ἔρωτα γὰρ διαβολικὸν τῆς εἰδωλομανίας ἐνκτησάμενος, καὶ ἐλπίσας διὰ μὲν τῶν ἀθέων θεῶν αὐτοῦ πολυχρόνιον τὴν βασιλείαν ἔξειν, καὶ νέον γενέσθαι Ἀλέξανδρον, περιγενέσθαι δὲ καὶ τῶν Περσῶν, καὶ τὸ τῶν χριστιανῶν ἐξαλείφειν εἰς ἅπαν

Digitized by Google

Philostorg. loc. cit.

γένος καὶ ὄνομα, ἐξέπεσε τῆς ὑπερηφάνου διάνοιας· γέροντι γὰρ ἐντυχὼν πέρσῃ καὶ παρ' αὐτοῦ ἀπατηθείς, ὥστε τὰ βασίλεια τῶν περσῶν καὶ πάντα τὸν πλοῦτον ἀμοιρητὶ παραλήψεσθαι, ἐνέβαλεν αὐτὸν ἐπὶ τὴν καρμανίτην ἔρημον εἰς ἀνοδίας καὶ βάραθρα καὶ εἰς ἐρήμους καὶ ἀνύδρους τόπους μετὰ παντὸς τοῦ στρατεύματος, καὶ διψῃ καὶ λιμῷ πιέσας αὐτοὺς, καὶ πάσαν τὴν ἵππον ἐναποκτείνας, ὁμολόγησεν ὁ πέρσης ἑκουσίως αὐτοὺς πεπλανηκέναι, ὡς ἂν διαφθαρεῖεν ὑπ' αὐτοῦ, καὶ μὴ τὴν ἑαυτοῦ πατρίδα πορθουμένην ὑπὸ τῶν ἐχθίστων θεάσαιτο· τοῦτον μὲν οὖν παραυτίκα μελανὸν κατακόψαντες, τῷ θανάτῳ παρέπεμψαν· εὐθέως δὲ καὶ μετὰ τῆς τηλικαύτης ταλαιπωρίας, πίπτοντες ἄκοντες τῷ τῶν περσῶν στρατεύματι, καὶ συμβολῆς γεναμένης, αὐτὸς Ἰουλιανὸς τῇδε κἀκεῖ διατρέχων καὶ διατατόμενος, περιπίπτει δόρατι, ὡς μὲν τινὲς φάσκουσι, στρατιώτου· ὡς δὲ ἄλλοι, σαρακηνοῦ τῶν περσῶν· ὡς δ' ὁ χριστιανῶν ὁ ἀληθὴς καὶ ἡμέτερος [λόγος], τοῦ δεσπότου Χριστοῦ ἀντιταξαμένου αὐτῷ· τόξον γὰρ ἀθρόως ἀπὸ τοῦ ἀέρος ἐνταθὲν καὶ βέλος ἐπ' αὐτὸν ὡς ἐπὶ σκοπὸν ἀφιὲν, καὶ διὰ τῶν λαγόνων ὁρμῆσαν, διαμπερὲς ἔτρωσεν αὐτὸν εἰς τὰ ὑποχόνδρια· καὶ ἀνιμόξας βαρύ τε καὶ δυσηχὲς, ἔδοξε τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐνώπιον αὐτοῦ ἑστᾶναι καὶ ἐπεγγελᾷν αὐτῷ· ὁ δὲ σκότους καὶ μανίας πλησθεὶς δεξάμενος τῇ χειρὶ τὸ ἴδιον αἷμα καὶ εἰς τὸν ἀέρα ῥάνας, πρὸς τῇ ἐκπνοῇ γενόμενος, ἀνέκραξε λέγων· νενίκακας Χριστὲ, χρτάσθητι Γαλιλαῖε· καὶ οὕτως τὸν ἔχθιστον θάνατον καταλαβὼν, κατέστρεψε τὸν βίον, τοὺς αὐτοῦ θεοὺς πολλὰ λοιδορησάμενος.

70. Τοῦ δὲ παραβάτου πεσόντος ἐν τῷ μεταιχμίῳ τοῦ

Digitized by Google

στρατοπέδου, Ἰοβιανὸς ἀναγορεύεται βασιλεὺς ὑπὸ τοῦ στρατοπέδου· καὶ σπονδὰς πρὸς τὸν πέρσην εἰρηνικὰς ποιησάμενος, τὴν Νίσιβιν παραδοὺς τοῖς πέρσαις ἄνευ τῶν οἰκητόρων, ἐξῆλθεν ἐκεῖθεν· ὁ γὰρ στρατὸς λιμῷ καὶ λοιμῷ διεφθείρετο· ἐλθὼν δὲ αὐτὸς ἐπὶ τῆς τῶν ῥωμαίων γῆς, τῇ τῶν ἀνομοιητῶν αἱρέσει προσετέθη, ἡγοῦν εὐνομιανῶν· φθάσαντος δὲ αὐτοῦ τὴν γαλατικὴν ἐπαρχίαν, αὐτόθι ἐν Δαδαστάναις ἔν τινι χωρίῳ οὕτω καλουμένῳ, ἄφνω καταστρέφει τὸν βίον· καὶ μένει ὁ λαὸς ἀβασίλευτος, ἡμέρας τεσσαράκοντα, ἄχρις οὗ ἐλθόντες ἐν Νικαίᾳ, Οὐαλεντινιανὸν ἀνηγόρευσαν· ὁ δὲ Οὐαλεντινιανὸς τὸν ἴδιον ἀδελφὸν ἀναγορεύει βασιλέα τῇ πρὸ πέντε καλανδῶν μαρτίων, μετὰ τριάκοντα καὶ δύο ἡμέρας τῆς αὐτοῦ βασιλείας· Οὐαλεντινιανῷ τοίνυν ἐντυχόντες οἱ ἐπίσκοποι τῆς καθαρᾶς καὶ ὀρθῆς πίστεως, ἠτήσαντο γενέσθαι σύνοδον· καὶ ἀπεκρίθη αὐτοῖς· ὅτι ἐμοὶ μὲν ὁ θεὸς ἔδωκεν ἄρχειν τῶν τοῦ κοσμου πραγμάτων, ὑμῖν δὲ τῶν ἐκκλησιῶν· ἐγὼ τοίνυν εἰς τοῦτο τὸ πρᾶγμα οὐδὲν ἔχω· ὅπου οὖν δοκεῖ ὑμῖν συνελθόντες, τὴν σύνοδον ποιήσατε· ταῦτα οὖν ἔτι ὀρθὸν ἔχων τὸ φρόνημα καὶ μήπω διαφθαρὲν ἔφη· συναχθέντες οὖν οἱ ἐπίσκοποι ἐν Λαμψάκῳ, πόλις δὲ ἔτι τοῦ Ἑλλησπόντου, ἀνακεφαλαιοῦνται τὰ τῆς πίστεως ὀρθὰ δόγματα· καὶ παραθέντες τὴν πίστιν Λευκιανοῦ τοῦ μάρτυρος, ἀναθεμάτισαν μὲν τὸ ἀνόμοιον, ὑπογράψαντες τῇ πίστει τῇ προεκτεθείσῃ ὑπὸ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ εἰς πάσας τὰς ἐκκλησίας διεπέμψαντο· ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα. *Philostor. fragm. lib. 8.*

* *Quae est apud Surium die XX. octob. latina S. Artemii passio, ea ex hac graeca sumpta fuit, multis tamen detractis initio et in fine, nec non in medio, partibus.*

Digitized by Google

EDITORIS MONITUM

DE SEQUENTIBUS EXCERPTIS.

Nicetae choniatae, saeculis Christi XII. et XIII. clari, Thesaurus orthodoxae fidei, ab eo post occupatam a Latinis Constantinopolim in exilio compositus, satis philologis notus erat. Nam et Montfauconius in graeca palaeographia, et Fabricius B. G. T. VI. ed. vet., nec non in nov. T. VII; item Bandinius in codd. gr. laurent. T. I, et in monum. eccl. gr. T. III; Cavaeus insuper aliique, doctum hoc atque exoptatum Nicetae opus commemoraverunt. Bene tamen de eo prae ceteris meriti sunt Montfauconius, qui XXVII. librorum (id est totius operis) argumenta protulit, ex eoque Fabricius repetivit; multoque magis Petrus Morellius, a quo quinque priores libri latine vulgati fuerunt; denique Bandinius qui in monum. indicem auctorum operumque contexuit, quibus Nicetas in Thesauro utitur.

Quae quum ita se haberent, dolui equidem tam utilis operis vix coeptam, et quidem latine tantummodo, editionem; neque tamen me ipsum vel vires vel otium hortabantur, ut tantum onus laboremque susciperem; quamquam in mss. codicibus (mirum dictu!) ipsissimum Morellii apographum graece et latine ad nos e Gallia olim delatum vidi, cuius is, ut dixi, nonnisi minimam partem edidit; eiusdem vero operis longe antiquius exemplar nanciscebar in bombycinis chartis paulo post auctoris aetatem scriptum, sed multo strictius ac more excerptorum, cuiusmodi alterum codicem bibliotheca bodleiana retinet, teste Fabricio. Decrevi itaque notabiliora saltem excerpta ex vaticanis codicibus graece excitare, capto initio a morellianae editionis fine, nimirum a sexto libro, qui, ut cognoscimus ex Montfauconii summariis, in Macedonii praesertim haeresi versabatur.

Digitized by Google

EX THESAURO ORTHODOXAE FIDEI

NICETAE CHONIATAE

EXCERPTA.

ΠΕΡΙ ΜΑΚΕΔΟΝΙΟΥ.

1. Ἐντεῦθεν δὲ τὴν περὶ τὸν πνευματομάχον Μακεδόνιον τῷ λόγῳ δοῦναι προθέμενος ἀρχὴν, ἀναγκαῖον καὶ ταῦτα προδεπηγήσασθαι οἶομαι, ὡς ἄξια τοῦ ἐπίστασθαι τοῖς φιλίστορσι, μηδὲ τοῖς ῥηθησομένοις ἐπίπαν ἀσυναφῆ· ὁ γάρ τοι πολλὰ καὶ ἐν τοῖς ἔμπροσθεν θηλωθεὶς λόγοις Εὐσέβιος ὁ Νικομηδείας πάντα τρόπον τοῖς ὀρθοδόξοις ἀντιτιθέμενος, πρῶτον μὲν ἐπεβούλευσεν, ὡς εἰρήκαμεν, Εὐσταθίῳ τῷ Ἀντιοχείας, καὶ καθεῖλε τοῦτον ἐκ διαβολῆς· Ἀλεξάνδρου δὲ τοῦ τῆς Ἀλεξανδρείας μετὰ μῆνας πέντε τῆς ἐν Νικαίᾳ συνόδου πρὸς Θεὸν ἐκδημήσαντος, διεδέξατο τὰ προέδρια Ἀθανάσιος· ἐπειράθησαν οὖν ὁ τοῦ Εὐσεβίου χορὸς δι' ἐπιστολῶν πείθειν αὐτὸν ἵν' ἐς κοινωνίαν δέξηται τὸν Ἄρειον· ὡς δ' οὐκ εἶξε ταῖς παρακλήσεσι, τοιόνδε τί μηχανῶνται· Μελίτιος ὁ τῆς Λύκων ἐπίσκοπος, ὃν ἐν Νικαίᾳ κατέκρινε σύνοδος, ἐκλείπων τὸν βίον, Ἰωάννην τινὰ τῶν αὐτῷ συνήθων ἀνθ' ἑαυτοῦ κατέστησεν ἐπίσκοπον παρὰ τὸ δόγμα τῶν ἐν Νικαίᾳ· τοὺς τοίνυν τὰ Ἰωάννου φρονοῦντας ὑπελθόντες οἱ περὶ Εὐσέβιον, ἔπεισαν Ἀθανασίου κατηγορῆσαι· καὶ κατηγόρησαν ὡς οὐ κανονικῶς ἐχειροτονήθη, καὶ ὡς χιτωνίων λινῶν φόρον αἰγυπτίοις ἐπέβαλε, καὶ γύναιον ἔφθειρε, καὶ τῷ κρατοῦντι ἐπιβουλεύων Φι-

Cod. pag. 162.

Digitized by Google

λουμένῳ τινὶ τῶν βασιλικῶν θεραπόντων ἔπεμψε λάρνακα χρυσίου, καὶ τὴν ἐξ Αἰγύπτου σιτοπομπίαν ἐκώλυσε, καὶ Ἀρσενίου τινὸς ἐκτεμὼν τὴν χεῖρα γοητείας ἕνεκεν εἶχεν.

2. Διὰ ταῦτα τοίνυν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης σύνοδον ὁ βασιλεὺς ἀθροισθῆναι προσέταξεν· Ἀθανασίου δὲ ἀναβαλλομένου, διὰ τὸν Εὐσέβιον τὸν Παμφίλου τῇδε ἐπισκοπεῦντα φίλον εἶναι καὶ συνεργὸν Εὐσεβίῳ τῷ Νικομηδείας, πάλιν οἱ Μελιτιανοὶ κατηγόρησαν αὐτοῦ ὡς μυστικὸν ποτήριον ἐν τῷ Μαρεώτῃ συνέτριψε, καὶ ἐπισκοπικὸν καθεῖλε θρόνον, καὶ ἕτερα τινὰ εἰργάσατο τῶν ἀπειρημένων· ἐπέτρεψε τοίνυν ὁ βασιλεὺς ἐν Τύρῳ γενέσθαι σύνοδον, καὶ γενομένης αὐτῆς, Ἀθανάσιος ἐνίκησε κατὰ κράτος· οἱ δὲ τῆς ἀληθείας ἐχθροὶ ἐπίσκοποι μᾶλλον αὐτοῦ κατεψηφίσαντο· εἶτα καὶ εἰς τὸν Μαρεώτην ἔπεμψαν, χώραν τινὰ τῆς Ἀλεξανδρείας ἐπώνυμον Μαρείας τῆς λίμνης· ἦσαν δὲ οἱ πεμφθέντες Θεόγνις ὁ Νικαίας, καὶ Μάρις ὁ Χαλκηδόνος, Θεόδωρος Περινθου ἤτοι Ἡρακλείας, Νάρκισος Νερωνιάδος, Οὐάλης Μούρσης, Οὐρσάκιος Σιγγηδόνος, Μακεδόνιος Μοψουεστίας, οἳ καὶ ζητήσαντες τὰ περὶ τῆς τοῦ μυστικοῦ ποτηρίου συντριβῆς, καὶ τῆς καθαιρέσεως τοῦ ἐπισκοπικοῦ θρόνου, τὰ μὲν ἀληθῆ παρῆλθον, ἐπλάσαντο δὲ καὶ αὐτοὶ τὰ ψευδῆ, καὶ καθήρησαν ὡς ἐνόμισαν Ἀθάνασιον, δεξάμενοι καὶ αὐτὸν Ἀρσένιον, οὗ ἔλεγον ἐκκεκόφθαι τὴν χεῖρα· ὃς πρότερον τῆς Μελιτιανῶν θρησκείας ἐπίσκοπος ὢν, τηνικαῦτα παρ' αὐτοῖς ὡς τῆς Ὑψηλητῶν ἐπίσκοπος πόλεως ὑπέγραψε κατὰ Ἀθανασίου.

3. Ἐν τούτῳ δ' ἐξεργασθέντος τοῦ ἐν Ἱεροσολύμοις ναοῦ περὶ τὸν τοῦ κρανίου χῶρον ὃς μέγα προσαγορεύεται

Digitized by Google

μαρτύριον, ἐκέλευσεν ὁ βασιλεὺς τοὺς ἐν Τύρῳ συνειλεγμένους ἐπισκόπους καταλαβεῖν τὰ Ἱεροσόλυμα, καὶ τὸν τοιοῦτον καθιερῶσαι ναὸν· τηνικαῦτα δὲ καιρὸν εὑρόντες οἱ ἀρειανόφρονες ἐσπούδασαν ἐν Ἱεροσολύμοις γενέσθαι σύνοδον, καὶ κοινωνίας μεταδοῦναι Ἀρείῳ καὶ Εὐζωΐῳ· πείσαντες τεῖνυν τὸν βασιλέα διὰ τῆς ἑαυτοῦ ἀδελφῆς Κωνσταντίας καὶ τοῦ προσῳκειωμένου ταύτῃ πρεσβυτέρου ἀρειανοῦ, παρεσκεύασαν αὐτὸν θεάσασθαι Ἄρειον καὶ Εὐζώϊον, οὓς ἰδὼν καὶ ὑπολαβὼν παραπλησίως τοῖς ἐν Νικαίᾳ δοξάζειν, ἔπεμψε πρὸς τοὺς ἐν Ἱεροσολύμοις συνελθόντας, γράψας φιλάνθρωπον ἐπ' αὐτοῖς ἐνεχθῆναι ψῆφον, εἰ ὀρθῶς φανεῖεν δοξάζοντες· καιροῦ τοίνυν δραξάμενοι οἱ ἀρειανοὶ ἐδέξαντο τούτους, καὶ αὐτῷ βασιλεῖ καὶ τοῖς ἀπαναχοῦ ἐπισκόποις ἔγραψαν ὀρθοδόξους ὑπάρχειν αὐτούς.

4. Τούτων οὕτω πραττομένων, Ἀθανάσιος ἐκ Τύρου φυγὼν εἰς Κωνσταντινούπολιν ἦλθεν· οὗ τῆς δεήσεως ἀκούσας ὁ βασιλεὺς μὴ δικαίως κριθῆναι λέγοντος, ἔγραψε τοῖς ἐν Τύρῳ συναθροισθεῖσι τηνικαῦτα, καταλαβεῖν πρὸς αὐτὸν, ὡς ἂν ἐπ' ὄψεσιν αὐτοῦ δοκιμασθείη τὰ κατὰ Ἀθανασίου· καταλαβόντων οὖν αὐτῶν, Εὐσέβιος ὁ Νικομηδείας ἰσχυρίζετο δικαίαν τὴν ἐπὶ Ἀθανάσιον γενέσθαι ψῆφον, μάρτυρας παρῆγε Θεόγνιν καὶ Μάριν καὶ Θεόδωρον καὶ Οὐάλεντα καὶ Οὐρσάκιον· ὁ δὲ βασιλεὺς εἴτε ἀληθῆ πιστεύσας εἶναι τὰ λεγόμενα, εἴτε ὁμονοῆσειν ὑπονοήσας τοὺς ἐπισκόπους, ἵν' ἐκ ποδῶν γένοιτο Ἀθανάσιος, προσέταττε ἀπηνεχθῆναι τοῦτον εἰς Τρίβεριν τῶν πρὸς δύσιν Γαλατῶν· καὶ ὁ μὲν ἀπήχθη, καὶ ἦν ἐκεῖ ἕως τῆς Κωνσταντίνου τελευτῆς.

5. Ὁ δὲ Ἄρειος μετὰ τὴν ἐν Ἱεροσολύμοις σύνοδον, ἦκεν

Digitized by Google

εἰς Αἴγυπτον· μὴ κοινωνούσης δὲ αὐτῷ τῆς Ἀλεξανδρέων ἐκκλησίας, πάλιν ἀνῆλθεν εἰς Κωνσταντινούπολιν· καὶ οὕτως ἔργον ἐγένετο τῆς Ἀλεξάνδρου τοῦ ἱερέως προσευχῆς· μετὰ δὲ ταῦτα νεωτερίζειν φανερῶς οἱ περὶ Εὐσέβιον ἤρξαντο περὶ τὴν ἔκθεσιν τῶν ἐν Νικαίᾳ συνελθόντων, καὶ ἐβάλλετο ἐγγράφως τὸ ὁμοούσιον· σύνοδον οὖν ἀθροισθῆναι παρασκευάσαντες ἐν Κωνσταντινουπόλει καθεῖλον καὶ πεμφθῆναι πρὸς ὑπερορίαν ἔσπευσαν τοὺς τοῦ ὁμοουσίου κήρυκας, Ἀσκληπᾶν ἐπίσκοπον Γάζης, καὶ Κλιμάτιον Ἀνταράδου, ἕτερον Κλιμάτιον Πάλτου, Ἐφραίμιον Βαλανέων, Κῦρον Βερροίας, Δομνίωνα Σιρμίου, Ἑλλάνιον Τριπόλεως, Ἄρειον Πετρῶν τῆς Παλαιφάτης, καὶ Ἀστέριον Πετρῶν τῆς Ἀραβίας, Ὀλύμπιον Αἴνου, Θεόδουλον Τραϊνουπόλεως, Βικέντιον Καπύης, Ἐφράτην Ἀγριππίνης, Εὐτρόπιον Ἀδριανουπόλεως, οὗ διάδοχος Λούκιος, καὶ ἐπὶ πᾶσι τὸν εἰρημένον Μάρκελλον τῆς Ἀγκύρας καθῆκαν, ὑπερφυῶς γὰρ ἐχαλέπαινον αὐτῷ, ἅτε μήτε ἐν τῇ κατὰ Φοινίκην συνόδῳ τοῖς ὑπ' αὐτῶν ὁρισθεῖσι κατὰ Ἀθανασίου συνθεμένῳ, μήτε τοῖς ἐν Ἱεροσολύμοις ἐπὶ Ἀρείῳ, μήτε τῆς καθιερώσεως τοῦ μεγάλου μαρτυρίου μετασχόντι, δι' ἀποφυγὴν τῆς πρὸς αὐτοὺς κοινωνίας· καὶ ταῦτα μὲν ἔτι τοῦ μεγάλου περιόντος Κωνσταντίνου.

6. Τελευτήσαντος δ' ἐκείνου, καὶ τῆς ἀνὰ τὴν ἕω βασιλείας εἰς Κωνστάντιον περιςάσης, ἔσχε μᾶλλον ἐπίδοσιν τὰ τῶν ἀρειανῶν· ὁ γάρ τοι πρεσβύτερος ἐκεῖνος ὢν ἀρειανόφρονα ὄντα Κωνσταντίνῳ συνέστησεν ἡ αὐτοῦ ἀδελφή, γέγονε καὶ Κωνσταντίῳ κεχαρισμένος διὰ τὰς τοῦ Κωνσταντίνου διαθήκας ἀποδώσας αὐτῷ· συνήθης οὖν ἐντεῦθεν καὶ τῇ βασιλίδι γενόμενος καὶ τοῖς ἐν δυνάμει θαλαμηπόλοις

εὐνούχοις, ὧν Εὐσέβιος ὁ ἐπαινέτης Ἀρείου προειστήκει σφόδρα συνεκρότει τοὺς ἀρειανούς· ἐν τούτῳ δὲ Ἀθανάσιος ἐκ τῶν Γαλλίων ἐπανῆλθεν εἰς Ἀλεξάνδρειαν, ἐπιτρέψαντος αὐτῷ τὴν κάθοδον, καὶ γράμματα δόντος πρὸς τοὺς ἀλεξανδρεῖς Κωνσταντίνου τοῦ ὁμωνύμου τῷ μεγάλῳ Κωνσταντίνῳ παιδὸς αὐτοῦ, ὃς ἦρξε τῶν πρὸς ἑσπέραν Γαλατῶν.

7. Κατὰ δὲ τοῦτον τὸν χρόνον Εὐσεβίου τοῦ Παμφίλου τὸν βίον λιπόντος, διεδέξατο τὴν ἐν τῇ Καισαρείᾳ τῆς Παλαιστίνης ἐπισκοπὴν Ἀκάκιος· οὐκ εἰς μακρὰν δὲ καὶ Κωνσταντῖνος ὁ βασιλεὺς πόλεμον ἐπαγαγὼν τῷ ἰδίῳ ἀδελφῷ Κώνσταντι, κτείνεται παρὰ τῶν ἐκείνου στρατηγῶν ἐν Ἀκυλίᾳ· τότε δὲ καὶ Ἀλεξάνδρου τοῦ Κωνστάντινουπόλεως τελευτήσαντος, προεβλήθησαν παρὰ μὲν τῶν ἀρειανῶν Μακεδόνιος, παρὰ δὲ τῶν ὀρθοδόξων Παῦλος, παρὰ γνώμην τοῦ Νικομηδείας ἐπισκόπου Εὐσεβίου, καὶ Θεοδώρου τοῦ τῆς ἐν Θράκῃ Ἡρακλείας, οἷς ὡς γείτοσι ἡ χειροτονία διέφερεν· ἐπὶ τούτοις οὖν ὀργισθεὶς Κωνστάντιος, παραγέγονεν εἰς Βυζάντιον, ἦν γὰρ ἀπόδημος τηνικάδε, καὶ σύνοδον καθίσας παρέδωκεν Εὐσεβίῳ τῷ Νικομηδείας τὸν Κωνσταντινουπόλεως θρόνον, δευτέραν ταύτην μετατεθέντι μετάθεσιν· ἐπὶ τούτου συνεθρόισθησαν εἰς Ἀντιόχειαν τὴν μεγάλην ἐνενήκοντα καὶ ἑπτὰ ἐπίσκοποι, ὧν εἰσὶ καὶ οἱ φερόμενοι κάνονες· ἠθροίσθησαν δὲ προφάσει μὲν ἐπὶ καθιερώσει τῆς ἐκεῖ νεουργηθείσης ἐκκλησίας, ἣν ἤρξατο μὲν οἰκοδομεῖν Κωνσταντῖνος, ἐξειργάσατο δὲ Κωνστάντιος· ὡς δὲ τὸ ἀποβὰν ἔδειξεν, ἐπὶ μεταποιήσει τῶν ἐν Νικαίᾳ δοξάντων.

8. Ἡγοῦντο δὲ τῆς συνόδου ταύτης Εὐσέβιος Κωνσταντινουπόλεως ὁ ἀπὸ Νικομηδείας μετατεθεὶς, Ἀκάκιος Και-

Digitized by Google

σαρείας τῆς κατὰ Παλαιστίνην, Πατρόφιλος Σκυθοπόλεως, Θεόδωρος Περίνθου, Εὐδόξιος Γερμανικείας, Διαύσιος Καισαρείας Καππαδοκίας, καὶ Γεώργιος Λαοδικείας τῆς παρὰ Σύρους· Μάξιμος δὲ ὁ μετὰ Μακάριον Ἱεροσολύμων ἐπίσκοπος γεγονὼς ἐπίτηδες ἀπέφυγε ταύτην τὴν σύνοδον, μεταμελόμενος καθότι ἀπατηθεὶς ἐγένετο σύμψηφος τοῖς Ἀθανάσιον καθελοῦσιν ἐν Τύρῳ· ὑπὸ τούτων οὖν τῶν ἐν Ἀντιοχείᾳ συνελθόντων πρὸς τῇ διαστροφῇ τοῦ δόγματος Ἀθανασίου καταψηφισαμένων, προεβλήθη Ἀλεξανδρείας ἐπίσκοπος Εὐσέβιος ὁ ἐξ Ἐδέσσης μὲν τῆς Ὀσροηνῶν ὑπάρχων, γενόμενος δὲ ὕστερον Ἐμέσης ἐπίσκοπος, ὃς καὶ διεβάλλετο ἀσκεῖσθαι τῆς ἀστρονομίας τὸ ἀποτελεσματικὸν καλούμενον μέρος· παραιτησαμένου δὲ τοῦ Εὐσεβίου τὴν Ἀλεξάνδρειαν, ἐπετράπη ὁ Γρηγόριος τῶν Ταρβασθηνῶν, ἐφ' ᾧ χαλεπήναντες οἱ ἀλεξανδρεῖς, τὴν ὁμώνυμον Διονυσίου τοῦ τῇδε ἐπισκοπήσαντος ἐκκλησίαν ἐνέπρησαν· καὶ Ἀθανάσιος μὲν φυγὼν, εἰς Ῥώμην ἀφίκετο.

9. Μετ' οὐ πολὺ δὲ τελευτήσαντος Εὐσεβίου, ἀντεποιήσαντο πάλιν τῆς Κωνσταντινουπόλεως Παῦλος καὶ Μακεδόνιος. Κωνστάντιος δὲ τοῦτο μαθὼν ἐν Ἀντιοχείᾳ, ἐπέτρεψεν Ἑρμογένει τῷ στρατηλάτῃ πρὸς τὰ Θράκια πεμπομένῳ μέρη, ὁδοῦ πάρεργον ποιῆσαι τὸ ἐξωθῆσαι Παῦλον τῆς ἐκκλησίας· οὗ παραγενομένου καὶ στρατιωτῇ χειρὶ χρησαμένου, ἐστασίασε τὸ πλῆθος, καὶ αὐτὸν σύραντες ἐπέκτειναν· πυθόμενος δὲ τὸ γεγονὸς Κωνστάντιος, κατέλαβε τὴν Κωνκταντινούπολιν, καὶ τὸν μὲν Παῦλον ἐξήλασε, τὴν δὲ πόλιν ἐζημίωσεν, ἀφελὼν τοῦ σιτηρεσίου τοῦ παρασχεθέντος ὑπὸ τοῦ πατρὸς αὐτοῦ, ὑπὲρ τὰς τέσσαρας μυριάδας· ὀκτὼ γὰρ ἐγγὺς μυριάδες ἐχορηγοῦντο πρότερον σί-

Digitized by Google

του τοῖς πολίταις ἑκάστου ἔτους ἐκ τῶν κομιζομένων ἀπ' Αἰγύπτου τῷ δήμῳ φόρων. Μακεδόνιον δὲ τῆς πόλεως τέως ἐπίσκοπον οὐκ ἐποίησεν, ἀλλ' εἴασεν αὐτὸν ἐν τῇ λεγομένῃ ἐπὶ Παύλου ἐκκλησίᾳ συνάγειν, ἐν ᾗ καὶ ἐχειροτονήθη· καὶ οὕτως αὐτὸς μὲν ἀνέζευξεν εἰς Ἀντιόχειαν· Παῦλος δὲ τὴν Ῥώμην κατέλαβεν.

10. Περὶ δὲ τῶν κατ' Ἀλεξάνδρειαν συμβεβηκότων, Θεοδώριτος μὲν ἄλλως ἱστορεῖ· φησὶ γὰρ, μετὰ τὴν Ἀθανασίου φυγὴν ἐπισκοπῆσαι Γρηγόριον ἄχρι τῆς ἐν Σαρδικῇ συνόδου· μετὰ δὲ τὴν σύνοδον ταύτην, τὸν μὲν Γρηγόριον ἀναιρεθῆναι παρὰ τῶν ἀλεξανδρέων, ἐπανελθεῖν δὲ πάλιν τὸν Ἀθανάσιον εἰς τὸν οἰκεῖον θρόνον διὰ γραμμάτων Κώνσταντος τοῦ ἐν Ῥώμῃ βασιλεύοντος· ἐπεὶ δὲ Κώνστας ἐτελεύτησεν, αὖθις φυγεῖν Ἀθανάσιον, καὶ προβεβλῆσθαι παρὰ τῶν ἀρειανῶν Γεώργιον τὸν κατωτάδοκην, μυρία κακὰ τοῖς τὰ Ἀθανασίου φρονοῦσιν ἐνδείξασθαι, καί τινας τῶν ἀπ' Αἰγύπτου καὶ Λιβύης ἐπισκόπων ἐξορίσαι, Γάϊον Παραιτονίου, Ἄγαθον Φραγώνεως καὶ μέρους Ἐλεαρχίας τῆς Αἰγυπτου, Ἀμμώνιον Παχνεμούνεως καὶ τοῦ λοιποῦ μέρους τῆς Ἐλεαρχίας, Ἀγαθοδαίμονα Σχεδίας καὶ Μενελαΐτου, Δρακόντιον Ἑρμουπόλεως μικρᾶς, Ἀδέλφιον Ὀνούφεως, Παφνούτιον Σάεως, ὧν καὶ ὁ μέγας Ἀθανάσιος ἐν τῇ ὑπὲρ τῆς φυγῆς αὐτοῦ ἀπολογίᾳ μέμνηται· καὶ πρὸς τούτοις Ἀμμώνιον ἕτερον, Μῶϊον, Φίλωνα, Ἑρμῆν, Πλήνιον, Ψενόσιριν, Ἄγαμφον, Μάρκον, Νειλάμμωνα, Μάρκον ἕτερον, Ἀθηνόδωρον, καὶ πρεσβυτέρους Ἱέρακα καὶ Διόσκορον· οὕτως μὲν οὖν Θεοδώριτος· Σωκράτης δὲ καὶ Σωζόμενος φασὶν, ὅτι εὐθὺς μετὰ τὸ ἐκβληθῆναι Παῦλον, καὶ ἀναζεῦξαι Κωνστάντιον εἰς

Digitized by Google

Ἀντιόχειαν, οἱ ἀρειανίζοντες μετέστησαν ἐκ τῆς Ἀλεξανδρείας Γρηγόριον, ὡς σὺτε ἐλεξανδρεῦσι καταθύμιον, καὶ ὡς ἀμελῆ πρὸς σύστασιν τοῦ εἰκείου δόγματος· ἀντὶ δὲ τούτου, Γεώργιον ἔπεμψαν, ὃς ἐκ Καππαδοκίας μὲν ὡρμᾶτο, δόξαν δὲ περὶ τὴν ἀρειανὴν θρησκείαν ἐκέκτητο.

11. Ἐν τούτῳ δὲ τὴν Ῥώμην, ὡς ἔφαμεν, κατέλαβον Ἀθανάσιος καὶ Παῦλος, ἀλλὰ καὶ Μάρκελλος ὁ Ἀγκύρας, καὶ Ἀσκληπᾶς ὁ Γάζης, ἓν οἱ ἀρειανοὶ διαβαλόντες ὡς θυσιαστήριον κατασρέψαντα, καθεῖλεν, καὶ ἀντ' αὐτῷ Κεντιανὸν ἐχειροτόνησαν· πρὸς δὲ καὶ Λεύκιος ὁ Ἀδριανουπόλεως ἐπ' ἄλλῳ τινὶ κατηγορηθεὶς· ὁ δὲ Ῥώμης ἐπίσκοπος Ἰούλιος ὁμονοοῦντας τούτους εὑρὼν τῇ ἐν Νικαίᾳ συνόδῳ, εἰς κοινωνίαν προσήκατο, καὶ τοῖς ἀνὰ τὴν ἕω πᾶσιν ἐπισκόποις ἔγραψεν ἀποδοῦναι μὲν αὐτοῖς τοὺς ἰδίους θρόνους, πέρψαι δέ τινας εἰς ῥητὴν ἡμέραν τοὺς ἐλέγξοντας αὐτοὺς δικαίως ἐκβεβλημένους· τούτοις θαρρήσαντες τῇς γράμμασιν οἱ ἀμφὶ τὸν Ἀθανάσιον, ἕκαστος τὸν ἑαυτοῦ κατέλαβε θρόνον· οἱ δὲ τὰς ἐπιστολὰς δεξάμενοι, χαλεπῶς ἤνεγκαν· καὶ συλλεγέντες εἰς Ἀντιόχειαν, Ἰουλίῳ μὲν ἀντέγραψαν * ὡς οὐ δεῖ κανονίζεσθαι παρ' αὐτοῦ τοὺς τῆς ἀνατολῆς ἐπισκόπους, εἰ βούλοιντό τινας ἐξελαύνειν τῶν ἐκκλησιῶν, ὅτι μηδὲ οἱ τῆς ἀνατολῆς ἀντεῖπον ὅτε Ναυάτον ἐξήλασαν οἱ τῆς δύσεως. Κωνστάντιον δὲ παρώτρυναν κατὰ Ἀθανασίου καὶ Παύλου· καὶ ὃς ἔγραψεν ἀπ' Ἀντιοχείας τῷ ἐπάρχῳ Κωνσταντινουπόλεως Φιλίππῳ Παῦλον μὲν ἐξελᾶσαι τῆς πόλεως, Μακεδονίῳ δὲ παραδοῦναι τὴν ἐκκλησίαν· ὁ μὲν οὖν Παῦλος εὐθὺς ἐξηλάθη· Φίλιππος δ' ἐπὶ τὴν ἐκκλησίαν ἠπείγετο, σὺν θρόνον ἐπὶ τοῦ ὀχήματος ἔχων τὸν Μακεδόνιον· παρείπετο δὲ τούτοις καὶ χειρ

* *responsum arianorum.*

Digitized by Google

στρατωτικὴ ξιφήρης· πλήθους δὲ πολλοῦ παρόντος, καὶ τῷ ἐπάρχῳ καὶ τῷ Μακεδονίῳ παρόδου μὴ γινομένου, ὑπέλαβεν εἰ στρατιῶται τοὺς ὄχλους ἀνθίστασθαι· καὶ λιπὼν πολλοὺς μὲν αὐτοὶ τοῖς ξίφεσιν ἀνεῖλον, πολλοὶ δὲ καὶ ὑπ' ἀλλήλων συνεπατήθησαν· καὶ ἀπέθανον ὡς λέγεται περὶ τοὺς ἑκατὸν καὶ πεντήκοντα καὶ τρισχιλίους· ἐπὶ τοσούτοις μὲν οὖν κατεῤῥώμασι Μακεδόνιος παρὰ τοῦ ἐπάρχου ἐνεθρονίσθη.

12. Ἀθανάσιος δὲ τὴν ἐπιβουλὴν Κωνσταντίου δείσας, θανάτῳ γὰρ ζημιοῦν αὐτὸν ἠπείλησεν, εἰς τὴν Ῥώμην ἀφίκετο· καὶ Παῦλος εἰς τὴν Θεσσαλονίκην ἀπενεχθείς, ὅθεν καὶ τοὺς πρόγονους ἔχειν ἐλέγετο· καὶ τὴν μὲν ἕω φεύγειν ἐπιτραπείς, Ἰλλυρικῆς δὲ καὶ τῆς ἐπέκεινα γῆς ἐπιβαίνειν οὐ κωλυθείς, ἀπαίρειν εἰς Κόρινθον προεφάσισατο, καὶ τὴν Ῥώμην κατείληφε καὶ αὐτός· ἀναδιδάξαντος οὖν Ἰουλίου τὸν βασιλέα Κώνσταντα τὰ περὶ αὐτῶν, ἔγραψεν ἐκεῖνος τῷ βασιλεῖ Κωνσταντίῳ πέμψαι τινὰς τῶν ἐπισκόπων ἀπολογησομένους περὶ τῆς τούτων καθαιρέσεως· ἐπέμφθησαν οὖν Νάρκισσος Εἰρηνουπόλεως, Θεόδωρος ὁ Ἡρακλείας, Μάρις ὁ Χαλκηδόνος, καὶ Μάρκος ὁ Ἀρεθούσης· οἱ τὴν μὲν ἐν Ἀντιοχείᾳ παρ' αὐτῶν ἐκτεθεῖσαν ἀπέκρυψαν πίστιν, ἑτέραν δ' ἐκάττυσαν ἀπάδουσαν ὅλως τῇ ἐν Νικαίᾳ· καὶ ταύτην τῷ βασιλεῖ Κώνσαντι δεδωκότες, καὶ περὶ ὧν ἐβούλοντο μηδὲν ἀνύσαντες, ὑπέστρεψαν ἄπρακτοι· μετὰ δὲ τριετῆ χρόνον, ἑτέραν εἰ τῆς ἕω συντάξαντες πίστιν, ἣν καὶ μακρόστιχον ἔκθεσιν ὠνόμασαν, ἔπεμψαν τοῖς ἀνὰ τὴν δύσιν δι' Εὐδοξίου τοῦ Γερμανικείας, καὶ Μακεδονίου τοῦ Μοψουεστίας, ἐν ᾗ μνήμην μὲν οὐσίας οὐκ ἐποιήσαντο θεοῦ, ἀπεκήρυξαν δὲ τοὺς ἐξ οὐκ ὄντων λέγοντας τὸν υἱὸν τοῦ

Digitized by Google

Θεοῦ, καὶ ὅτι ἦν ὅτε οὐκ ἦν· πρὸς δὲ, καὶ τοὺς σαβελλιανοὺς, οὓς ὀνομάζουσι ῥωμαῖοι πατροπασσίανους, ὡς τὸν πατέρα συγχέοντας εἰς υἱὸν καὶ τὸ πνεῦμα, καὶ ποτὲ μὲν αὐτὸν πατέρα, ποτὲ δὲ υἱὸν, ποτὲ δὲ πνεῦμα ὀνομάζοντας· τὸ γὰρ χύδην καὶ ἀδιακρίτως, πάσσιμον ἡ ῥωμαϊκὴ λέγει φωνὴ· ταύτην δὲ τὴν πίστιν μὴ παραδεξαμένων τῶν δυτικῶν, ἀλλ' εἰπόντων ἀρκεῖσθαι τοῖς ἐν Νικαίᾳ δόξασιν, ἔγραψε πρὸς τὸν ἀδελφὸν ὁ Κώνστας ἀξιῶν ἀποδοθῆναι τοῖς περὶ Ἀθανάσιον τοὺς οἰκείους θρόνους.

13. Ὡς δὲ οὐδὲν ἠνύετο πλέον, ἔδοξε γνώμῃ τῶν δύο βασιλίων ἀθροισθῆναι σύνοδον ἐν Σαρδικῇ τῇ πόλει· καὶ ἠθροίσθησαν κατὰ μὲν Θεοδώριτον πεντήκοντα καὶ διακόσιοι ἐπίσκοποι· κατὰ δὲ Σωκράτην καὶ Σωζόμενον, ἐκ μὲν τῶν ἑσπερίων μερῶν περὶ τοὺς τριακοσίους· ἐκ δὲ τῶν ἑῴων ἓξ καὶ ἑβδομήκοντα· οἷς συνηριθμεῖτο καὶ Σαβῖνος ὁ τοῦ ἐν Ἡρακλείᾳ τῆς Θράκης μακεδονιανῶν ἐπίσκοπος, καὶ Ἰσχύρας ἐπιτραπεὶς τὴν τοῦ Μαρεώτου ἐπισκοπὴν παρὰ τῶν ἀπεχθανομένων τῷ Ἀθανασίῳ· καὶ οἱ μὲν δυτικοὶ κατ' αὐτὴν τὴν Σαρδικὴν συνῆλθον, οἱ δὲ ἀνατολικοὶ καταλαβόντες τὴν Φιλιππούπολιν ἐδήλωσαν αὐτοῖς ὡς οὐκ ἄλλως εἰς λόγους ἐλθεῖν αὐτοῖς ἐθέλουσιν, εἰ μὴ τοὺς περὶ Ἀθανάσιον ἀπελάσουσι τοῦ συνεδρίου καὶ τῆς κοινωνίας ὡς καθῃρημένους· τῶν δὲ μὴ ἀνεχομένων, ἐκεῖνοι συνήδρευσαν ἀλλήλοις ἐν αὐτῇ τῇ Φιλιππουπόλει, καὶ καθεῖλον ὡς ἐνόμισαν Ἰούλιον μὲν τῆς Ῥώμης, ὡς ἄρξαντα τῆς πρὸς Ἀθανάσιον καὶ τοὺς ἀμφ' αὐτὸν κοινωνίας, Ὅσιον δὲ τὸν Κορδούβης διά τε τὴν αὐτὴν αἰτίαν, καὶ ὅτι φίλος ἐγένετο Παυλίνῳ καὶ Εὐσταθίῳ τοῖς ἡγησαμένοις τῆς Ἀντιοχείας, Μαξιμῖνον δὲ Τριβέρεως ὡς πρῶτον Παύλῳ κοινωνήσαντα,

Digitized by Google

Πρωτογένην δὲ τῆς Σαρδικῆς ὡς ὑπερμαχοῦντα Μαρκέλλου τοῦ πρότερον ὑπ' αὐτοῦ καταψηφισθέντος, Γαυδέντιον δὲ ὡς ὑπεναντία σπουδάζοντα Κυριακῷ ὃν διεδέξατο, καὶ τοὺς παρ' αὐτῶν καθηρημένους περὶ πολλοῦ ποιούμενον.

14. Οἱ δέ γε ἀμφὶ τὸν Ὅσιον συνελθόντες, ἀθῴους ἀπέφηναν Ἀθανάσιον μὲν ὡς ἀδίκως ἐπιβουλευθέντα παρὰ τῶν ἐν Τύρῳ συνελθόντων, Μάρκελλον δὲ ὅτι μὴ οὕτω λέγοντα φρονεῖν ὡς διεβάλλετο· ἐφωράθη γάρ, φησιν ὁ Θεοδώρητος, τῶν περὶ τὸν Εὐσέβιον ἡ κακοτεχνία· ὅτι ἃ ζητῶν ὁ Μάρκελλος εἶπεν, ταῦτα ὡς ὠμολογημένα διαβεβλήκασι· τούτων δ' ἐπὶ τῆς συνόδου τῆς κατὰ Σαρδικὴν ἀναγνωσθέντων, ὀρθὴ τοῦ ἀνδρὸς ἡ πίστις εὑρέθη· Σωκράτης δέ φησιν ὅτι ἀναπαλαίων ὁ Μάρκελλος τὴν κατάθεσιν, ἔπεισε τοὺς ἐν Σαρδικῇ μὴ νοῆσαι τοὺς καθελόντας αὐτὸν, ἃ γέγραφε· καὶ διὰ τοῦτο τὴν ὑπόνοιαν τοῦ Σαμοσατέως λαβεῖν· ὁ δὲ πατριάρχης Φώτιος σχόλια παραθεὶς τοῦ τε Σωκράτους καὶ τοῦ Θεοδωρίτου, φησὶν ὅτι ἐν Σαρδικῇ μᾶλλον ἠπατήθησαν· καὶ μὴ νοήσαντες ἀκριβῶς τὸ Μαρκέλλου σύγγραμμα, κακῶς αὐτὸν ἐδικαίωσαν· ὅθεν οὐδεὶς παρεδέξατο τὴν περὶ τούτου κρίσιν αὐτῶν· ἀλλ' ἔστιν ἔξω τῆς ἐκκλησίας ὁ Μάρκελλος· ἠθῴωσαν δὲ οἱ ἐν Σαρδικῇ καὶ Ἀσκληπᾶν τὸν Γάζης, ὡς Εὐσεβίου τοῦ Παμφίλου καὶ πολλῶν ἄλλων ὑπομνήματα ἐπιφερομένου δικαιοῦντα αὐτόν· ἔτι δὲ καὶ Λούκιον τὸν Ἀδριανουπόλεως, ὡς τῶν κατηγόρων αὐτοῦ φυγῇ χρησαμένων· καθεῖλον δὲ Γεώργιον τὸν Ἀλεξανδρείας, Βασίλειον Ἀγκύρας τὸν ἀντὶ Μαρκέλλου, Κεντιανὸν Γάζης τὸν ἀντὶ Ἀσκληπᾶ, Θεόδωρον Ἡρακλείας, Νάρκισσον Εἰρηνουπόλεως, Ἀκάκιον Καισαρείας τῆς Παλαιστίνης, Μηνόφαντον Ἐφέσου, Οὐρσάκιον Σιγγηδό-

Digitized by Google

νος, Οὐάλεντα Μούρσης, Γεωργίου Λαοδικείας καίτοι μὴ παρόντα ἐν τῇ συνόδῳ ταύτῃ· καὶ οὗτος κατὰ τὸν μέγαν Ἀθανάσιον καὶ τοῦ πρεσβυτερίου καθαιρεθεὶς ὑπὸ τοῦ μακαρίου Ἀλεξάνδρου δι' ἀσωτίαν· καὶ ταῦτα μὲν τοιοῦτον ἔσχε τὸν τρόπον.

15. Οἱ δὲ περὶ Ἀθανάσιον πάλιν τὴν Ῥώμην κατέσχον· καὶ ὁ τῶν ἑσπερίων βασιλεὺς Κώνστας τὰ ἐν Σαρδικῇ γενόμενα μαθὼν, ἔγραψε τῷ βασιλεῖ Κωνσταντίῳ τῆς περὶ Ἀθανάσιον ἐπεδοῦναι τὰς ἰδίας ἐκκλησίας· ὡς δ' ἀνεβάλλετο, πάλιν ἔγραψεν ἢ δέχεσθαι τούτους, ἢ πρὸς πόλεμον παρασκευάσασθαι· τῆς ἀνὰ τὴν ἕω τοίνυν ἐπισκόπους τοῦτο Κωνστάντιος κοινωσάμενος, καὶ νομίσας εὔηθες εἶναι διὰ ταύτην αἰτίαν ἐμφύλιον αἱρεῖσθαι μάχην, τρισὶ γράμμασιν Ἀθανάσιον μετεκαλέσατο καὶ τοὺς σὺν αὐτῷ· κατέλαβον οὖν τοὺς ἑαυτῶν θρόνους Παῦλος ὁ Κωνσταντινουπόλεως, Μάρκελλος ὁ Ἀγκύρας, Ἀσκληπᾶς ὁ Γάζης, καὶ Λούκιος ὁ Ἀδριανουπόλεως· Ἀθανάσιος δ' εἰς Ἀντιόχειαν τῆς Συρίας ἀφικόμενος, ἔνθα διέτριβε Κωνστάντιος, εὖνουν ἔσχεν αὐτοῦ ἐπειράθη· τῶν ἀρειανῶν δὲ ὑποθεμένων, ἔφη πρὸς αὐτὸν ὁ Κωνστάντιος· ἀξιῶ ἐκ πολλῶν τῶν ὑπὸ σὲ ἐκκλησιῶν μίαν ἔχειν ἐν Ἀλεξανδρείᾳ τοὺς κοινωνεῖν σοι παραιτουμένους· ὁ δὲ ὑπολαβών, παρακλησίαν ἔφη χάριν αἰτῶ κἀγώ, βασιλεῦ, ὥστε μίαν ἔχειν ἐκκλησίαν ἐν Ἀντιοχείᾳ τοὺς τῶν ἑτεροδοξούντων τὴν κοινωνίαν φεύγοντας· ὅπερ ἀκούσαντες οἱ ἀρειανοὶ παρὰ τοῦ βασιλέως, ἐζήτησαν πλέον οὐδέν· ἐκεῖθεν τοίνυν Ἀθανάσιος ἐξορμήσας, τὰ Ἱεροσόλυμα κατέλαβεν· ὧν ὁ ἐπίσκοπος Μάξιμος σύνοδον τοπικὴν ἐπιτελέσας, ἐκεκώνησεν αὐτῷ· καὶ οὗτος εἰς Ἀλεξάνδρειαν ἀφικόμενος Ἀθανάσιος, τοὺς τὰ Ἀρείου φρονοῦντας ἅπαντας καθεῖλεν.

Digitized by Google

16. Ἐν τούτῳ δὲ Κώνστας ὁ τῆς ἑσπέρας βασιλεύων ὑπὸ Μαγνεντίου κατὰ συσκευὴν ἀνῃρέθη, καὶ Κωνστάντιος αὐτοκράτωρ γέγενε τῆς ἀρχῆς ἁπάσης· ὃς καὶ τοῖς ἀρειανοῖς πειθόμενος, τὰ προδεδογμένα πάντα μετέστρεψεν εἰς τὸ ἐναντίον· Παῦλος τοίνυν ὁ Κωνσταντινουπόλεως εἰς Κυκουσὸν τῆς Ἀρμενίας ἐξορισθεὶς ἀνῃρέθη βρόχῳ, καὶ πάλιν τὴν ἐκκλησίαν κατέσχε Μακεδόνιος· Μαρκέλλου δ' ἐκβληθέντος, ἐγκρατὴς αὖθις ἐγένετο τῆς ἐπισκοπῆς Βασίλειος· Λούκιος δὲ σιδήρῳ δέσμιος ἐν τῇ εἱρκτῇ διεφθάρη· Ἀθανάσιος δὲ κελευσθεὶς ἀναιρεθῆναι, μόλις διέφυγεν· ἐστρατεύσας δὲ ἐπὶ τὴν Ἰλλυρίδα Κωνστάντιος κατὰ Βρεττανίωνος τυραννήσαντος, ἦκεν εἰς τὸ Σίρμιον, ἔνθα δὴ τῆς κατὰ Φωτεινοῦ συνόδου γεγονυίας, ἐν τῷ μεταξὺ καθῃρέθη παρὰ τῶν αὐτοῦ στρατηγῶν ὁ τυραννήσας Ῥώμης Μαγνέντιος, καὶ ἕτερος τύραννος ᾧ Σιλβανὸς ὄνομα· κατὰ πολλὴν τοίνυν ἄδειαν ἐπὶ τὴν πρεσβυτέραν Ῥώμην ὁ Κωνστάντιος ὁρμήσας, ἐκέλευσεν ἐν Μεδιολάνῳ γενέσθαι σύνοδον.

17. Ἐν τούτῳ, καθά φησιν Σωζόμενος, εἰς Ἀντιόχειαν συνελθόντες Νάρκισσος ὁ Εἰρηνουπόλεως, καὶ Θεόδωρος Ἡρακλείας, καὶ Εὐγένιος ὁ διάδοχος Θεόγνιδος τοῦ Νικαίας, καὶ Πατρόφιλος Σκυθοπόλεως, καὶ Μηνόφαντος ὁ Ἐφέσου, καὶ ἄλλοι ἀμφὶ τριάκοντα, ἔγραψαν τοῖς πανταχοῦ ἐπισκόποις κατὰ Ἀθανασίου· συνῆλθον δὲ εἰς τὸν Μεδιόλανον, ὀλίγοι μὲν ἐκ τῆς ἕω, τῶν ἄλλων ὡς εἰκὸς πρεφασισαμένων γῆρας ἢ νόσον ἢ ὁδοιπορίαν μακράν· ἐκ δὲ τῶν ἑσπερίων ὑπὲρ τοὺς τριακοσίους· ἀξιούντων οὖν τῶν ἀνατολικῶν κοινὴν ἐκφέρεσθαι κατὰ Ἀθανασίου ψῆφον, ἀντέστησαν τινὲς τῶν ἑσπερίων οἱ καὶ πρὸς ὑπερορίαν ἐπέμφθησαν, οἷον Λιβέριος ὁ Ῥώμης, Παυλῖνος ὁ Τριβέρεως

τῆς ἐν Γαλλίαις, Διονύσιος ὁ Ἄλβις τῆς ἐν Ἰταλίᾳ, Εὐσέβιος ὁ Βερκέλλων τῆς Λιγουρίας, Λουπέρκ ὁ Καβάλλων τῆς Σαρδανίας, καὶ Ἴλάριος ὁ Πικταβῶν ἢ Πικτάβων τῆς δευτέρας Ἀκυτανίας.

18. Ἀπράκτου δὲ τῆς συνέδου ταύτης διαλυθείσης, Εὐδόξιος ὁ Γερμανικίας τελευτήσαι μαθὼν Λεόντιον τὸν Ἀντιοχείας τῆς κατὰ Συρίαν, ἐδεήθη τοῦ βασιλέως ἐπανελθεῖν ἀπὸ Ῥώμης εἰς Γερμανικείαν, ὡς χρῄζουσης αὐτοῦ τῆς τοιαύτης πόλεως· ἐπιτραπεὶς οὖν τοῦτο, κατέλαχε τὴν Ἀντιόχειαν, καὶ σπουδῇ τῶν ἀρειανῶν, μάλιστα δὲ τῶν βασιλικῶν εὐνούχων, περιεποίησεν ἑαυτῷ τὴν ἐνθάδε ἐπισκοπήν· καὶ λαιπὸν ἐπανῄει τὸ Ἀετίου δόγμα τὸν υἱὸν ἀνόμοιον τῷ πατρὶ δοξάζειν, ἅμα τοῖς ὁμόφροσιν Ἀκακίῳ τῷ Καισαρείας, καὶ Οὐρανίῳ τῷ Τύρου· Γεώργιος δὲ ὁ Λαοδικείας ἐπέστειλε περὶ τῆς τοιαύτης Εὐδοξίου νεωτεροποιίας Βασιλείῳ τῷ Ἀγκύρας, καὶ Μακεδονίῳ τῷ Μοψουεστίας, καὶ Νεκρεπσίῳ τῷ Νικομηδείας· οἳ προσλαβόντες Εὐστάθιον τὸν Σεβαστείας, καὶ Ἐλεύσιον τὸν Κυζίκου, τῷ βασιλεῖ τὸ γεγονὸς ἐδήλωσαν, αἰτοῦντες ἐκείνην κρατεῖν τὴν πίστιν ἢ λέγειν τὸν υἱὸν εὐχ ὁμοούσιον, ἀλλ' ὅμοιον τῷ πατρὶ κατ' οὐσίαν εἴτε ἀνομοιούσιον· τοὺς δὲ λέγοντας ὁμοούσιον καθαιρεῖσθαι· δεξάμενος δὲ τὴν αἴτησιν τούτων ὁ βασιλεὺς, καὶ εὑρὼν ταύτην συνεπαινουμένην καὶ παρ' ἑτέρων ἐπισκόπων, οἷον Οὐαλέντος Μούρσης, Οὐρσακίου Σιγηδόνος, Γερμινίου Σιρμίου, Αὐξεντίου Μεδιολάνων, Δημοφίλου Βεροίας τῆς Θρᾴκης, ἔκρινεν ἐπιτελέσαι συνόδον ἐν Νικαίᾳ· παραιτησαμένων δὲ τῶν ἀμφὶ τὸν βασιλέα διὰ τὸ καὶ πάλαι ἐνθάδε τὴν περὶ τοῦ δόγματος συμβῆναι ζήτησιν, ἔδοξε ταύτην ἐν Νικομηδείᾳ γενέσθαι· σεισμοῦ δὲ

Digitized by Google

αὐτῇ ἐνσκήψαντος, πάλιν ἐκρίθη γενέσθαι τὴν σύνοδον ἐν Νικαίᾳ· μεταβουλευσάμενος δ' ὁ βασιλεὺς, ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας αὐτὴν ἠθέλησεν ἀθρεισθῆναι.

19. Λογισάμενοι δὲ οἱ περὶ Εὐδόξιον ὡς ἁπάντων ὁμοῦ τῶν ἐπισκόπων ἀθρειζομένων οὐκ ἂν αὐτοὺς δυνηθεῖεν πεῖσαι τὸ ἀνόμοιον παραδέξασθαι, μερισθείσης δὲ τῆς συνόδου ῥᾷον πείσουσι τοὺς ὀλίγους, παρεσκεύασαν συμπραττόντων αὐτοῖς τῶν εὐνούχων, δύο γενέσθαι τὰς συνόδους, τῶν μὲν ἑσπερίων ἐπισκόπων ἐν Ἀριμίνῳ τῆς Ἰταλίας, τῶν δὲ ἑώων ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας· καὶ ἵνα τὰ πολλὰ συντέμνω, τοῦ τῆς μακαρίας λήξεως Παύλου τὸν τῆς ὁμολογίας στέφανον εἰληφότος, ἀντεισάγεται Μακεδόνιος, ὡς ἄν τις εἴπῃ σκότος ἡμέρας διάδοχον· ἦν δὲ τὰ μὲν πρῶτα συμφερόμενος τοῖς περὶ Ἀκάκιον τὸν Καισαρείας τῆς Παλαιστίνης, καὶ οὔτε ὁμοιοούσιον τῷ πατρὶ ἔλεγε τὸν υἱὸν, ἀλλ' ὅμοιον· μετὰ δὲ τὸ καθαιρεθῆναι πρὸς ἐκείνων ἀποχρησαμένων τῇ κατ' αὐτοῦ ὀργῇ τοῦ βασιλέως Κωνσταντίου, οἷς τὸν νεκρὸν τοῦ πατρὸς αὐτοῦ Κωνσταντίνου τοῦ μεγάλου παρεκίνησε, καὶ τῶν ἐντεῦθεν σφαγῶν ἀνεφάνη αἴτιος, περὶ δὲ τούτων εἰπεῖν ἔφθημεν, διέτριβε μὲν εἴς τι περὶ Πύλας τῆς Βιθυνίας χωρίον, ἔνθα καὶ ἐτελεύτησε· πρὸς δὲ τοὺς τοῦ ἑτέρου μέρους ἤτοι τοὺς ἡμιαρείους, φημὶ δὲ τοὺς ἀμφὶ Γεώργιον τὸν Λαοδικείας, καὶ Βασίλειον τὸν Ἀγκύρας ἀπέκλινε, καὶ τὸν υἱὸν κατ' αὐτοὺς ἐδογμάτιζε ὁμοιούσιον.

20. Αἱρεσιάρχης δὲ φιλοτιμηθεὶς ἀναῤῥηθῆναι, καινότερόν τι προσεπενόησε, καὶ σφοδρότερον ἐλύττησε κατὰ τοῦ ἁγίου πνεύματος· τοῦτο γὰρ καὶ οἱ τὸ ὁμοιούσιον εἰσάγοντες, καὶ οἱ τὸ ὅμοιον ληροῦντες τῆς οὐσίας χωρὶς, καὶ ἁπλῶς οἱ ἀπὸ ἀρειανῶν πάντες κτίσμα μὲν ἔλεγον καὶ τοῦ

Digitized by Google

νίου καταδείστερον, ὅμως δ' οὖν τῇ ἁγίᾳ τριάδι συναριθμουν· οὗτος δὲ ὁ κατάρατος εἰς τὴν τριάδος αὐτὸ θεολογίαν συναγαλαμβάνειν ἐξέκλινεν, ἄμειρον εἶναι λέγων τῶν τοιούτων πρεσβείων, διάκενόν τε καὶ ὑπηρέτην καλῶν, καὶ ὅσα περὶ ἀγγέλων τις λέγων οὐκ ἂν ἁμάρτει· ὅθεν αὐτὸς τε καὶ ἡ αὐτοῦ συμμορία, πνευματομάχοι παρὰ τῶν ὀρθοδόξων ἐκλήθησαν· ηὔξησαν δὲ μάλιστα τὴν αἵρεσιν ταύτην Μαραθώνιος ὁ Νικομηδείας, ἀφ' οὗ καὶ μαραθωνιανοὶ πρός τινων οἱ μακεδονιανοὶ ὠνομάσθησαν, καὶ Ἐλεύσιος ὁ Κυζίκου. Ἰουλιανοῦ δὲ βασιλεύσαντος, ἀδείας τῇ Κωνσταντίου τελευτῇ λαβόμενοι οἱ πνευματομάχοι, ὧν ἦν Βασίλειος ὁ Ἀγκύρας, Σιλβανὸς ὁ Τάρσου, Εὐζάθιος ὁ Σεβαστείας, Ἐλεύσιος ὁ Κυζίκου, Παυσίνικος ὁ Ζήλων, Λεόντιος ὁ Κομάνων, Καλλίστρατος ὁ Καλλιουπόλεως, Θεόφιλος ὁ Κασταβάλων, Σωφρόνιος ὁ Πομπηϊουπόλεως, καὶ οἱ τούτων ὁμόφρονες, εἰς ἴδιον σύστημα διεκρίθησαν, καὶ μακεδονιανοὶ καλεῖσθαι φανερῶς ἤρξαντο, συνόδους τέ τινας ποιησάμενοι, τοὺς ἀμφὶ Ἀκάκιον ἀπεκήρυξαν.

21. Ἰοβιανοῦ δὲ τῆς βασιλείας ἐμβατεύσαντος, βιβλίον αὐτῷ δεήσεως ἔδωκαν, ἀξιοῦντες ἐξωθεῖσθαι τῶν ἐκκλησιῶν τοὺς τὸ ἀνόμοιον δογματίζοντας, ἀντεισάγεσθαι δὲ ἑαυτοὺς ὡς τὸ ὁμοούσιον κηρύττοντας· ὁ δὲ βασιλεὺς ἀναποκρίτους αὐτοὺς ἀπέπεμψε, μόνον τοῦτο ἐπιφθεγξάμενος, μισεῖν μὲν φιλονεικίαν, ἀγαπᾷν δὲ τοὺς τῇ ὁμονοίᾳ προστρέχοντας· τηνικαῦτα δὲ ὁ φιλόνεικος τρόπος τῶν περὶ Ἀκάκιον ἐξηλέγχετο, καὶ ὡς εἶπαν ἀεὶ πρὸς τοὺς κρατοῦντας ἀποκλίνοντες· συνελθόντες γὰρ ἐν Ἀντιοχείᾳ τῆς Συρίας, εἰς λόγους ἔρχονται Μελετίῳ πρεσβεύοντι τὸ ὁμοούσιον· τοῦτο δὲ ἐποίησαν, ἐπειδὴ τιμώμενον ὑπὸ τοῦ βασιλέως ἑώρων

Digitized by Google

ἐκεῖ τότε διάγοντος· κοινῇ οὖν γνώμῃ σύνοδον ἀθροίσαντες ἐπισκόπων ἑπτὰ καὶ εἴκοσι, βιβλίον συντάττουσι, καθομολογοῦσι τὲ τὸ ὁμοούσιον· καὶ τὴν ἐν Νικαίᾳ κυρώσαντες πίστιν, τῷ βασιλεῖ τοῦτο δεδώκασι· ἡγοῦντο δὲ τῆς συνόδου ταύτης Μελέτιος Ἀντιοχείας, Εὐσέβιος Σαμοσάτων, Ἀκάκιος Καισαρείας, Πελάγιος Λαοδικείας τῆς κατὰ Συρίαν, Ἀθανάσιος Ἀγκύρας.

22. Ἅμα δὲ τῷ βασιλεῦσαι Οὐαλεντιανὸν καὶ Οὐάλεντα, πάντες οἱ μακεδονιανοὶ προεβάλοντο ὑπὲρ ἑαυτῶν πρέσβιν πρὸς Οὐαλεντιανὸν Ὑπάτιον τὸν Περίνθου ἐπίσκοπον, ἀξιοῦντες ἐπιτραπῆναι συνελθεῖν ἐπὶ διορθώσει τοῦ δόγματος· ὁ δὲ Οὐαλεντιανὸς ἔφη· ἐμοὶ οὐ θέμις μετὰ λαοῦ τεταγμένῳ τὰ τοιαῦτα πολυπραγμονεῖν· οἱ δὲ ἱερεῖς οἷς τούτων μέλει, καθ' ἑαυτοὺς ὅπη βούλονται συνίτωσαν· εὐθὺς οὖν ἐκεῖνοι συνῆλθον εἰς Λαμψακὸν, καὶ δύο βουλευσάμενοι μῆνας, ἐψηφίσαντο ἄκυρα εἶναι τὰ ἐν Ἀντιοχείᾳ παρ' αὐτῶν πεπραγμένα, καὶ κρατεῖν τὸ ὅμοιον δοξάζειν τῷ πατρὶ τὸν υἱὸν κατ' οὐσίαν· ταῦτα ὁρίσαντες ἐπανιόντι τῷ Οὐάλεντι ἐκ τῆς Θράκης, ἦν γὰρ ἀποδημοῦντι τῷ ἀδελφῷ εἰς Ῥώμην μέχρι τινὸς συναπελθὼν, ἐν Ἡρακλείᾳ περιέτυχον· ὁ δὲ ἐπέτρεψεν αὐτοῖς μὴ διαφέρεσθαι πρὸς Εὐδόξιον· ἦν δὲ οὗτος διαδεξάμενος Μακεδόνιον καὶ σύμφρων Εὐνομίῳ καὶ τοῖς κατὰ τοῦτον· ἐπεὶ δὲ ἀντεῖπον, ἐκέλευσεν αὐτοὺς ὑπερορισθῆναι· μετέπειτα δὲ ἀγαγὼν Ἐλεύσιον ἐβιάζετο κοινωνεῖν Εὐδοξίῳ τῆς πίστεως· ὁ δὲ τὸ μὲν πρῶτον ἀντέτεινεν· εἶτα ὑπερορίας φυγὴν καὶ ζημεύσιν θειλιάσας, τὸ προσταχθὲν ἐποίει· καὶ εὐθὺς μετεμέλετο· ἐπανελθὼν γὰρ εἰς Κύζικον, τὴν ἁμαρτίαν ἐπὶ τῆς ἐκκλησίας ἐξήγγειλε, καὶ ζητεῖν ἑαυτοῖς ἕτερον ἐπίσκοπον ἐπέτρεπε, διό-

Digitized by Google

τι αὐτὸς ἀνάγκῃ τὸ οἰκεῖον ἠρνήσατο δόγμα· κυζικηνοὶ δὲ τῇ περὶ τοῦτον φιλοστοργίᾳ κρατούμενοι, τῆς μὲν οἰκείας αἱρέσεως οὐ μετετίθεντο, ἔμενον δὲ ὅμως ὑπ' αὐτῷ ταττόμενοι· ὅπερ μαθὼν Εὐδόξιος προεβάλετο Εὐνόμιον εἰς τὴν Κυζίκου ἐπισκοπήν.

23. Ἠλαύνοντο δὲ παρὰ Εὐδοξίου τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου, καὶ Οὐάλεντος τοῦ βασιλέως, οὐχ οἱ τὸν ὁμοούσιον πρεσβεύοντες μόνον, ἀλλ' ἤδη καὶ αὐτοὶ οἱ μακεδονιανοί· οἳ καὶ μὴ φέροντες τὴν ἐπήρειαν, δεῖν ἔγνωσαν καταφυγεῖν ἐπὶ τὸν τοῦ βασιλέως ἀδελφὸν, καὶ ἐπὶ Λιβέριον τὸν Ῥώμης ἐπίσκοπον, ἀσπάζεσθαι μᾶλλον ἑλόμενοι τὴν ἐκείνων πίστιν, ἢ κοινωνεῖν τοῖς περὶ Εὐδόξιον· πέμπουσιν οὖν Εὐστάθιον τὸν Σεβαστείας, καὶ Σιλβανὸν τὸν Τάρσου, καὶ Θεόφιλον τὸν Κασταβάλων τῆς Κιλικίας· οἳ καὶ πρὸς Λιβέριον παραγεγονότες, καταγινώσκουσι μὲν Ἀρείου καὶ τῶν ὁμοίως αὐτῷ φρονούντων καὶ διδασκόντων· ἀποκηρύττουσι δὲ πᾶσαν αἵρεσιν ἐναντιουμένην τῇ πίστει τῆς ἐν Νικαίᾳ συνόδου· καὶ τὸ ὁμοούσιον μόνον δέχονται, ὡς τῷ ὁμοίῳ κατ' οὐσίαν ταυτὸν σημαῖνον· ταύτην αὐτῶν τὴν ὁμολογίαν ἔγγραφον λαβὼν ὁ Λιβέριος, ἐκοινώνησεν αὐτοῖς· καὶ γράμματα παρ' αὐτοῦ λαβόντες, ἔπλευσαν εἰς Σικελίαν· συνόδου δὲ κἀκεῖ συναχθείσης, καὶ τὰ αὐτὰ ψηφισαμένων τῶν τῇδε ἐπισκόπον, ἐπανῆλθον.

24. Κατ' ἐκεῖνο δὲ καιροῦ σύνοδον ἀγόντων ἐν Τυάνοις Εὐσεβίου τοῦ Καισαρείας Καππαδοκίας, Ἀθανασίου Ἀγκύρας, Πελαγίου Λαοδικείας τῆς Συρίας, Ζήνωνος Τύρου, Παύλου Ἐμέσης, Ὀτρηΐου Μελιτηνῆς, Γρηγορίου Ναζιανζοῦ, καὶ πολλῶν ἄλλων, οἳ καὶ ἐν Ἀντιοχείᾳ τὸ ὁμοούσιον ἐψηφίσαντο ἐπὶ τῆς Ἰοβιανοῦ βασιλείας, ἀνεγνώσθη

Digitized by Google

τὰ Λιβερίου καὶ τῶν ἀνὰ τὴν δύσιν γράμματα· καὶ περιχαρεῖς ἐπὶ τούτοις γενόμενοι, ἔγραψαν πάσαις ταῖς κατὰ τὴν Ἀσίαν ἐκκλησίαις ἐντυχεῖν τοῖς τοιούτοις γράμμασι, καὶ ἔτι ἥρος ὄντος, εἰς Ταρσὸν συνελθεῖν· ἤδη δὲ συνίστασθαι μελλούσης τῆς ἐν Ταρσῷ συνόδου, τριάκοντα καὶ τέσσαρες ἀσιανοὶ ἐπίσκοποι συνελθόντες ἐν Ἀντιοχείᾳ τῆς Καρίας, τὴν μὲν ἐπὶ τῇ ὁμονοίᾳ τῶν ἐκκλησιῶν σπουδὴν ἐπῄνουν, παρῃτοῦντο δὲ τὸ τοῦ ὁμοουσίου· Οὐάλης δὲ ὁ βασιλεὺς Εὐδοξίου σπουδῇ τὴν ἐν Κιλικίᾳ προσδοκωμένην σύνοδον ἔλυσεν· οἱ δὲ μακεδονιανοὶ ἀδιάφορον ἕως τινὸς χρόνου τὴν κοινωνίαν ἐποιοῦντο ἀνὰ ἐκκλησίας τὰς ἐν ἑκάστῃ πόλει, ἀλλήλοις τε ἐπιμιγνύμενοι καὶ τοῖς ἐξ ἀρχῆς πρεσβεύουσι τὸ ὁμοούσιον.

25. Ἐπεὶ δὲ Οὐάλεντος τελευτήσαντος Γρατιανὸς ἐνομοθέτησε μετὰ ἀδείας ἑκάστους θρησκεύειν ὡς βούλονται καὶ ἐκκλησιάζειν, πλὴν μανιχαίων καὶ τῶν τὰ Φωτεινοῦ καὶ Εὐνομίου φρονούντων, πάλιν οἱ πλείους ἐδογμάτισαν ἐκτρέπεσθαι τὴν τοῦ ὁμοουσίου φωνήν· ὁ δὲ βασιλεὺς Θεοδόσιος ὁ μέγας τοῦ ὁμοουσίου σπουδαστὴς ὤν, σύνοδον ἐπισκόπων ὁμοδόξων ἑαυτῷ συνεκάλεσε, βεβαιώσεως ἕνεκα τῶν ἐν Νικαίᾳ δοξάντων· ὑπολαβὼν δὲ δύνασθαι συντάξαι τῇ καθόλου ἐκκλησίᾳ τοὺς καλουμένους μακεδονιανούς, συνεκάλεσε καὶ τούτους· συνῆλθον οὖν ἐν Κωνσταντινουπόλει ἐκ τῶν ὁμοούσιον τὴν τριάδα δοξαζόντων ἀμφὶ ἑκατὸν καὶ πεντήκοντα, ἐν οἷς ἦν Γρηγόριος ὁ Θεολόγος, ὁ Νύσσης Γρηγόριος (1), Ἀμφιλόχιός τε, καὶ ἕτεροι τῶν ἐπισήμων τότε

(1) Hac fortasse occasione S. Gregorius nyssenus scripsit illos adversus Arium Macedoniumque tractatus, quos ego ex vaticano codice edidi in collectionis vaticanae tomo VIII.

Digitized by Google

πατέρων, εἰ δὴ πάντες ἐδέοντο τῶν μακεδονιανῶν ἐκγυῆναι τὸ ὁμοούσιον, ἀναμιμνήσκοντες αὐτοὺς τῆς πρεσβείας καὶ ὁμολογίας ἣν ἔθεντο πρὸς Λιβέριον τὸν Ῥώμης διὰ Εὐσταθίου καὶ Σιλβανοῦ καὶ Θεοφίλου· εἰ δὲ μηδέποτε ὁμοούσιον τῷ πατρὶ τὸν υἱὸν ἀναφανδὸν δοξάζειν εἰπόντες, εἰ καὶ ἐναντία ταῖς πρὸς Λιβέριον ὁμολογίαις ἐρροῦσιν, ἀπηλλάγησαν· οἱ δὲ τοῦ ἑτέρου μέρους ἐπιμείναντες καὶ τὸ πνεῦμα τὸ ἅγιον κύριον καὶ ζωοποιὸν καὶ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον καὶ τῷ πατρὶ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον δογματίσαντες, ὡς καὶ ἐν τῷ θείῳ συμβόλῳ ἔγκειται, καὶ τὸν Μακεδόνιον καθυπεβαλόντες ἀναθέματι, ὡσαύτως καὶ τοὺς τὸ ὁμοιούσιον καὶ ὅμοιον ἐπὶ τοῦ υἱοῦ δοξάζοντας, καὶ μετὰ τὴν ἐν Νικαίᾳ σύνοδον, δευτέραν ταύτην εὐσεβῆ συστησάμενοι, ἀλλὰ καὶ κανόνας ἐνθέμενοι περὶ διαφόρων ἐκκλησιαστικῶν ζητημάτων, ἐβουλεύσαντο τινί δεῖ τὴν ἐπισκοπὴν Κωνσταντινουπόλεως ἐπιτρέψαι· ὁ μὲν βασιλεὺς θαυμάζων τὸν Γρηγόριον τὸν θεολόγον, τῆς ἐπισκοπῆς ἄξιον ἐψηφίζετο ταύτης· συνήνουν δὲ καὶ τῆς συνόδου οἱ πλείονες· ἀλλ' αὐτὸς αἰσθόμενος τινὰς ἀνταίρειν καὶ μάλιστα τοὺς ἀπ' Αἰγύπτου, παρητήσατο μετὰ καιρόν· Διοδώρου τοίνυν μαρτυρίᾳ, Νεκτάριος συγκλητικὸς ὁ ταρσεὺς ἀμύητος ὢν ψηφίζεται καὶ μυεῖται, καὶ τὴν μυστικὴν ἔτι ἑσθῆτα ἠμφιεσμένος χειροτονεῖται Κωνσταντινουπόλεως ἐπίσκοπος.

26. Μετὰ δὲ ταῦτα συνελθόντες Νεκτάριος καὶ οἱ ἄλλοι, τὴν ἐν Νικαίᾳ πίστιν ἐκύρωσαν, καὶ πᾶσαν αἵρεσιν ἀπεκήρυξαν, καὶ διοικεῖσθαι τὰς πανταχοῦ διέταξαν ἐκκλησίας κατὰ τοὺς πάλαι κανόνας, καὶ τοὺς ἐπισκόπους ἐπὶ τῶν ἰδίων μένειν ἐκκλησιῶν, καὶ μὴ ταῖς ὑπερορίοις προβαίνειν, μήτε ἀκλήτους χειροτονίαις ἀλλοτρίαις ἑαυτοὺς

Digitized by Google

ἐπιβάλλειν, καθὰ πρότερον, ὡς ἔτυχε πολλάκις καὶ συνέβη, διωκομένης τῆς καθόλου ἐκκλησίας· τὰ δὲ παρ' ἑκάστην συμβαίνοντα τὴν τοῦ ἔθνους σύνοδον, ὡς ἂν ἄριστα φανείη, διοικεῖν· μετὰ δὲ τὸν Ῥώμης, τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον τὰ πρεσβεῖα ἔχειν, ὡς τὸν θρόνον ἐπισκοπεύοντα τῆς νέας Ῥώμης· ἐβεβαίωσάν τε αὖθις τὴν ἐν Νικαίᾳ πίστιν, καὶ πατριάρχας κατέστησαν διανειμάμενοι τὰς ἐπαρχίας· ὥστε τοὺς ὑπὲρ διοίκησιν ἐπισκόπους ταῖς ὑπερορίοις ἐκκλησίαις μὴ προβαίνειν· κληροῦται δὲ τὴν μὲν βασιλίδα πόλιν καὶ τὴν Θράκην Νεκτάριος· τὴν δὲ τῆς ποντικῆς διοικήσεως πατριαρχείαν Ἑλλάδιος ὁ Καισαρείας, καὶ Γρηγόριος ὁ Νύσσης, καὶ Ὀτρήϊος ὁ Μελιτηνῆς· τὴν ἀσιανὴν δὲ λαγχάνουσιν Ἀμφιλόχιος ὁ Ἰκονίου, καὶ Ὄπτιμος ὁ Ἀντιοχείας τῆς κατὰ Πισιδίαν· τὰ δὲ κατὰ τὴν Αἴγυπτον Τιμοθέῳ τῷ Ἀλεξανδρείας προσενεμήθη· τῶν δὲ κατὰ τὴν ἀνατολὴν ἐκκλησιῶν διοίκησιν ἐπέτρεψαν Πελαγίῳ τῷ Λαοδικείας, καὶ Διοδώρῳ τῷ Ταρσοῦ, φυλάξαντες τὰ πρεσβεῖα τῆς ἐκκλησίας τῶν Ἀντιοχέων, ἅπερ ἔδοσαν τῷ Μελετίῳ παρόντι· ὥρισε δὲ ὥστε εἰ χρεία καλέσοι τὰ καθ' ἑκάστην ἐπαρχίαν, τὴν τῆς ἐπαρχίας σύνοδον διοικεῖν· ἐζητήθη δὲ καὶ τὰ κατὰ Μάξιμον, ὃν ἀλεξανδρέα τὸ γένος ὄντα, κυνικόν τε φιλόσοφον τὸ ἐπιτήδευμα, σπουδαῖον δὲ περὶ τὸ δόγμα τῆς ἐν Νικαίᾳ συνόδου, κλέψαντες τὴν χειροτονίαν οἱ τότε ἐξ Αἰγύπτου συνελθόντες, ἐπίσκοπον Κωνσταντινουπόλεως κατέστησαν, ἔτι Γρηγορίου τοῦ Θεολόγου τὸν θρόνον τοῦτον διέποντος· καὶ ὡρίσθη μὴ γεγενῆσθαι τοῦτον μήτε εἶναι ἐπίσκοπον μήτε κληρικοὺς τοὺς παρ' αὐτοῦ χειροτονηθέντας, ἀλλὰ μένειν ἄκυρα τὰ ἐπ' αὐτῷ καὶ παρ' αὐτοῦ πεπραγμένα.

Digitized by Google

II. ΠΕΡΙ ΝΕΣΤΟΡΙΟΥ.

1. Νεστόριος ὥρμητο μὲν ἐκ Γερμανικέων πολίχνης, οὐκ οἶδα ποταπῆς τὸ ἐξ ἀρχῆς ἐκτεθραμμένος ἐπιτηδεύμασιν· ἄλλην δὲ ἐξ ἄλλης ἀμείβων χώραν, καθάπερ αἰγυπτιακή τις μάστιξ τῇ μεγάλῃ τῶν Ἀντιοχέων ἐνέσκηψε πόλει· ἐν ταύτῃ λόγων ἐλευθερίων μετρίως μετεσχηκώς, φωνήν τε ὅ τι καλλίστην καὶ μεγίστην ἀσκήσας, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ προσιὼν εἰσεφθάρη, καὶ τῷ καταλόγῳ τῶν πρεσβυτέρων ἐναρίθμιος γεγονὼς, τόν τε τοῦ Θεοῦ λαὸν διδάσκειν πεπιστευμένος, ἔδειξεν εὐθὺς ἐν προοιμίοις οἷος παρὰ πάντα τὸν βίον γενήσεται· οὐ γὰρ τὸν εὐγενῆ καὶ γόνιμον, καὶ γεωργῆσαι ψυχὰς ἀνθρώπων δυνάμενον ἐζήλωσε χαρακτῆρα τῶν λόγων, ἀλλὰ πρὸς τὸ δημοτερπὲς ἀποκλίνας, καὶ τῶν εἰς ἀέρα λυομένων κρότων θηρευτὴς εἰ καί τις ἄλλος γενόμενος, τὸ συρφετῶδες καὶ ἀζήμιον πλῆθος πρὸς τὸν οἰκεῖον ἐξεκαλέσατο πόθον, φαιὸν περιβεβλημένος ἱμάτιον, ἑστυγνακὼς βαδίζων, τοὺς ἀγοραίους ἐκκλίνων θορύβους, ὠχρότητι σώματος τὸ δοκεῖν ἐγκρατευτὴς εἶναι θηρώμενος, εἴκοι τὰ πολλὰ βιβλίοις προσανέχων, καὶ καθ' ἡσυχίαν ἑαυτῷ συγγινόμενος, τοιούτοις σχήμασι καὶ πλάσμασι τοὺς πολλοὺς θηλεάζων, μέχρι πόρρω προῆλθε τῆς ἡλικίας, τὸ δοκεῖν χριστιανὸς εἶναι, πρὸ τοῦ εἶναι διώκων, καὶ τῆς τοῦ Χριστοῦ δόξης τὴν ἑαυτοῦ προτιμῶν.

2. Ἐπεὶ δὲ, κατὰ τὸ εἰρημένον τῷ δεσπότῃ, οὐδὲν κρυπτὸν ὃ οὐ γνωσθήσεται, οὐδὲ ἀπόκρυφον ὃ οὐ μὴ εἰς φανερὸν ἔλθῃ, καὶ τὰ καλὰ ἔργα πρόδηλα ἐστὶ, καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ δύναται, κατὰ τὴν ἀνεξιχνία-

Digitized by Google

στον τῶν τοῦ Θεοῦ κριμάτων ἄβυσσον, καὶ Νεστόριος ψήφῳ τῶν περὶ τὰ βασίλεια καὶ τοὺς θρόνους, καὶ αὐτοῦ τηνικαῦτα τῆς οἰκουμένης τὰ σκῆπτρα διέποντος, τῆς κατὰ Κωνσταντινούπολιν τῶν ὀρθοδόξων καθολικῆς ἐκκλησίας τὴν προστασίαν πιστεύεται, οὐδὲν δὲ ἧττον καὶ τῆς οἰκουμένης ἁπάσης *· ὡς δὲ τὸν μέγιστον ἐκεῖνον κατέλαβε θρόνον, καθάπέρ τινα τυραννίδα τῆς ἀρχιερωσύνης τὴν προστασίαν ἁρπάσας, οὐκέτι κατέχειν ἐν ἑαυτῷ τὴν ὠδῖνα τῆς ἀσεβείας οἷός τ' ἦν, ἀλλ' ἀπὸ τῆς ἐξουσίας προσλαβὼν ἀμαθῆ παῤῥησίαν, εἰς μέσον ἄγει καὶ προτίθησιν ἅπασιν, ἣν πάλαι συνέλαβε κατὰ τοῦ μονογενοῦς βλασφημίαν, καὶ πόλεμον ἄντικρυς κατὰ τῶν ἀποστολικῶν αἱρεῖται δογμάτων· καὶ τῶν ἁγίων πατέρων, ἀφ' οὗ κατηγγέλη τὸ εὐαγγέλιον τῆς τῶν ὀρθοδόξων καθηγησαμένων πίστεως, ἐκβάλλειν πειρᾶται τοὺς λόγους, ταράττων μὲν τῆς βασιλίδος πόλεως τὴν ἐκκλησίαν, ταράττων δὲ καὶ τὴν οἰκουμένην ἅπασαν· οὐδὲ τοῦ θεσπεσίου Παύλου κεκραγότος ἐπιστρεφόμενος, ὁ δὲ ταράσσων ὑμᾶς, βαστάσει τὸ κρίμα ὅστις ἂν ᾖ· ἀλλ' ἐπὶ τὴν λυχνίαν τοῦ θείου τῶν ἀρχιερέων βήματος οὐ τὸν λύχνον τῆς ἀληθείας, ἀλλὰ ζόφον τίθησι τῆς ἀσεβείας.

* iactantia contra fas.

3. Γίνεται δὲ αὐτῷ πρῶτον τῆς καινοτομίας ἐγχείρημα, τὸ μὴ δεῖν τὴν ἁγίαν παρθένον τὴν τοῦ θεοῦ λόγου κατὰ σάρκα μητέρα, θεοτόκον ὁμολογεῖν, χριστοτόκον δὲ μόνον, τῶν πάλαι καὶ τῶν πρὸ πάλαι τῆς ἐκκλησίας κηρύκων, κατὰ τὴν ἀποστολικὴν παράδοσιν, θεοτόκον δοξαζόντων ὀνομάζειν καὶ πιστεύειν τὴν τοῦ κυρίου μητέρα· φέρε μοι λοιπὸν καὶ τὴν βλάσφημον τεχνολογίαν παρατήρησον, οὐδενὶ πρότερον ἐγνωσμένην· ἡ τοῦ Χριστοῦ προσηγορία, φησὶ, τῶν δύο φύσεων σημαντικὴ, τῆς τε θεότητος τοῦ

Digitized by Google

μονογενοῦς καὶ τῆς ἀνθρωπότητος· ἡ δὲ τοῦ θεοῦ ἀπολύτως λεγομένη φωνὴ τὴν ἁπλῆν καὶ ἀσώματον τοῦ θεοῦ λόγου παρίστησιν οὐσίαν· ἡ δὲ τοῦ, ἄνθρωπος, μόνην τὴν ἀνθρωπείαν ὑποδείκνυσι φύσιν· διὰ τοῦτο χριστοτόκον φησὶν, ἀλλ' οὐ θεοτόκον τὴν παρθένον ὁμολογεῖν ἀναγκαῖον, μήποτε λάθωμεν ἀρχὴν τοῦ εἶναι λέγοντες τὸν θεὸν λόγον ἐκ τῆς ἁγίας εἰληφότα παρθένου· καὶ οὕτως προγενεστέραν τὴν μητέρα τοῦ γεννηθέντος ἐξ αὐτῆς, κατὰ τὸ ἀκόλουθον, ὁμολογεῖν βιασθῶμεν.

4. Ἵνα δὲ μὴ δόξωμεν λοιδορίαις κεναῖς ταῦτα τοῦ ἀνδρὸς κατηγορεῖν, αὐτὸν ἐκεῖνον οἷς εἶπε τῆς οἰκείας δυσσεβείας πεισόμεθα μάρτυρα· τῶν γὰρ ἀποστολικῶν διδαγμάτων καὶ παντὸς ἁγίου μνήμην τῆς ἑαυτοῦ διανοίας ὑπερορίσας, ἐν τῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ πολλὰς τοιαύτας ἐξεβόησε φωνάς· οὐκ ἔτεκεν, ὦ βέλτιστε, Μαρία θεὸν, ἀλλ' ἔτεκεν ἄνθρωπον θεότητος ὄργανον· καὶ ἐν ἑτέροις πάλιν φληναφεῖς ἀνέγκλητον μητέρα ἑλλήνων θεοῖς ἐπεισάγων· ἰουδαϊκὸν γὰρ ἀναδεξάμενος φρόνημα, οὐ τὸν λόγον σάρκα ἀτρέπτως γεγενῆσθαι ἔλεγεν, ἀλλ' εἴς τινα ἄνθρωπον ἐνοικῆσαι, ὡς εἰς ἕνα τῶν προφητῶν, καὶ ἰδιοποιεῖσθαι τοῦτον ἐξαιρέτῳ ἀγαπήσει· καὶ εἶναι μὲν ἄλλον υἱὸν, ἄλλον δὲ λέγεσθαι μὲν, μὴ εἶναι δὲ γνήσιον, θετὸν δὲ υἱὸν τὸν λεγόμενον Ἰησοῦν Χριστὸν· ἐντεῦθεν δύο υἱοὺς, καὶ μὴ ἕνα, λέγεσθαι εἶναι· ὅθεν τῆς ἀρχιερωσύνης ἐκβάλλεται ψήφῳ [συνοδικῇ] καὶ βασιλικῷ νεύματι· καὶ τὴν Ὄασιν καταδικασθεὶς εἰκεῖν, τῆς μελλούσης τῶν ἀσεβῶν κολάσεως ἐδέξατο τὰ προοίμια, παρανάλωμα τῆς οἰκείας φρενοβλαβείας γενόμενος, καὶ ἐφ' ἑαυτῷ πληρώσας τὸ ἀποστολικὸν ἐκεῖνο λόγιον, ὅτι τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοι εἰσὶ,

Digitized by Google

προάγουσαι εἰς κρίσιν· ἐξέγειρε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ τὸ πνεῦμα Κυρίλλου πατριάρχου Ἀλεξανδρείας, καὶ γράφει πρὸς αὐτὸν Νεςόριον, εἰς τὴν ὀρθόδοξον ἐμβιβάζων πίςιν, καὶ Θεοτόκον τὴν ἁγίαν Μαρίαν παρακαλῶν ὀνομάζειν τε καὶ φρονεῖν· ὡς δὲ οὐκ ἐνεδίδου, ἕτερα πάλιν ἔπεμψε γράμματα· ἀντιλέγοντος δὲ αὐτοῦ, καὶ πρὸς ταῦτα σύνοδος ἐν Ἐφέσῳ συγκροτεῖται, καὶ παραπέμπεται ἐκεῖσε Νεστόριος παρὰ τοῦ ἐπάρχου τῆς πόλεως καὶ ἑτέρων πολλῶν.

5. Θεοδόσιος δὲ ὁ νέος τὰς ἡνίας τότε τῆς βασιλείας ἐνεχείριστο· καὶ προήδρευεν ἐν ταύτῃ τῇ τρίτῃ συνόδῳ Κύριλλος Ἀλεξανδρείας, Κελεστῖνος Ῥώμης *, Ἰουβεναλίος Ἱεροσολύμων, Ἀνάκιος Μελιτηνῆς· καὶ καθαιρεῖται μὲν Νεστόριος, κυροῦνται δὲ καὶ αἱ προγενέστεραι δύο σύνοδοι, τέλειόν τε αὐτὸν καὶ ἕνα υἱὸν ἐν Θεότητι, καὶ τέλειον ἐν ἀνθρωπότητι ὁμολογοῦσι, καὶ ἕνα καὶ οὐ δύο υἱούς, ὡς φηλαῖ ὁ παρ' αὐτῶν ἐκφωνηθεὶς ὅρος· καὶ οὕτως ἡ σύνοδος ἀπολύεται· Ἰωάννου δὲ τοῦ τῆς Ἀντιοχείας, καὶ Θεοδωρίτου Κύρου ἀνθισταμένων τῷ μακαρίῳ Κυρίλλῳ, κατὰ πρόφασιν τοῦ δοκεῖν χωρὶς αὐτῶν ἐκφωνηθῆναι τὸν ὅρον, καί τοι γε τοῦ μεγάλου Κυρίλλου ἐπὶ πολλὰς ἡμέρας ἐκδεξαμένου αὐτούς, τῇ δὲ ἀληθείᾳ ἐριστικῶς πρὸς αὐτὸν καὶ οὐκ ὀρθῶς διακειμένων, μετέβαινον καὶ αὐτοὶ ἀσύμφωνοι πρὸς τὰ ἴδια, πολλὰ μεταξὺ θορυβήσαντες· ὡς καὶ Θεοδώριτον κατὰ τῶν δώδεκα κεφαλαίων Κυρίλλου ἕτερα δώδεκα συντάξαι κεφάλαια· καὶ πάλιν αὐτὸν Κύριλλον πρὸς ταῦτα ἀπολογήσασθαι, καὶ δεόντως τὰ ἴδια συςῆσαι κεφάλαια· Θεοδοσίου δὲ βασιλέως ταῦτα ἐπεγνωκότος καὶ κινηθέντος, καὶ καθ' ἑκατέρων μὲν, μάλιςα δὲ κατὰ Κυρίλλου τοῦ ἐν ἁγίοις, πέμπεται ἐνταῦθα Ἀνάκιος ὁ Μελιτηνῆς ἀνὴρ θεοσεβὴς καὶ

* perversus ordo.

Digitized by Google

λόγιος, εἰς ἄκρον ἑλληλακὼς εὐλαβείας, καὶ τὰ τῆς συνόδου ἐμφανίζει τῷ βασιλεῖ, καὶ τὸν τούτου καταστέλλει θυμὸν· καὶ τὰ ἐκφωνηθέντα τὸ κῦρος λαμβάνουσι· καὶ Κύριλλος εἰς τὴν ἰδίαν ἀπαίρει πόλιν· καὶ ἕνωσιν οἱ διεξῶτες δέχονται (1).

(1) S. Cyrilli ineditas auctoritates, quotquot sunt in Nicetae thesauro, alibi nos recitabimus cum aliis adhuc incognitis eiusdem S. Patris scriptis. Sed quia in hoc volumine non exiguam philostorgianae historiae partem, S. Artemii passioni insertam, feliciter edidimus, placet aliud quoque Philostorgii fragmentum graece hic collocare, quod Morellius in quinto Nicetae libro fol. 309. latine tantummodo posuit, graece autem nonnisi carptim apud Suidam voc. Ἀπολιναρίος, et in excerptis photianis libri octavi legitur. Sic igitur se habet Philostorgii locus a Niceta nobis exhibitus in cod. vat. pag. 133. b.

Ὁ δυσσεβέστατος Φιλοστόργιος ἐν τῷ ὀγδόῳ τῆς ἱστορίας λόγῳ τὸν δυσσεβέστατον τοῦτον Εὐνόμιον ἐπαινῶν φησιν, ὡς ὁ Ἀπολινάριος τὸ ὑπομνηματικὸν εἶδος τῆς λέξεως ἄριστα εἶχε· Βασίλειος δὲ πανηγυρίσαι μόνον λαμπρότατος ἦν· τῷ δὲ Γρηγορίῳ ἑκάτερα παρ' ἀμφοτέρους ἐξεταζομένῳ μείζω βάσιν εἰς συγγραφὴν εἶχεν ὁ λόγος· καὶ ἦν εἰπεῖν Ἀπολιναρίου μὲν ἁδρότερος, Βασιλείου δὲ σταθηρότερος· ὁ μὲν οὖν Ἀπολινάριος καὶ ὁ Βασίλειος κατὰ τῆς ἀπολογίας ἧς Εὐνόμιος ἐξήνεγκεν, ἐγραψάτην· τοῦ δὲ Γρηγορίου (καὶ τοῦτό τις εἰς συνέσεως ἀπόδειξιν οὐχ ἥκιστα λάβοι) διαγνόντος ὁπόσον αὐτῷ πρὸς ἐκεῖνον ἦν τὸ τῆς δυνάμεως μέσον, καὶ τὴν ἡσυχίαν ἀσπασαμένου, μόνον δὲ τινὰ τῶν Εὐνομίου κεφαλαίων ἐν τῷ περὶ υἱοῦ λόγῳ ἀνατρέψαντος, ὡς ἐν εἴδει τοῦ πρὸς Ἀνομοίους ἀντερρήσεως· ὁ δὲ Εὐνόμιος Ἀπολινάριον μὲν οὐδὲ ἀντιρρήσεως ἠξίωσε· καὶ γὰρ ἦν τῷ ὄντι πλαδαρὸς εἰς ταῦτα ἀπήντησε καὶ ἀσυστρεφὴς· Βασιλείῳ δὲ ἀντεῖπεν ἐν πέντε λόγοις, ὧν τοὺς προεκδοθέντας δεξάμενος Βασίλειος, ὑπὸ τῆς δυσθυμίας τὸν βίον ἀπέλιπε.

Digitized by Google

III. ΠΕΡΙ ΕΥΤΥΧΟΥΣ.

1. Ἐν τῷ χρόνῳ τῆς βασιλείας Θεοδοσίου τοῦ νέου ἦν τις κατὰ τὴν βασιλίδα πόλιν ἀρχιμανδρίτης, ἐνομαζόμενος μὲν Εὐτυχὴς, ἡγούμενος δὲ μοναστηρίου, ὃ πρώην μὲν ὑπὸ τὸν ὅρον τοῦ ἑβδόμου ἦν, καὶ τῆς Κωνσταντινουπόλεως ἔξω διέκειτο, καὶ τοῦ Ἰωβ ἐπελέγετο, νῦν δὲ ἐντὸς αὐτῆς ὁρᾶται, καὶ τῷ τοῦ ἁγίου Μωκίου νεῷ συνομορεῖ· καὶ τιμῶνται ἐν αὐτῷ Φαῦστος καὶ Δαλμάτιος σὺν Ἰσαακίῳ, ὡς δεξαμένης ἐς ὕστερον πλατυσμὸν τῆς Κωνσταντινουπόλεως παρὰ τοῦ αὐτοῦ Θεοδοσίου, ὑφ' οὗ καὶ τὰ χερσαῖα τείχη τῆς αὐτῆς φασὶν πόλεως δι' ἡμερῶν ἀνεγερθῆναι ἐξήκοντα· εἰ δὲ καὶ ἀληθὴς ὁ λόγος οὗτος, ἀκριβῶς οὐκ ἴσημι· οὗτος οὖν ὁ δείλαιος Εὐτυχὴς βλασφημῶν ἔλεγεν εἰδέναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ δύο μὲν φύσεων πρὸ τῆς ἑνώσεως, μιᾶς δὲ μετὰ τὴν ἕνωσιν· καὶ τὴν μὲν ἁγίαν Θεοτόκον ὁμοούσιον ἡμῖν ὑπάρχουσαν, τὸν δὲ ἐξ αὐτῆς σαρκωθέντα Θεὸν λόγον οὐχ ὁμοούσιον ἡμῖν· σῶμα γάρ φησι λέγω τὸ τοῦ Χριστοῦ σῶμα, εἰκότι δὲ καὶ σῶμα ἀνθρώπου· τούτῳ φίλος καὶ γνώριμος ὢν Εὐσέβιος ὁ Δορυλαίου ἐπίσκοπος, πολλάκις παρήνεσε μὴ τοιαῦτα λέγειν ἀλλότρια τῆς ὀρθῆς δόγματα πίστεως· ὁρῶν δὲ ἀμεταθέτως ἔχοντα, Φλαβιανῷ πρεσβύτερος τῷ τηνικαῦτα πατριάρχῃ Κωνσταντινουπόλεως.

2. Οὗ μεταπεμψαμένου τὸν Εὐτυχέα, καὶ μετὰ τῆς ἐνδημούσης τῶν ἐπισκόπων συνόδου τὸ πρᾶγμα ξητήσαντος, ἰδὼν Εὐτυχὴς κατακρινόμενον ἑαυτὸν, Νόμον τινὰ καλούμενον καὶ ὕπατον ὄντα κατ' ἐκεῖνο καιροῦ, πρὸς δὲ καὶ

Digitized by Google

Χρυσάφιον κουβικουλάριον τὸν ἐπίκλην Τζεύμβαν ὡς ὀμόφρονας, ἔπεισε τῷ βασιλεῖ γνωρίσαι τα κατ' αὐτὸν, ἀδικεῖσθαι παρὰ τοῦ πατριάρχου λέγοντας ἄνδρα θεοσεβῆ καὶ δίκαιον· οὗ γεγονότος, ἐπετράπη Φλωρέντιος πατρίκιος ἀπὸ ὑπάτων τὲ καὶ ἐπάρχων, συνεδρεῦσαι τῇ κατὰ Φλαβιανὸν συνόδῳ, καὶ μὴ περιϊδεῖν ἀδικούμενον Εὐτυχέα· ζητήσεως τοιγαροῦν προβάσης δευτέρας, μᾶλλον ἢ πρότερον Εὐτυχὴς ἠλέγχθη κακοδοξῶν, καὶ αὐτὸν Φλωρέντιον ἐσχηκὼς καταψηφιζόμενον, ἐξέπεσε τῆς ἱερωσύνης· ἀλλ' οἱ περὶ τὸν Νόμον καὶ τὸν Χρυσάφιον ἀπεχρησάμενοι τῇ τοῦ βασιλέως κουφότητι, κελεῦσαι παρεσκεύασαν αὐτὸν ἐν Ἐφέσῳ γενέσθαι σύνοδον, καὶ κριθῆναι τὸν ἁγιώτατον Φλαβιανὸν μετ' Εὐτυχοῦς τοῦ καθηρημένου, δικάζοντος Διοσκόρου τοῦ Ἀλεξανδρείας ὁμοδόξου τῷ Εὐτυχεῖ, παρόντος δὲ καὶ Βαρσουμᾶ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου τινὸς τῶν κατὰ τὴν ἕω μοναστηρίου, ὀρθοδόξου μὲν ὑπονοουμένου καὶ ἀνεπιπλήπτου τὸν βίον, ἄλλου δὲ τὴν αἵρεσιν Εὐτυχοῦς ὑπάρχοντος· προεδρεύοντας μὲν εἶναι τῆς συνόδου Διόσκορον τὸν Ἀλεξανδρείας, Ἰουβεναλίου τὸν Ἱεροσολύμων, Θαλάσσιον τὸν Καισαρείας, Εὐσέβιον τὸν Ἀγκύρας τῆς Γαλατίας, Βασίλειον τὸν Σελευκείας τῆς Ἰσαυρίας, Εὐσάθιον τὸν Βηρυτοῦ· τὴν δὲ πᾶσαν αὐθεντίαν καὶ κυριότητα τὸν Διόσκορον ἔχειν· παρεῖναι δὲ καὶ Φλαβιανὸν τὸν Κωνσταντινουπόλεως, καὶ Εὐσέβιον τὸν Δορυλαίου, ἡσυχάζειν μέν τα καὶ λέγειν μηδὲν, ὡς μὴ δικαστῶν ἐπέχοντας τάξιν, ἀλλὰ τὴν τῶν ἄλλων ἐκδεχομένους ψῆφον, ἐπειδὴ τὰ παρ' αὐτῶν φησι κεκριμένα νῦν δοκιμάζεται.

3. Τῆς συνόδου τοίνυν ἀθροισθείσης, εἰσῆλθε Φλαβιανὸς ὡς κατάκριτος, καὶ ἐκαθέσθη πέμπτος· οἱ δὲ το-

Digitized by Google

ποτηρηταὶ Λέοντος τοῦ ἁγιωτάτου πάπα Ῥώμης, Ἰούλιος ἐπίσκοπος καὶ Ἱλάριος διάκονος, ἐπιστελὴν αὐτοῦ δογματικὴν τῇ συνόδῳ πεμφθεῖσαν προφέροντες, ἠξίουν ἀναγνωσθῆναι ταύτην· ἀλλ' οἱ περὶ Διόσκορον οὐ συνεχώρησαν· Εὐτυχοῦς δ' εἰσαχθέντος, ὁ Διόσκορος ἤρετο τοῦτον εἰ συντίθεται τῇ ἐν Νικαίᾳ συνόδῳ καὶ τῇ ἐν Ἐφέσῳ σὺν ταύτῃ· τοῦ δὲ εἰπόντος συντίθεσθαι, περὶ τῆς αἱρέσεως οὐδὲν ἐπολυπραγμόνησεν πλέον, ἀλλὰ διελάλησεν οὕτως· ἐπειδὴ Εὐτυχὴς ἀκολουθεῖν φησι τοῖς ἐν Νικαίᾳ καὶ τῇ ἐν Ἐφέσῳ συνόδῳ, ὀρθόδοξον αὐτὸν ἡγούμεθα, καὶ τῆς ἱερωσύνης ἄξιον καὶ τῆς ἀρχῆς καὶ τοῦ ἰδίου μοναστηρίου· ταῦτα διαλαλήσας παρεσκεύασεν ὑπογράψαι τῇ Εὐτυχοῦς ἀθωώσει πάντας καὶ αὐτὸν Βαρσουμᾶν· εἶτα πάλιν ἐξεφώνησεν· ἐπειδὴ ἥ τε ἐν Νικαίᾳ σύνοδος καὶ ἡ ἐνταῦθα πρώτη ἐτύπωσαν μηδενὶ ἐξεῖναι πίστιν ἑτέραν ἐκτίθεσθαι, ἢ ζητεῖν, ἢ καινουργεῖν τί, ἢ ὅλως ἀνακινεῖν περὶ τῆς εὐαγοῦς ἡμῶν θρησκείας, φαίνονται δὲ Φλαβιανὸς ὁ Κωνσταντινουπόλεως, καὶ Εὐσέβιος ὁ Δορυλαίου σκανδάλου καὶ ταραχῆς γεγονότες πρόφασις ταῖς ἐκκλησίαις, ἀλλοτρίους αὐτοὺς παντὸς ἱερατικοῦ καὶ ἐπισκοπικοῦ ἀξιώματος κεκρίκαμεν εἶναι· ταῦτα ἐκφωνήσας, ἠνάγκασε τοὺς ἐπισκόπους εἰς ἄγραφον ὑπογράψαι χάρτην· καὶ ὕστερον εἶαν ἐβούλετο καθαίρεσιν Φλαβιανοῦ καὶ Εὐσεβίου γράψας, ὑπέγραψεν αὐτήν τε καὶ Βαρσουμᾶς· Φλαβιανοῦ δὲ εἰπόντος πρὸς Διόσκορον ὅτι παραιτοῦμαί σε, λαξ ἐκεῖνος ἐνέτεινε κατ' αὐτοῦ, καιρίαν τὲ παίσας, ἀρχὴν τῷ θανάτῳ παρέσχηκεν· ἕτεροι δέ φασιν, ὅτι Βαρσουμᾶς αὐτὸν παρειληφὼς ἐπὶ τῷ ὑπερορίσαι πρὸς τὰ τῆς ἕω μέρη, κατὰ τὴν ὁδὸν ἀποσφαγῆναι παρεσκεύασε· καθεῖλε δὲ Διόσκορος καὶ Θεοδώριτον Κύρου, καὶ Ἴβαν

Digitized by Google

τῆς Ἐδέσσης, καὶ Δόμνον τῆς Ἀντιοχείας, καὶ ἑτέρους τῶν ἀνατολικῶν, πάντας ἀπόντας· ἐχειροτόνησε δὲ ἀντὶ Δόμνου Μάξιμον· Εὐσέβιος δὲ ὁ Δορυλαίου διαφυγὼν ἐκεῖθεν, εἰς Ῥώμην ἦκε πρὸς Λέοντα τὸν μέγαν ἐν τοῖς μέρεσι τῆς Ἰταλίας.

4. Ἀλλ' ἐν τοσούτῳ λιπόντος Θεοδοσίου τὸν βίον, Μαρκιανός τε καὶ Πουλχερία πρὸς Λέοντα τὸν ἱερώτατον ἔγραψαν· καὶ ἤρεσεν ἀθροισθῆναι τὴν σύνοδον ἐν Κωνσταντινουπόλει· τοίνυν καὶ συνῆλθον ἐν τῷ κατὰ τὴν Χαλκηδόνα σεπτῷ ναῷ τῆς ἁγίας μάρτυρος Εὐφημίας, ἐκ μὲν τῶν ἐνδοξοτάτων ἀρχόντων Ἀνατόλιος πατρίκιος ἀπὸ ὑπάτων καὶ στρατηλάτης, Παλλάδιος ἔπαρχος πραιτωρίων, Τατιανὸς ἔπαρχος πόλεως, Βιγκόμαλλος μάγιστρος τῶν θείων ὀφφικίων, Μαρτιάλιος μάγιστρος, Σπεράδιος κόμης τῶν δομεστίκων, καὶ Γενέθλιος κόμης πριβάτων· ἐκ δὲ τῶν ἐνδόξων συγκλητικῶν Φλωρέντιος πατρίκιος ἀπὸ ἐπάρχων καὶ ὑπάτων, Σενάτωρ ἀπὸ ὑπάτων καὶ πατρικίων, Πρωτογένης ἀπὸ ἐπάρχων πόλεως, Ἀπολλώνιος ἀπὸ ἐπάρχων, Ῥωμανὸς ἀπὸ πραιποσίτων, καὶ Ὠλύγιος ἀπὸ ἐπάρχων Ἰλλυρικοῦ· τούτων σὺν τῶν ἀρχόντων καὶ τῶν συγκλητικῶν καθεσθέντων ἐν τῷ μέσῳ πρὸ τῶν καγκέλλων τοῦ ἁγίου θυσιαστηρίου, ἐκ μὲν τοῦ εὐωνύμου μέρους ἐκάθισαν οἱ τοτοτηρηταὶ τοῦ Ῥώμης, καὶ Ἀνατόλιος ὁ Κωνσταντινουπόλεως, καὶ Μάξιμος ὁ Ἀντιοχείας, καὶ Θαλάσσιος ὁ Καισαρείας, καὶ Στέφανος ὁ Ἐφέσου, καὶ οἱ λοιποὶ τῆς ἀνατολικῆς καὶ ποντικῆς καὶ ἀσιανῆς καὶ θρακικῆς διοικήσεως, ἄνευ τῶν παλαιστίνων· ἐκ δὲ τῶν δεξιῶν Διόσκορος ὁ Ἀλεξανδρείας, καὶ Ἰουβενάλιος ὁ Ἱεροσολύμων, Κύντυλλος ὁ τοποτηρῶν Ἀναστασίῳ τῷ Θεσσαλονίκης, Πέτρος ὁ Κορίνθου,

Digitized by Google

καὶ οἱ λοιποὶ τῆς αἰγυπτιακῆς καὶ τοῦ Ἰλλυρικοῦ καὶ τῆς Παλαιστίνης· ἦσαν δὲ τοποτηρηταὶ τοῦ Ῥώμης Πασχασῖνος καὶ Λουκίνσιος ἐπίσκοποι, καὶ Βονιφάτιος πρεσβύτερος· παρῆν δὲ καὶ Θεοδώριτος ὁ Κύρου· οὗτος γὰρ ὡς νεστοριανὸς λογιζόμενος διὰ τὸ γράψαι κατὰ τῶν τοῦ ἁγίου Κυρίλλου ιβ' κεφαλαίων, καθηρέθη παρὰ Διοσκόρου· προσελθὼν δὲ Λέοντι τῷ πάπᾳ Ῥώμης, καὶ τὴν ἰδίαν ἀπαγγείλας πίστιν, ἐπεγνώσθη ὀρθόδοξος· καὶ γράμματα κομισάμενος ἐκείνου πρὸς τὸν βασιλέα Θεοδόσιν, ἀπέλαβε τὴν ἐπισκοπήν· ἐκελεύσθη δὲ μόνῃ ταύτῃ σχολάζειν· ἐπὶ δὲ Μαρκιανοῦ δεήσεις ἐπιδέδωκε κατηγορῶν τῶν εἰκ εὐλόγως αὐτὸν ἀποκηρυξάντων ὡς ἑτεροδοξον.

5. Πάντων οὖν, ὡς εἴρηται συναθροισθέντων, οἱ τοποτηρηταὶ Ῥώμης προλογίσαντες ἠξίουν μὴ συνεδριάσαι τῇ συνόδῳ Διόσκορον· τῶν δὲ ἀρχόντων εἰπόντων, ὡς οὐ δεῖ αὐτὸν πρὸ καταδίκης ἐξωθεῖσθαι τοῦ συνεδρίου, Εὐσέβιος ὁ Δορυλαίου κατηγορήσων αὐτοῦ ἀνέστη· καὶ οὕτω κελευσάντων τῶν ἀρχόντων, ἐκαθέσθη Διόσκορος ἐν τῷ μέσῳ· καὶ τοῦ Εὐσεβίου αἰτήσαντος ἀναγνωσθῆναι τὴν παρ' αὐτοῦ δοθεῖσαν τῷ βασιλεῖ κατὰ Διοσκόρου δέησιν, οἱ ἄρχοντες προσέταξαν αὐτὸν μὲν ἐν τῷ μέσῳ καθεσθῆναι, τὴν δέησιν δὲ ἀναγνωσθῆναι· ἧς διαλαμβάνουσης, ὡς οὐ κανονικῶς καθεῖλε Διόσκορος Φλαβιανὸν καὶ τοὺς λοιποὺς ὀρθοδόξους, ἠθώωσε δὲ τὸν αἱρετικὸν Εὐτυχέα, καθεξῆς ἀνεγνώσθη καὶ τὸ παρὰ τοῦ βασιλέως Θεοδοσίου πεμφθὲν πρὸς Διόσκορον γράμμα· καὶ ἐπεὶ πρὸς τοῖς ἄλλοις ἐμέμνητο καὶ Θεοδωρίτου, διελάμβανον μὴ ἐλθεῖν αὐτὸν εἰς τὴν ἐν Ἐφέσῳ δευτέραν σύνοδον, ἐὰν μὴ πᾶσι δόξῃ τοῖς συνελθοῦσιν, εἶπον οἱ ἄρχοντες, εἰσίτω καὶ Θεοδώριτος κρινωνήσων

Digitized by Google

τῇ συνόδῳ, ἐπεὶ καὶ ἀποκατέστησεν αὐτῷ τὴν ἐπισκοπὴν ὁ ἁγιώτατος Λέων· καὶ ὁ θειότατος βασιλεὺς παρεῖναι τοῦτον ἐκέλευσεν.

6. Ἐνισταμένου δὲ Διοσκόρου καὶ τῶν σὺν αὐτῷ, οἱ ἄρχοντες διελάλησαν εἰσελθεῖν τέως αὐτὸν ἐν τάξει κατηγόρου, καὶ καθεσθῆναι εἰς τὸ μέσον· κατηγορεῖτο τοίνυν ὁ Διόσκορος παρά τε τῶν τοῦ Ῥώμης τοποτηρητῶν, καὶ Εὐσεβίου τοῦ ἐπισκόπου Δορυλαίου, ὅτι τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου πάπα Λέοντος ἑπτάκις ἐπὶ πάντων· ὁμόσας ἀναγινώσκειν, οὐκ ἀνέγνω· καὶ ἐντεῦθεν κρίνεται ὡς ἐπίορκος· καὶ ὅτι τὸν ἐν ἁγίοις Φλαβιανὸν, ὡς κατάκριτον εὐθὺς εἰσήγαγε, καὶ οὐδ' ἀπολογίας ἠξίωσεν, ἀλλ' ἀκρίτως οὕτω καθεῖλεν αὐτόν· ὁ δὲ Διόσκορος ἀπολογούμενος ἐπὶ τούτοις ἔλεγεν· οὐκ ἐμοὶ μόνῳ τὴν κρίσιν ὁ βασιλεὺς ἐπέτρεψεν, ἀλλὰ καὶ Ἰουβεναλίῳ καὶ Θαλασσίῳ καὶ τοῖς λοιποῖς, καὶ ἐπὶ τοῖς κεκριμένοις πᾶσα συνήνεσεν ἡ σύνοδος· οἱ δὲ ἀνατολικοὶ ἐπίσκοποι ἐξεβόησαν· οὐ τὶς συνήνεσε, βία ἐγένετο, καθαίρεσις ἡμῖν ἠπειλήθη, στρατιῶται μετὰ βάκλων καὶ ξιφῶν ἐφίσταντο, καὶ μετὰ πληγῶν εἰς ἄγραφον χάρτην ὑπεγράψαμεν.

7. Βασιλείου δὲ τοῦ Σελευκείας σφοδρότερον ἐλέγχοντος Διόσκορον, καὶ ὀρθῶς κατὰ Εὐτυχοῦς δογματίζοντος, ἠρώτησαν αὐτὸν οἱ ἄρχοντες, διὰ τί νῦν ὀρθῶς δοξάζων, ὑπέγραψας τότε τῇ καθαιρέσει Φλαβιανοῦ; ὁ δὲ τὴν ἐκ Διοσκόρου προεβάλετο βίαν· ἐκείνου δὲ εἰπόντος, οὐκ ἔδει σε ἀνθρώπους ἐντραπῆναι εἰς κατάγνωσιν καὶ εἰς πτῶσιν σου, ἀπεκρίνετο· εἰ πρὸς ἄρχοντας εἶχον, ἐμαρτύρησα ἄν· παρὰ σοῦ δὲ κρινόμενος, ὡς παρὰ πατρὸς δικαίου, οὐκ ἐχρώμην· « παῖς γάρ, φησι, πατρὶ δίκαια λέγων τεθνάτω· » Εὐ-

Digitized by Google

σεβίου δὲ τοῦ Δορυλαίου λέγοντος ὅτι Φλαβιανοῦ τοῦ καθελόντος Εὐτυχῆ κρινομένου, ἐγὼ ὁ κατηγορῶν Εὐτυχοῦς εἰσελθεῖν οὐ συνεχωρήθην· καὶ τῶν ἀρχόντων αἰτιωμένων Διόσκορον ὡς τῶν κανόνων παραβάτην, αὐτὸς ἔφη· καὶ ὑμεῖς παραβαίνετε, Θεοδώριτον ἀφέντες εἰσελθεῖν εἰς τὴν σύνοδον· οἱ δὲ εἶπον· κατηγορήσων ὑμῶν εἰσελήλυθεν· ὁ δὲ, καὶ διὰ τί, ἔφη, καθέζεται ὡς ἐπίσκοπος; οἱ δὲ ἄρχοντες καλῶς ἔφησαν ὡς Εὐσέβιος καὶ Θεοδώριτος ἐν τάξει κατηγόρων καθέζονται, διότι καὶ ὑμεῖς ἐν τάξει κατηγορουμένων ὄντες καθέζεσθε.

8. Πάντων δὲ ἐπὶ τούτοις ἀναγνωσθέντων τῶν τε ἐν Κωνσταντινουπόλει παρὰ Φλαβιανοῦ πεπραγμένων εἰς τὴν Εὐτυχοῦς καθαίρεσιν, καὶ τῶν ἐν Ἐφέσῳ τὸ δεύτερον παρὰ Διοσκόρου πραχθέντων ἐπὶ τῇ Φλαβιανοῦ καθαιρέσει, ζητουμένης τε τῆς ὀρθῆς καὶ ἀληθοῦς δόξης, καὶ Φλαβιανοῦ μὲν εὑρεθέντος ὅτι ἐκ δύο φύσεων καὶ δύο φύσεις ἔλεγε τὸν Χριστὸν· Διοσκόρου δὲ φάσκοντος ὅτι τὸ ἐκ δύο δέχομαι, τὸ δύο οὐ δέχομαι, μετὰ τὴν ἕνωσιν δύο φύσεις οὐκ εἰσὶν· οἱ ἄρχοντες καὶ ἡ σύγκλητος εἶπον· περὶ μὲν τῆς ὀρθῆς πίστεως ἀκριβεστέραν ἐξέτασιν τῇ ὑστεραίᾳ δεῖν γενέσθαι συνορῶμεν· ἐπεὶ δὲ Φλαβιανὸς καὶ Εὐσέβιος ἔκ τε τῆς τῶν πεπραγμένων ἀναγνώσεως, καὶ τῆς φωνῆς τινῶν ἐξάρχων τῆς καθαιρέσεως αὐτῶν, δείκνυνται μηδὲν περὶ τὴν πίστιν σφαλέντες, ἀλλὰ μάτην καθαιρεθέντες, φαίνεται ἡμῖν κατὰ τῷ Θεῷ ἀρέσκον δίκαιον εἶναι, εἰ παρεστάτημεν τῷ θειοτάτῳ ἡμῶν βασιλεῖ Διόσκορον τὸν Ἀλεξανδρείας, καὶ Ἰουβεναλιν τὸν Ἱεροσολύμων, καὶ Θαλάσσιον τὸν Καισαρείας, καὶ Εὐσέβιον τὸν Ἀγκύρας, καὶ Εὐστάθιον τὸν Βηρυτοῦ, καὶ Βασίλειον τὸν Σελευκείας, τοὺς

Digitized by Google

ἐξάρχοντας τῆς τότε συνόδου τῷ αὐτῷ ἐπιτιμίῳ ὑποπεσεῖν, καὶ τοῦ ἐπισκοπικοῦ ἀξιώματος ἀλλοτριωθῆναι· λέγιμους λέγιμους, τουτέστιν ἀνέγνωμεν. Ἱστέον γὰρ ὅτι διαλαλιᾶς οἵας δήποτε γινομένης ὑπὸ τῶν ἀρχόντων, καὶ παρὰ τῶν ὑπηρετουμένων νοταρίων ἀπογραφομένης, ὑπέγραφέ τις αὐτῶν τὸ ἀνέγνωμεν πρὸς τὸ εἶναι βεβαίαν τὴν διαλαλιὰν, καὶ μηδεμίαν ἐμπίπτειν ὑπόνοιαν, ὡς ἐκακουργήθη τί παρὰ τῶν ὑπογρόφεων. Καὶ τὰ μὲν τῆς πρώτης πράξεως ταυτὸν ἔσχε τὸ τέλος.

Sequuntur in codice reliquarum actionum Synodi summaria, quae nos praetermittimus.

9. Χρεὼν δὲ εἰδέναι ὡς τῆς ἁγίας ταύτης συνόδου καθαιρέσει Διόσκορον ὑποβαλούσης τὸν γενόμενον Ἀλεξανδρείας ἐπίσκοπον, οἱ τούτου ἀντιλαμβανόμενοι τῆς καθολικῆς ἐκκλησίας ἀπέστησαν, καὶ διακρινομένους ὠνόμασαν ἑαυτοὺς ἐκ τοῦ μὴ συντίθεσθαι τοῖς δογματισθεῖσι παρὰ τῶν ἐν Καλχηδόνι συνελθόντων πατέρων, καὶ εἰς δώδεκα διηρέθησαν τμήματα (1), ὧν οἱ μὲν εὐτυχιανιςαὶ λεγόμενοι, Εὐτυχέα καὶ Διόσκορον δέχονται, οἳ καὶ λέγουσι τὸν δεσπότην Χριστὸν ὁμοούσιον μὲν τῷ πατρὶ, οὐκέτι δὲ καὶ ἡμῖν, διὰ τὸ μὴ κατατίθεσθαι αὐτοὺς σώζεσθαι ἐν Χριστῷ τὴν ἀλήθειαν τῆς ἀνθρωπίνης φύσεως· οἱ δὲ καλούμενοι ἀκέφαλοι οὐκ ἐδέξαντο τὸ ἑνωτικὸν τοῦ βασιλέως Ζήνωνος, διὰ τὸ μὴ ἀναθεματισθῆναι ἐν αὐτῷ τὴν ἐν Χαλκηδόνι σύν-

(1) Animadverte duodecim sectas haereticorum dissidentium a concilio chalcedonensi. Fuit enim illud orientalium schismatum fatale tempus. Videsis etiam Ebediesum de ver. ch. rel. a nobis editum Coll. vat. T. X. lib. III. 4.

Digitized by Google

ὁδον· ἀκέφαλοι δὲ ἐκλήθησαν ἐκ τοῦ μὴ ἔχειν ἐπισκόπους· ὅθεν ἐκλειπόντων τῶν παρ' αὐτοῖς ἱερέων, οὐδὲ βάπτισμα ποιοῦσι κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα, ἀλλ' ἐν τῇ ἑορτῇ τῶν ἁγίων Θεοφανίων ἀρύονται ὕδατα, καὶ ταῦτα φυλάττοντες, βαπτίζουσιν ἐν αὐτοῖς· ἀλλ' οὐδὲ προσκομιδὴν ποιοῦσιν· ἔχοντες δὲ κοινωνίαν ἐκ παλαιτέρων χρόνων πεφυλαγμένην, ἐξ αὐτῆς κατὰ τὴν ἑορτὴν τοῦ πάσχα σμικροτάτας μερίδας τοῖς συνιοῦσι διδόασιν.

10. Ἄλλοι ἰουλιανισταὶ ἦγουν γαϊανίται λέγονται, οἵτινες τὸ σῶμα τοῦ δεσπότου Χριστοῦ λέγουσι κτιστὸν μὲν, ἄφθαρτον δὲ ἐξ αὐτῆς τῆς ἀφθόρου συλλήψεως· ἕτεροι οἱ λέγοντες τὸ σῶμα τοῦ Χριστοῦ οὐ μόνον ἄφθαρτον ἐξ αὐτῆς συλλήψεως, ἀλλὰ καὶ ἄκτιστον· ἑκάτεροι δὲ ἰουλιανισταὶ ἐκλήθησαν ἀπὸ Ἰουλιανοῦ τινὸς ἁλικαρνασέως κατάρξαντος τοῦ δόγματος αὐτῶν· γαϊανίται δὲ ἀπὸ Γαϊανοῦ τοῦ γενομένου αὐτῶν πάπα ἐν Ἀλεξανδρείᾳ, καὶ διαδεξαμένου Ἰουλιανὸν, καὶ τὰ δόγματα αὐτοῦ· οὓς οἱ ἐναντίοι αὐτῶν φαντασιαστὰς καὶ μανιχαίους καλοῦσι· καὶ οὗτοι δὲ τοὺς ἐναντίους αὐτῶν φθαρτολάτρας καὶ κτηνολάτρας ὀνομάζουσι· σεβηρίται δὲ οἱ καὶ ἀγνοῆται, οἱ λέγοντες μὲν τὸν Θεὸν λόγον πάντα γινώσκειν, τὴν δὲ ἡνωμένην αὐτῷ καθ' ὑπόστασιν ἀνθρωπότητα πολλὰ ἀγνοεῖν· οἵ τινες ἀπὸ τοῦ δόγματος ἀγνοῆται ὠνομάσθησαν ὑπὸ τῶν ἐναντίων αὐτοῖς· ἕτεροι δὲ σεβηρίται, οἱ καὶ κοντεβαβδίται, οἱ λέγοντες ἕνα Θεὸν εἶναι τῷ ἀριθμῷ, καὶ οὐχὶ τῇ ἀπαραλλάκτῳ ἰσότητι, καὶ τὸν αὐτὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα φάσκοντες, οἵ τινες κονταβαβδίται ὠνομάσθησαν ὑπὸ τῶν ἐναντίων αὐτῶν, διὰ τὸ ἐν τοῖς λεγομένοις Κοντοβάβδου ἐν Κωνσταντινουπόλει ἔχειν τί μυσαρὸν συνακτή-

Digitized by Google

ριον, κἀκεῖ συνάγεσθαι τοὺς τὰ τοιαῦτα φρονοῦντας· οὗτοι δὲ οἱ λεγόμενοι κοντοβαβδίται, οἱ καὶ καλούμενοι ἀγνοῆται, πρῶτον μὲν ἐκαλοῦντο Θεοδοσιανοὶ, ὡς Θεοδόσιον δεχόμενοι τὸν γενόμενον πάπαν Ἀλεξανδρείας· ἀναθεματισθέντες δὲ παρ' αὐτοῦ, οἱ μὲν ἀγνοῆται διὰ τὸ δόγμα τῆς ἀγνοίας, οἱ δὲ κοντοβαβδίται διὰ τὸ μὴ δέξασθαι τὸν περὶ τῆς ἁγίας τριάδος λόγον τὸν ὑπ' αὐτοῦ ἐκτεθέντα, λοιπὸν οὐκέτι Θεοδοσιανοὶ καλοῦνται ὑπὸ τῶν ἐναντίων αὐτῶν, ἐπειδὴ οὐ δέχονται ἔτι Θεοδόσιον, ὡς εἴρηται· ἀλλ' οἱ μὲν ἐκ τοῦ δόγματος, ἀγνοῆται· οἱ δὲ ἐκ τοῦ τόπου, κοντοβαβδίται· καὶ συμφωνοῦσι μὲν ἀλλήλοις ἑκάτεροι εἰς τὸν περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος λόγον, ὡς ἓν δόγμα ἔχοντες, διαφωνοῦσι δὲ εἰς τὸ περὶ τῆς ἀγνοίας δόγμα· Σεβῆρον δὲ δέχονται ἑκάτεροι τὸν γενόμενον Ἀντιοχείας ἐπίσκοπον· διὸ καὶ σεβηρίται ὠνομάσθησαν.

11. Ἄλλοι σεβηρίται, οἱ καὶ Θεοδοσιανοὶ καὶ παυλιανισταὶ, οἱ δεχόμενοι Σεβῆρον καὶ Θεοδόσιον τοὺς εἰρημένους, καὶ σὺν αὐτοῖς Παῦλον τὸν ἐπίκλην μελανὸν, οἵτινες ἐν μὲν τῷ περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος δόγματι συμφωνοῦσι τοῖς κοντοβαβδίταις, διαφωνοῦσι δὲ πρὸς ἐκείνους ἐν τῷ τοὺς μὲν δέχεσθαι Θεοδόσιον καὶ Παῦλον εἰς ἐπισκόπους· τοὺς δὲ κοντοβαβδίτας, ἀμφοτέρους ἀποβάλλεσθαι· ἄλλοι σεβηρίται, οἱ καὶ Θεοδοσιανοὶ καὶ ἀγγελίται, καὶ δαμιανισταὶ, οἱ δεχόμενοι Σεβῆρον καὶ Θεοδόσιον τοὺς μνημονευθέντας, καὶ Δαμιανὸν σὺν αὐτοῖς, οἵτινες λέγουσιν ἄλλον μὲν εἶναι τὸν πατέρα, καὶ ἄλλον τὸν υἱὸν, καὶ ἄλλον τὸ παράκλητον πνεῦμα καὶ ἅγιον, μὴ εἶναι δὲ τούτων ἕκαστον καθ' ἑαυτοὺς φύσιν, ἀλλ' ἔχειν κοινὸν θεὸν, ἡγοῦν θεότητα ἐνύπαρκτον, καὶ ταύτης μετέχον-

Digitized by Google

τας ἀμερίστως, εἶναι Θεὸν ἕκαστον· καλοῦσι δὲ τὸν μὲν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, μίαν ὑπόστασιν· τὸν δὲ κοινὸν αὐτῶν Θεὸν, οὐσίαν καὶ φύσιν· ἀγγελίται δὲ ἐκλήθησαν ὑπὸ τῶν ἐναντίων αὐτῶν ἔκ τινος τόπου οὕτω καλουμένου ἐν Ἀλεξανδρείᾳ, ἐν ᾧ συναγωγὴν ἔχοντες οἱ τὰ πρῶτα ἐν αὐτοῖς φέροντες συνάγονται· καλοῦσι δὲ αὐτοὺς οἱ ἐναντίοι αὐτῶν σαβελλιανιστὰς καὶ τετραδίτας· οἱ αὐτοὶ δὲ καὶ δαμιανισταὶ ὠνομάσθησαν, ἀπὸ Δαμιανοῦ ἐπισκόπου αὐτῶν· οὗτοι πρότερον μὲν ἐδέχοντο τὸν μνημονευθέντα Παῦλον εἰς ἐπίσκοπον, ὕστερον δὲ τοῦτον ἀπεβάλοντο, διὰ τὸ κοινωνῆσαι αὐτὸν τῇ ἁγίᾳ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ δέξασθαι τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον.

12. Ἄλλοι σεβηράται ἦγουν Θεοδοσιανοὶ, εἰ καὶ πετρίται, οἱ δεχόμενοι τὸν ἔσχατον Πέτρον εἰς ἐπίσκοπον, εἴ τινες δεχόμενοι Θεοδόσιον καὶ Σεβῆρον καὶ Πέτρον, Δαμιανὸν οὐ προσδέχονται, οὐδὲ Παῦλον, αἰτιώμενοι τὰ δόγματα ἑκατέρων· ὁμολογοῦσι γὰρ Θεὸν κατὰ ἀλήθειαν, καὶ οὐσίαν, καὶ φύσιν, ἕκαστον καθ' ἑαυτὸν, τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα λέγοντες, οὐκ ἀριθμῷ, ἀλλὰ τῇ ἀπαραλλάκτῳ οὐσιότητι· οὓς οἱ ἀγγελιανίται * καὶ οἱ παυλιανισταὶ τριθείτας ὀνομάζουσι· καὶ οὗτοι πάλιν ἐκείνους ποτὲ μὲν σαβελλιανιστὰς, ποτὲ δὲ τετραδίτας· ἄλλοι σεβηρίται ἦγουν Θεοδοσιανοὶ, οἱ καὶ κονωνίται, οἱ δεχόμενοι Θεοδόσιον καὶ Σεβῆρον, καὶ σὺν αὐτοῖς Κόνωνα ἐπίσκοπον· οἵ τινες καὶ αὐτοὶ ὁμολογοῦσι Θεὸν εἶναι κατὰ ἀλήθειαν, καὶ φύσιν, καὶ οὐσίαν ἕκαστον, τὸν πατέρα λέγοντες καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, ἔτι γε μὴν φασι καὶ τρεῖς ὑποστάσεις τὴν ἁγίαν τριάδα, καὶ τρία πρόσωπα· τρεῖς δὲ

* ita cod.

Digitized by Google

τινας τῷ ἀριθμῷ οὐσίας καὶ φύσεις ἴσας ἀπαραλλάκτους κατὰ τὴν θεότητα λέγοντες· μίαν τὲ οὐσίαν ἤγουν φύσιν, καὶ μίαν θεότητα ἤγουν θεὸν, τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα ὁμολογοῦντες, οὐκ ἀριθμῷ, ἀλλὰ τῇ ἀπαραλλάκτῳ θεότητι, τρεῖς θεοὺς ἢ θεότητας λέγειν παραιτοῦνται.

13. Καὶ οὗτοι δὲ Σεβῆρον καὶ Θεοδόσιον δεχόμενοι, οὔτε Δαμιανὸν, οὔτε Παῦλον, οὔτε τὸν ἔσχατον Πέτρον δέχονται· καλοῦσι δὲ καὶ τούτους οἱ ἐκ Δαμιανοῦ καὶ Παύλου τριθεΐτας, καὶ οὗτοι δὲ ἐκείνους ὀνομάζουσι ποτὲ μὲν σαβελλιανοὺς καὶ ἀρτεμωνιστὰς, ποτὲ δὲ τετραδίτας· διίστανται δὲ καὶ ἀπὸ Πέτρου τοῦ ἐσχάτου καὶ τῶν σὺν αὐτῷ, διότι ἐκεῖνοι μὲν παραιτούμενοι τρεῖς λέγειν θεοὺς, ἤγουν θεότητας τρεῖς, τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, παραιτοῦνται καὶ τὸ λέγειν τρεῖς τῷ ἀριθμῷ οὐσίας ἴσας καὶ ἀπαραλλάκτους· οὗτοι δὲ τὸ μὲν λέγειν τρεῖς θεοὺς, ἤγουν θεότητας, παραιτοῦνται· τρεῖς δὲ τῷ ἀριθμῷ οὐσίας ἤγουν φύσεις τινὰς ἴσας ὁμολογοῦσιν· οἱ δ' ἀπὸ Κόνωνος πρότερον δεχόμενοι τὰ συγγράμματα Ἰωάννου ἀλεξανδρέως γραμματικοῦ, τοῦ ἐπίκλην Φιλοπόνου, τὰ καθ' ἑλλήνων αὐτῷ γεγραμμένα μετὰ καὶ ἄλλων αὐτοῦ συγγραμμάτων, αὐτὸν τὲ ἔσχατον ἀπεβάλοντο, καὶ τὰ τούτου συγγράμματα· ὁ γὰρ εἰρημένος γραμματικὸς Ἰωάννης ἐν τοῖς πρὸς τοὺς ἕλληνας βιβλίοις, καὶ ἐν τοῖς ἄλλοις αὐτοῦ συγγράμμασιν, ἐπήγαγε, τὰ σώματα τὰ αἰσθητὰ ταῦτα πάντα καὶ τὰ ὁρώμενα κατά τε ὕλην καὶ εἶδος ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθῆναι ὑπὸ τοῦ θεοῦ, φθαρτά τε ταῦτα γενέσθαι καὶ φθείρεσθαι κατά τε ὕλην καὶ εἶδος, καὶ ἀντὶ τούτων ἕτερα σώματα κρείττω τούτων τῶν ὁρωμένων ἄφθαρτα καὶ ἀϊδια ὑπὸ τοῦ θεοῦ δημιουργεῖσθαι· συντέλειάν τε ἔφη τοῦ

Digitized by Google

ὁρωμένου κόσμου ἤγουν παρέλευσιν καὶ καινοῦ κόσμου γένεσιν· ἀνάστασιν δὲ νεκρῶν ὡρίσατο εἶναι τὴν τῶν λογικῶν ψυχῶν πρὸς σῶμα φθαρτὸν ἕνωσιν ἀδιάλυτον.

14. Κόνων δὲ καὶ οἱ σὺν αὐτῷ, ὡς εἴπομεν, πρότερον δεχόμενοι τὰ συγγράμματα ἐν οἷς ταῦτα ἐδογμάτισε, καὶ αὐτὸν τὸν Φιλόπονον ζῶντα τε καὶ μετὰ τελευτὴν μακαρίζοντες, τελευταῖον αὐτὸν τε ἐκεῖνον καὶ τὰ συγγράμματα αὐτοῦ ἀπεβάλοντο· λόγους ἐγγράφους ἐκδεδωκότες, ἐν οἷς λέγουσιν ὅτι τὰ σώματα τὰ αἰσθητὰ ταῦτα καὶ ὁρώμενα κατὰ μὲν τὴν ὕλην οὐ φθείρεται, ἀλλὰ μένουσι τὰ αὐτὰ καὶ ὁρώμενα εἰσαεὶ καὶ μὴ φθειρόμενα, κατὰ δὲ τὸ εἶδος μόνον φθείρεται, καὶ πάλιν ἀναμορφοῦται, τῆς αὐτῆς ὕλης κρεῖττον εἶδος δεχομένης ἄφθαρτον· γένεσιν μὲν γὰρ τοῦ ὁρωμένου κόσμου λέγουσι κατά τε ὕλην καὶ εἶδος, φθορὰν δὲ αὐτοῦ ἤγουν παρέλευσιν κατὰ μόνον τὸ εἶδος· τὴν γὰρ ὕλην, ὡς εἴπομεν, ἀεὶ διαμένειν ὁμολογοῦσι τὴν αὐτήν· ἀνάστασιν δὲ νεκρῶν ὁρίζονται εἶναι τὴν τοῦ σώματος τούτου πρὸς τὴν λογικὴν ψυχὴν δευτέραν ἕνωσιν ἀδιάλυτον.

15. Ἄλλοι σεβηρίται ἤγουν Θεοδοσιανοί, οἱ καὶ φιλοπονιακοί, οἱ καὶ δεχόμενοι τὸν Σεβῆρον καὶ Θεοδόσιον ἐπισκόπους, δεχόμενοι δὲ εἰς διδάσκαλον καὶ τὸν φιλόπονον Ἰωάννην καὶ τὰ τούτου συγγράμματα, καὶ ἀκολουθοῦντες αὐτῷ οὐ μόνον ἐν τοῖς περὶ τριάδος λόγοις, ἀλλὰ καὶ ἐν τοῖς περὶ συντελείας τοῦ ὁρωμένου κόσμου καὶ γενέσεως τοῦ τε ὁρωμένου καὶ τοῦ μέλλοντος, καὶ νεκρῶν ἀναστάσεως· οὗτοι δὲ οὔτε Δαμιανὸν, οὔτε Παῦλον, οὔτε τὸν ἔσχατον Πέτρον δέχονται· πρότερον δὲ δεχόμενοι Κόνωνα, ὕστερον αὐτὸν ἀπεβάλοντο, διὰ τὸ ἀποβάλλεσθαι ἐκεῖνον, Ἰωάννην τὸν φιλόπονον καὶ τὰ τούτου συγγράμματα· καὶ ἐν μὲν

Digitized by Google

τοῖς περὶ τριάδος λόγοις συνᾴδουσι τοῖς κονωνίταις· καὶ τρι-
* ita cod. θεῖται ὀνομάζονται ὑπὸ τῶν ἀγγελιανιστῶν * καὶ παυλιανι-
στῶν· ὀνομάζουσι δὲ καὶ αὐτοὶ ἐκείνους ποτὲ μὲν σαβελ-
λιανιστὰς, ποτὲ δὲ τετραδίτας· ἐν δὲ τῷ περὶ συντελείας
τοῦ ὁρωμένου κόσμου καὶ νεκρῶν ἀναστάσεως, ἐναντιοῦν-
ται φανερῶς αὐτοῖς· καὶ οὗτοι μὲν οἱ κονωνίται τοὺς φι-
λοπονιακοὺς ἅπαντας καλοῦσι σαδδουκαίους καὶ σιμωνιανούς,
καὶ ἕλληνας, καὶ σαλετινιανούς, καὶ μαρκιωνιστὰς, καὶ
μανιχαίους, καὶ ἑρμογενιαστὰς ἀποκαλοῦντες· καὶ οἱ μὲν φι-
λοπονιακοὶ τὰ ὀνόματα ταῦτα τοῖς κονωνίταις προσάπτου-
σι, διὰ τὸ λέγειν αὐτοὺς τὴν ὕλην τοῦ αἰσθητοῦ τούτου
κόσμου διαμένειν ἀτελεύτητον· οἱ δὲ κονωνίται τὰ αὐτὰ ὀνό-
ματα τῶν φιλοπονιακῶν κατηγοροῦσι, διὰ τὸ μὴ λέγειν αὐ-
τοὺς τῶν σωμάτων τούτων ἀνάστασιν· πρὸς τούτοις δὲ ἑκά-
τεροι, οἵ τε φιλοπονιακοὶ καὶ οἱ κονωνίται ὠριγενιαστὰς ἀλ-
λήλους ὀνομάζουσιν· εὑρηκότες γὰρ οἱ φιλοπονιακοὶ τὸν Ὠρι-
γένην λέγοντα ὅτι αὕτη ἡ ὕλη ἐν τῷ μέλλοντι αἰῶνι ἀνα-
μορφοῦται, καὶ διὰ τοῦτο τῶν αὐτῶν σωμάτων γίνεται ἡ
ἀνάστασις, ἐκάλεσαν τοὺς κονωνίτας ὠριγενιαστὰς· πάλιν
δὲ οἱ κονωνίται εὑρόντες τὸν Ὠριγένην λέγοντα ἄλλων σω-
μάτων ἀνάστασιν, παλίμβολος γὰρ ὁ ἀνὴρ, ὠνόμασαν τοὺς
φιλοπονιακοὺς ὠριγενιαστάς· δέχονται δὲ οἱ φιλοπονιακοὶ ἐπί-
σκοπον τινὰ Ὠριγένην ὀνόματι καὶ τοὺς λόγους τοὺς ὑπ'
αὐτοῦ ἐκδοθέντας.

16. Ἄλλοι σεβηρίται ἦγουν θεοδοσιανοὶ, οἱ καὶ νιοβίται,
οἵ τινες Σεβῆρον καὶ Θεοδόσιον δεχόμενοι καὶ Στέφανον τὸν
σοφιστὴν τὸν ἐπίκλην Νίσβον· οὗτοι δὲ ἐν μὲν τοῖς περὶ τοῦ
πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος λόγοις, συμ-
φωνοῦσι τοῖς κοντοβαβδίταις καὶ τοῖς ἀγνοήταις, ἐν δὲ τοῖς

Digitized by Google

λόγοις τοῖς περὶ τῆς οἰκονομίας διαφωνοῦσιν οὐ μόνον πρὸς τούτους, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἅπαντας· πάντες γὰρ δύο φύσεις ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου μετὰ τὴν ἕνωσιν, οὐδενὶ λόγῳ ἀνέχονται εἰπεῖν· τὴν μέν τοι διαφορὰν τῶν φύσεων ὁμολογοῦσι καὶ μετὰ τὴν ἕνωσιν· οὗτοι δὲ δύο φύσεις μετὰ τὴν ἕνωσιν παραιτούμενοι ὁμολογεῖν, οὐδὲ τὴν διαφορὰν τῶν φύσεων μετὰ τὴν ἕνωσιν σώζεσθαι βούλονται λέγειν.

17. Τίνα μὲν οὖν τούτων τὰ σχίσματα, καὶ πόσα τυγχάνει, καὶ τίνες τούτων ὀνομασίαι, καὶ τί τὸ ἑκάστου σχίσματος δόγμα τῶν ἑαυτοὺς καλούντων διακρινομένους, διὰ τῶν εἰρημένων συντόμως ἐδηλώσαμεν· οὗτοι δὲ πάντες τὰ ἐπιτηδεύματα Ἀρείου τε καὶ τῶν ἐκείνου μαθητῶν ζηλώσαντες, ὁμοίως ἐκείνοις ἔξω τῶν ἐκκλησιαστικῶν ἑαυτοὺς περιβόλων ἐποίησαν· κἀκεῖνοι γὰρ μυρίας μηχανὰς ἐπεδείξαντο, ἐξωθῆσαι τῆς ἐκκλησίας σπουδάσαντες τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Νικαίᾳ σύνοδον· καὶ οὗτοι δὲ ὁμοίως πολυτρόπους μαγγανείας καὶ λογομαχίας ἐπετήδευσαν ἐξελάσαι τῆς ἐκκλησίας προθυμούμενοι τὴν οἰκουμενικὴν καὶ ἁγίαν ἐν Χαλκηδόνι σύνοδον· ἀλλ' ὅπερ κατὰ τῶν ἁγίων πατέρων ἐβουλεύσαντο, εἰς αὐτοὺς ἡ Θεία περιέστησε ψῆφος, ἔξω που τῶν ἐκκλησιαστικῶν αὐτοὺς καταστήσασα περιβόλων· ἠκόνησαν γὰρ τὴν γλῶτταν αὐτῶν, κατὰ τὸ γεγραμμένον, ὡσεὶ ὄφεως· ἐνέτειναν τόξον αὐτῶν πρᾶγμα πικρὸν τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον, ἐκραταίωσαν αὐτοῖς λόγον πονηρὸν, διηγήσαντο τοῦ κρύψαι παγίδα· εἶπαν, τίς ὄψεται αὐτούς; ἐξηρεύνησαν ἀνομίας, ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις· ἀλλὰ κατὰ τὸν Θεῖον λόγον, βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, καὶ ἐξησθένησαν ἐπ'

Digitized by Google

αὐτοὺς αἱ γλῶσσαι αὐτῶν· καὶ διεσχίσθησαν, καὶ οὐ κατενύγησαν· ηὐφράνθη δὲ ἡ τοῦ θεοῦ ἐκκλησία, τὴν τῶν ἁγίων πατέρων ἐκδίκησιν θεωρήσασα· καὶ ὑψώθη ὁ θεὸς τῆς ἀληθείας, τῶν ἐκκλησιαστικῶν δογμάτων ἀῤῥαγῆ λαβόντων βεβαίωσίν τε καὶ παγιότητα. Ἡ ἁγία δ' οὖν καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν Χαλκηδόνι συστάσα, διὰ βραχέων ἐμνήσθη τῶν λεγομένων ὑπὸ τῶν μίαν ἐπὶ Χριστοῦ δοξαζόντων φύσιν σύνθετον· εἰσὶ δὲ, ὡς ἐκ πολλῶν ὀλίγα εἰπεῖν, τοιαύτης ἐννοίας ἐχόμενα, ἅπερ εἰς συνηγορίαν τοῦ οἰκείου δόγματος ἀσεβῶς προτιθέασι.

Ἔκθεσις τινῶν κεφαλαίων προβαλλομένων παρὰ τῶν μονοφυσιτῶν.

18. Πότερον ἐκ τῆς τῶν ἐπὶ Χριστοῦ λεγομένων δύο φύσεων ἑνώσεως, γέγονέ τι ἕν, ἢ οὔ; εἰ μὲν οὖν μὴ γέγονέ τι ἐξ αὐτῶν ἕν, πῶς καὶ ἡνῶσθαι ὅλως αὐτὰς ἐροῦμεν; τί γὰρ ἄλλο ἐστὶ τὸ ἡνῶσθαι, ἢ τὸ ἓν γεγονέναι; οὐδὲ γὰρ κατ' ἔλλαμψιν, ὡς ἐπὶ προφητῶν, ὁμολογοῦμεν τὴν ἕνωσιν· εἰ δ' ἐκ τῆς ἑνώσεως τῶν δύο φύσεων ἕν τι γέγονε, τί ποτε ἄρα τοῦτο ἐστὶ τὸ ἕν; πότερον ὄνομα μόνον ψιλὸν, ἢ πρᾶγμα; εἰ μὲν οὖν ὄνομα μόνον ψιλὸν εἴη πράγματος χωρὶς, οὐκ ἂν εἶεν αἱ φύσεις ἡνωμέναι· ὡς οὐδὲ ὁ ἀστρῶος κύων καὶ ὁ χερσαῖος, κατὰ ψιλὸν μόνον τοῦνομα τὸ ἓν ἔχοντες, ἡνωμένοι κατὰ τὰς φύσεις τυγχάνουσιν, οὐδ' ὁ ἀληθινὸς ἄνθρωπος καὶ ὁ γεγραμμένος· οὐκοῦν εἰ αἱ φύσεις καθ' ὃ εἶναι ἔχουσιν ἡνώθησαν, καὶ διὰ τοῦτο ἐκ τῆς ἑνώσεως αὐτῶν ἤγουν συνθέσεως ἕν τι γέγονεν, οὐκ ἄρα ψιλὸν ὄνομα τοῦτο ἐστὶν, ἀλλὰ πρᾶγμα· εἰ δὲ πρᾶγμα, πότερον φύσις ἐστὶ τοῦτο, ἤγουν οὐσία, ἢ τῶν περὶ τὴν οὐσίαν τι συμβεβηκότων; οὐκοῦν εἰ κατ' αὐτὸ τὸ

Digitized by Google

εἶναι, φύσεις ἠνώθησαν, καὶ διὰ τοῦτο τὸ ἓν τὸ ἐκ τῆς ἑνώσεως αὐτῶν ἀποτελεσθὲν, οὔτε ψιλόν ἐστιν ὄνομα, οὔτε συμβεβηκός τι καὶ παρακολούθημα φύσεως, λείπεται ἐξ ἀνάγκης, οὐσίαν εἶναι τοῦτο, ἢ φύσιν· κείσθω γὰρ νῦν δι' ἑκατέρου ταυτὸν σημαίνεσθαι, διὰ τῆς οὐσίας φημὶ καὶ τῆς φύσεως· εἰ δὲ τὸ ἓν τὸ ἐκ τῆς ἑνώσεως τῶν δύο φύσεων ἀποτετελεσμένον φύσις ἐστὶν ἤγουν οὐσία, καλῶς ἁρμόσει εἶναι τὴν φύσιν τοῦ δεσπότου Χριστοῦ μετὰ τὴν ἕνωσιν ὁμολογοῦμεν, εἰ καὶ μὴ ἁπλῆν, ἀλλὰ σύνθετον εἶναι ταύτην φαμὲν· τὸ γὰρ Χριστὸς ὄνομα, τῶν φύσεων ἀμφοτέρων εἶναι δηλωτικὸν οὐ δύναται· εἰ γὰρ μή εἴη τί ἓν τὸ ἐκ τῆς ἑνώσεως τῶν δύο φύσεων ἀποτετελεσμένον, ἀδύνατον ἦ ἐπὶ ψυχῆς καὶ σώματος ἓν τὸ τοῦ ἀνθρώπου κατηγορεῖσθαι ὄνομά, ἢ ἐπὶ τῆς τοῦ Χριστοῦ θεότητός τε καὶ ἀνθρωπότητος, μηδενὸς ἐξ αὐτῶν ἑνὸς γενομένου, τὴν Χριστοῦ λέγεσθαι προσηγορίαν ἐπ' ἀμφοῖν.

Ἕτερον πρόβλημα τῶν μονοφυσιτῶν.

19. Εἴπερ αἱ τοῦ Χριστοῦ φύσεις ἑνωθεῖσαι δύο τυγχάνουσι, ταυτὸν δὲ εἰπεῖν οὐσίαι, οὐσίαι γὰρ ὁπουοῦν ἥ τε θεία καὶ καὶ ἡ ἀνθρώπειος, ἐφ' ὧν τὸ τῆς δυάδος τῶν φύσεων φέρουσιν ὄνομα, πότερον ἕτερος τυγχάνει τῶν ἑαυτοῦ φύσεων ὁ Χριστὸς, ἢ ταυτόν ἐστι ταῖς αὐτοῦ φύσεσιν; εἰ μὲν οὖν ἕτερός ἐστι τῶν αὐτοῦ φύσεων ὁ Χριστὸς, τίς ὢν, ἕτερος αὐτῶν τυγχάνει; ἀλλ' οὐδὲν τῶν ὄντων τῆς αὐτοῦ φύσεως ἢ οὐσίας ἕτερον ἐστιν· εἰ γὰρ ἡ τοῦ ἀνθρώπου φύσις, ἤτοι οὐσία, τὸ ζῶον λογικὸν θνητόν ἐστιν, οἱ γὰρ ὁρισμοὶ τῶν πραγμάτων τῆς οὐσίας αὐτῶν εἰσὶ δηλωτικοὶ, ἕτερον δὲ εἴη ὁ ἄνθρωπος τῆς οὐσίας αὐτοῦ, ἕτερος ἂν εἴη τοῦ ζώου λογικοῦ θνητοῦ· ὁ ἄνθρωπος οὐδὲν

Digitized by Google

ἄλλο ἐστὶν, ἢ ζῶον λογικὸν θνητὸν· οὐκοῦν εἰ καὶ ὁ Χριστὸς τῶν αὐτοῦ φύσεων, ἤγουν οὐσιῶν, ὑπάρχει ἕτερος, τὸ δὲ εἶναι ἑκάστῳ κατὰ τὴν φύσιν ἤτοι οὐσίαν αὐτοῦ ἐστὶν, ὡς ἐδείξαμεν, αὐτὸς ἄρα ἑαυτοῦ ὁ Χριστὸς ἕτερος ἔσται, ὅπερ πρὸς τῷ ἀτόπῳ, καὶ τὸ γελοῖον ἔχει· οὐκ ἄρα ἕτερος ἐστὶν ὁ Χριστὸς τῶν ἑαυτοῦ φύσεων· εἰ δὲ μὴ ἕτερος, ταυτὸν ἄρα Χριστὸν τὲ εἰπεῖν καὶ τὰς αὐτοῦ φύσεις· ἐπεὶ καὶ οἱ τἀναντία ὑμεῖς λέγοντες, τῶν δύο φύσεων δηλωτικὸν εἶναι φατὲ, τὸ Χριστὸς ὄνομα· εἰ δὲ ταυτὸν ὁ Χριστὸς ταῖς αὐτοῦ φύσεσιν, ὡς ἄνθρωπος τῇ ἀνθρώπου φύσει ταυτὸν, τουτέστι τῷ ζώῳ λογικῷ θνητῷ, δύο δὲ τυγχάνουσιν αἱ τοῦ Χριστοῦ φύσεις καὶ οὐ μία, δύο ἄρα καὶ οἱ Χριστοὶ ἔσονται, καθὼς Νεστορίῳ δοκεῖ, καὶ οὐχ εἷς κατὰ τὰς γραφὰς· εἰ οὖν εἷς κατὰ ἀλήθειαν ὁ Χριστὸς ὀνόματί τε καὶ πράγματι, καὶ κατ' οὐδένα τρόπον ἐπὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως δύο λέγειν Χριστοὺς ἐνδέχεται, ταυτὸν δὲ ὁ Χριστὸς τῇ αὐτοῦ φύσει, ἤγουν οὐσίᾳ, ἐπεὶ καὶ τῶν ὄντων ἕκαστον, μία δηλονότι καὶ ἡ τοῦ Χριστοῦ φύσις ἐξ ἀνάγκης ἔσται.

Ἕτερον πρόβλημα τῶν αὐτῶν.

20. Ὥσπερ εἰ καὶ πλείονες ἐν τῷ ἡλίῳ φυσικῶν δυνάμεων θεωροῦνται διαφοραὶ, εἶεν φέρε εἰπεῖν τὸ φωτιστικὸν αὐτοῦ καὶ τὸ θερμαντικὸν, ἔτι δὲ τὸ τριχῇ διαστατὸν, καὶ τὸ σφαιρικὸν, καὶ κυκλοφορικὸν, καὶ εἴ τι τυγχάνει τοιοῦτον ἄλλο, οὐκ ἤδη καὶ πλείονας τὰς τοῦ ἡλίου φύσεις λέγειν ἀνάγκη· οὐδὲν γὰρ καθ' ἑαυτὸ τῶν τοιούτων ἡλίου φύσιν ἐργάζεται, ἀλλὰ τὸ ἐκ πάντων ἅμα τῶν εἰρημένων σύγκριμα, ἓν καὶ πλείονα τυγχάνον, ἕνα τὸν ἥλιον καὶ μίαν αὐτοῦ τὴν φύσιν ἐργάζεται· οὕτω καὶ ἐπὶ τοῦ

Digitized by Google

Θεανθρώπου Χριστοῦ, κἂν αἱ τῆς θεότητος ἐν αὐτῷ καὶ ἀνθρωπότητος θεωρῶνται διαφοραὶ, οὐκ ἀνέξονται δύο λέγειν αὐτοῦ τὰς φύσεις, εἰ κρίνειν ἀμηγέπη * τὴν τῶν πραγμάτων ὀρθῶς φύσιν δυνάμενοι· οὐδὲν γὰρ ἐκείνων καθ' ἑαυτὸ Χριστὸς ἂν εἴη, οὔτε τὸ θεῖον αὐτοῦ φημὶ, οὔτε τὸ ἀνθρώπινον· ἀλλὰ τὸ ἐξ ἀμφοῖν σύγκριμα, ἓν ὁπουθεν τυγχάνον, καὶ οὐ δύο, καὶ ἐν οὐδενὶ τῶν ὄντων ἐνθεωρούμενον ἑτέρῳ, ἕνα τὸν Χριστὸν, καὶ μίαν αὐτοῦ τὴν φύσιν ὁμολογεῖν ἡμᾶς ἐκ πάσης ἀνάγκης παρασκευάζει.

* ita codices duo.

Ἕτερον πρόβλημα.

21. Εἰ ἡ δυὰς τῆς ἐκ μονάδος πρώτης διασκέψεως ἐστὶ δηλωτικὴ, ἡ δὲ διαίρεσις ἀντικειμένως ἔχει πρὸς τὴν ἕνωσιν, διὰ τοῦτο ἅμα τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ἡνῶσθαι τε καὶ διῃρῆσθαι ἀμήχανον, οὐδεμία ἄρα δυὰς, καθὸ ἐστὶ δυὰς, κατὰ τοῦτο λέγοιτ' ἂν ἡνῶσθαι, διῃρῆσθαι δὲ μᾶλλον· καὶ ἐπὶ τοῦ Χριστοῦ τίνυν εἰ δύο εἰσὶν αἱ τούτου φύσεις, καὶ οὐχὶ μία, πᾶσα δὲ δυὰς, καθὸ δυάς ἐστι, διχάς τις οὖσα διῄρηται κατ' ἐκεῖνο, καὶ οὐχ ἥνωται, καὶ αἱ τοῦ Χριστοῦ ἄρα δύο φύσεις κατ' αὐτὸ τὸ εἶναι δύο φύσεις τυγχάνουσαι καὶ οὐχὶ μία, κατ' αὐτὸ τοῦτο διῃρημέναι ἂν εἶεν, καὶ οὐχ ἡνωμέναι, καὶ Νεστορίου τὸ δόγμα εἰσάγεται.

Ἕτερον πρόβλημα.

22. Καὶ ἐπὶ τῶν συνεχῶν πολλάκις φέρομεν τὸν ἀριθμὸν, δύο φέρε εἰπεῖν πήχεων τὸ ξύλον λέγοντες· ἀλλὰ δυνάμει δύς φαμὲν εἶναι τὸ ἕν, οὐκ ἐνεργείᾳ· τῷ δὲ δύνασθαι τομὴν ὑπομένειν, καὶ δύο γενέσθαι, ταύτῃ φαμὲν αὐτὸ δύο τινῶν πήχεων εἶναι.

Ἕτερον πρόβλημα.

23. Εἰ ὁ Χριστὸς εἷς ἐστὶν ὀνόματί τε καὶ πράγμα-

Digitized by Google

τι, πᾶς δὲ ὁρισμὸς εἷς ὢν, εἰ μὴ ὁμώνυμος εἴη, μιᾶς φύσεως δηλωτικός ἐστι, καὶ ὁ τοῦ Χριστοῦ ἄρα ἀριθμὸς, μιᾶς τῆς αὐτοῦ φύσεως δηλωτικός ἐστιν· εἰ δὲ καθ' ὑμᾶς αἱ τοῦ Χριστοῦ δύο φύσεις δύο ἔχουσιν ὁρισμοὺς, οὐ ταυτὸ δηλοῦντας, καὶ ὁ Χριστὸς ἄρα εἷς ὢν, δύο ὁρισμοὺς ἕξει οὐ ταυτὸ δηλοῦντας· εἰ δὲ τοῦτο ἀδύνατον, παντὸς γὰρ πράγματος ἑνὸς ὄντος εἷς ἐστὶ καὶ ὁρισμὸς, οὐκ ἄρα δύο ἕξει καὶ ὁρισμοὺς ὁ Χριστὸς· εἰ δὲ τοῦτο, οὐδὲ δύο ἔσονται αὐτοῦ αἱ φύσεις· ἕκαστος γὰρ ὁρισμὸς μιᾶς φύσεως ἐστὶ δηλωτικὸς, εἴτε ἁπλοῦς εἴτε σύνθετος.

Ἕτερον.

24. Εἰ τὸ Χριστὸς ὄνομα οὐκ οὐσίας δηλωτικὸν, ἀλλὰ τῶν περὶ τὴν οὐσίαν τινὸς τῶν ἐκ τῆς ἑνώσεως, τῶν δύο φύσεων γενομένων δηλωτικόν ἐστι· τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ἡ τῶν φύσεων πρὸς ἀλλήλας σχέσις· δύο δὲ φύσεις καὶ ἑνωθεῖσαι μεμενήκασιν ἐν Χριστῷ, κατὰ μόνην ἄρα σχέσιν ψιλὴν ἡ τῶν φύσεων πρὸς ἀλλήλας γέγονεν ἕνωσις· ὡς ἐπὶ χορεῦ, καὶ οἰκίας, καὶ πόλεως, καὶ λίθων, καὶ ξύλων ἐν οἷς τὸ οἰκοδομούμενον, καθὼς καὶ Νέστόριος δογματίζων εὑρίσκεται.

Ἕτερον.

25. Εἰ τὰ ἡνωμένα ἓν γίνεται, τὰ μὴ γενόμενα ἓν οὐχ ἥνωται ἐξ ἀνάγκης· εἰ οὖν δύο καὶ οὐ μία τυγχάνουσιν αἱ τοῦ Χριστοῦ φύσεις, ἡ δὲ δυὰς διχάς τις οὖσα, διαιρέσεως ἐστὶ δηλωτικὴ, τὰ δὲ διῃρημένα οὐχ ἥνωται, οὐκ ἄρα ἡνωμέναι εἰσὶν αἱ τοῦ Χριστοῦ φύσεις· εἰ τοίνυν διὰ τὸ ἀσύγχυτον δύο εἶναι τὰς τοῦ Χριστοῦ φύσεις ἀξιοῦσιν, ἀλλὰ διὰ τὴν ἕνωσιν, μίαν αὐτοῦ τὴν φύσιν λέγειν ἀναγκασθήσονται.

Digitized by Google

Ἕτερον.

26. Οὐχ ὅσαι πράγματος ἑκάστου ἰδιότητες, τοσαῦται καὶ φύσεις τούτου εἰσὶν· ἢ γὰρ ἂν οὐδὲν τῶν ἐχόντων ἰδίαν ὕπαρξιν, μιᾶς ἔσται φύσεως, πλειόνων ἰδιοτήτων ἤτοι διαφορῶν ἐν ἑκάστῳ θεωρουμένων, ἀλλὰ τὸ ἐκ πάντων σύγκριμα τῶν συμπληρούντων τὸ ὑποκείμενον, φύσις ἐστὶ· πυρὸς μὲν γὰρ τὸ φωτιστικὸν, καὶ τὸ κοῦφον ἴδιον· ἀλλ' οὐ φύσιν πυρὸς τὸ φωτιστικὸν, ἢ τὸ κοῦφον εἶναι φαμὲν· ὥσπερ καὶ ἀέρος ἰδιότητες τὸ ἀχρωμάτιστον, τὸ διηχὲς· ὡς καὶ ἐπὶ τῶν ἄλλων στοιχείων ἐςὶν ἰδεῖν ἑτέρας ἰδιότητας· ἀλλ' οὐδεὶς τολμήσει διὰ τὸ πολλὰς ἕκαστον τούτων ἰδιότητας ἔχειν, οὕτω καὶ πολλῶν εἰπεῖν εἶναι φύσεων· οὕτω τοίνυν καὶ ἐπὶ τοῦ Χριστοῦ συνεστῶτος ἐκ θεότητος καὶ ἀνθρωπότητος, εἰ μὲν λέγοιεν δύο τὰς αὐτοῦ φύσεις, ἢ ἐν δύο φύσεσιν αὐτὸν θεωρεῖσθαι, ὥσπερ καὶ τὸ ὅλον ἐν τοῖς μέρεσι θεωρεῖσθαι λέγομεν, ἢ καὶ τοσάδε εἶναι τὰ τοῦ λόγου μέρη, τὸ ἓν τὸ ἐκ τῆς πάντων ἑνώσεως ἀποτετελεσμένον γινώσκοντες, ὡς εἰ καὶ τὸ τρίγωνον ἐν τρισὶν εὐθείαις ὑφεστάναι λέγοι τις, αὐτοῦ τοῦ τριγώνου σχήματος ἑνὸς ὄντος τοῦ ἐκ τῆς συναφῆς τῶν τριῶν εὐθειῶν ἀποτετελεσμένου, καὶ ἔτι τὴν οἰκίαν ἐν λίθοις εἶναι καὶ ξύλοις, ἑνὸς πάλιν τοῦ τῆς οἰκίας εἴδους ὑπάρχοντος, ὅπερ ἐκ τῆς ἐκείνων συνθέσεως γέγονεν, ἴσως ἄν τις συγχωρήσειε τῷ λόγῳ· εἰ γὰρ τὰ ἐξ ὧν ὁ Χριστὸς δύο, ἴσον ἂν εἴη τό τε ἐκ δύο φύσεων τὸν Χριστὸν εἶναι λέγειν, καὶ τὸ ἐν δύο φύσεσι, καὶ τὸ τρίγωνον ἐν τρισὶν εὐθείαις, καὶ ἐκ τριῶν, καὶ τὸ λοιπὸν τῶν εἰρημένων ἕκαστον, ὡς περὶ μόνην τὴν λέξιν, καὶ μὴ περὶ τὸ ἐκ τῆς λέξεως νοούμενον, τὴν διαφορὰν εἶναι· ὡς ἐξεῖναι μίαν τὴν τοῦ συνθέτου φύσιν λέγειν, ἐν δύο ταῖς

ἁπλαῖς τὸ εἶναι ἔχουσαν, ὥσπερ ἐν τοῖς μέρεσι πολλοῖς σῦσι μίαν τὴν ὁλότητα εἶναι φαμέν· εἰ δὲ μηδαμοῦ μίαν τοῦ ὅλου τὴν φύσιν σύνθετον δηλονότι φασὶ, καὶ ἡμεῖς τὴν ἐν δύο φωνὴν ὑποπτεύσομεν δικαιότατα· καὶ οὔτε διὰ τὸ ἕνα εἶναι τὸν Χριστὸν ἀρναύμεθα τὰ ἐξ ὧν τὸ ἓν τοῦτο συνέστηκεν, οὔτ' αὖ πάλιν διὰ τὸ δύο γνωρίζειν, τὰς εἰς εἰς ἕνωσιν συνελθούσας φύσεις, τὸ ἓν τὸ ἐκ τούτων ἀποτελεσθὲν οὐχ ὁμολογήσομεν· ὅπερ εἴτε φύσιν μίαν καλεῖν τινι φίλον, εἴτε ὑπόςασιν, εἴτε Χριστὸν ἕνα, οὐ διαφερόμεθα· δι' ἑκάστου γὰρ ἐξ ἀνάγκης καὶ τὰ λοιπὰ συνεισάγεται.

Ἀντίῤῥησις μία, οὐδ' ἀποτάδην καὶ αὕτη ἐκτεθεῖσα, πρὸς τὰς καταστρωθείσας ἄνωθεν δόξας τῶν μονοφυσιτῶν.

27. Ταιαῦτα μὲν οὖν, ὡς ἐκ βραχέων ἐστὶ γνῶναι, οἱ μίαν ἐπὶ Χριστοῦ φύσιν δοξάζοντες, ἐπισφαλῶς ἄγαν καὶ τὸ ὅλον ἀνενδέκτως φασὶν, ἐκ τῶν ἀνθρωπίνων καὶ καθ' ἡμᾶς ἐπιχειρημάτων συνιστᾶν πειρώμενοι τὰ θεοπρεπῆ· ὃ δὲ καὶ πρότερον εἴρηκα, τοῦτο καὶ νῦν φημὶ, ὡς δεήρηται ἡ τοῦ Εὐτυχοῦς καὶ Διοσκόρου δόξα καὶ τῶν συμφρόνων αὐτοῖς, οὐδὲ μία τίς ἐστι καὶ σύντροχος· αὐτὸς μὲν γὰρ Εὐτυχὴς τοῦ σώματος ἠρνήθη τὴν πρόσληψιν, μηδὲν λέγων ἀνθρώπειον τὸν θεὸν λόγον ἐκ τῆς παρθένου λαβεῖν, ἀλλὰ αὐτὸν ἀτρέπτως τραπέντα καὶ σάρκα γενόμενον, τὴν πάροδον μόνην διὰ τῆς παρθένου ποιήσασθαι· καὶ τῷ σταυρῷ προσηλωθῆναι καὶ προσωαγῆναι τὴν ἀπερίγραφον καὶ ἀπεριόριστον καὶ ἀχώρητον θεότητα τοῦ μονογενοῦς, καὶ ταύτην τῷ τάφῳ παραδοθεῖσαν, τετυχηκέναι τῆς ἀναστάσεως· ἰλιγγιάσας γὰρ πρὸς τὴν τῶν ἐναντίων σύνοδον, καὶ μὴ ἀποθαῤῥήσας πρὸς τὴν συνάφειαν, προεληλυθέναι τὸν

Digitized by Google

λόγον ἀπὸ γεννήσεως ἐδογμάτισε καὶ μὴ ἐν ἀληθείᾳ σῶμα ἐνδεδύσθαι, ἀλλὰ φαντάσαι τὴν οἰκονομίαν, ὡς ἐντεῦθεν πλασματώδη πάντα τὰ σωματικὰ ἐλέγχεσθαι τοῦ Θεοῦ, τὴν ἐκ τῆς μητρικῆς γαστρὸς προέλευσιν, τὴν σπαργάνωσιν, καὶ ἁπλῶς τὴν ὅλην τῆς οἰκονομίας περίοδον, καὶ οἷον σκιὰν καὶ εἴδωλον τῆς ἡμετέρας φύσεως, ἑαυτῷ προσενῶσαι τὸν λόγον.

28. Οἱ δὲ μονοφυσίται λεγόμενοι, ὥσπερ Εὐτυχὴς ὑποβολιμαίῳ προσώπῳ καὶ φασματώδει τὸν λόγον ὑποκρίνασθαι τὴν σάρκωσιν ἐδογμάτιζεν, οὕτω δὴ καὶ οὗτοι τὴν ἐναντίαν αὐτῷ τραπόμενοι, μίαν φύσιν ἐπὶ Χριστοῦ τετολμήκασι λέγειν· ἓν μὲν γὰρ καὶ μετὰ τὴν ἕνωσιν μεμενηκέναι φασὶ πρόσωπον, οὐ σῶζον δὲ τὰς συνεληλυθυίας φύσεις καθαρὰς καὶ ἀσυγχύτους ἐν τοῖς ἰδίοις ἰδιώμασιν, ἀλλὰ μετὰ τὴν ἕνωσιν ἀμφοτέρας ἕν τι γεγονέναι, συγχυθείσας ἐν τῇ παρ' ἀλλήλας ἀνακράσει· καί τοι κοινὸν ἕτερον ἐκ τοῦ μίγματος φανῆναι, ὥσπερ καὶ τὰ σώματα ἐκ τῶν τεσσάρων στοιχείων εἰληχότα τὴν κρᾶσιν, ἄλλό τι παρ' ἐκεῖνα τυγχάνει· οὔτε μὴν ὁ σίδηρος, οὔτε τὸ ἡμέτερον σῶμα, ἢ πῦρ ἐστι καθαρὸν, ἢ ἀὴρ, ἢ τί των ἄλλων στοιχείων, ἀλλ' ἐξ ἐκείνων μὲν συνεκράθη, ἄλλο δέ τι μετὰ τὴν σύγκρασιν γέγονε· τὸ δὲ, οὐχ οὕτως ἔχον ἐστὶν· ἀλλὰ τῆς θείας μορφῆς ἤτοι φύσεως, ἐν μιᾷ τῶν αὐτῆς ὑποστάσεων τῇ ἀνθρωπίνῃ οὐσίᾳ ἀτομωθείσῃ συνεληλυθυίας, οὐκ ἄλλό τι γέγονεν ἀπὸ τῆς ἀῤῥήτου ταύτης μίξεώς τε καὶ κράσεως, ἀλλὰ μετὰ τὴν ἕνωσιν αἱ φύσεις τὸ ἀσύγχυτον ἔχουσιν.

29. Ἵνα δὲ καὶ πρὸς τὸ παράδειγμα βλέψωμεν, ὁ καθ' ἕκαστον ὑποκείσθω ἄνθρωπος, εἰς οὗτινες ὑπόστασιν σῶμα διελήλυθε καὶ ψυχὴ· ἀλλ' οὐκ ἄλλό τι παρὰ ταῦτα ὁ μερικὸς ἄνθρωπος· πλὴν μέχρι τούτου ϛήτω ἡμῖν τὸ παρά-

Digitized by Google

δειγμα· προσωτέρω γὰρ χωροῦντες, πολλὴν τὴν διαφορὰν εὑρήσομεν· ἐπὶ μὲν γὰρ τοῦ μερικοῦ ἀνθρώπου, ἰδιαζόντως τὸ σῶμα καὶ ἡ ψυχὴ λέγονται, καὶ οὔθ' ἡ ψυχὴ σῶμα ἂν κληθείη ποτὲ, οὔτε τὸ σῶμα ψυχὴ προσαγορευθείη· ἐπὶ δὲ τῆς τοῦ θεοῦ καθ' ἡμᾶς ὑποστάσεως, καὶ τὸν θεὸν θαῤῥοῦντως ἂν εἴποιμεν ἄνθρωπον, καὶ τὸν ἄνθρωπον θεὸν, μεταχωρούντων ἀλλήλοις τῶν ὀνομάτων καὶ ἀντιδιδομένων, κατὰ τὴν ἄῤῥητον συμφυΐαν· καὶ τῶν μὲν μερικῶν ἀνθρώπων ἐστὶ τὸ κοινὸν εἶδος· διὸ ἀπαράλλακτοι κατὰ τοῦτο τὸ μερικὸν λέγονται· οἱ γὰρ κατὰ μέρος ἄνθρωποι τοῖς χαρακτῆρσι διεστηκότες, τὴν ἀπαραλλαξίαν κατὰ τὸ εἶδος ἔχουσι· τῆς δὲ θείας ἐκείνης τῶν φύσεων ὑποστάσεως, οὐκ ἔστι τί κοινὸν ὄνομα Χριστὸς ὀνομαζόμενον, ὥσπερ ἐφ' ἡμῶν ἄνθρωπος, ὅτι μὴ δὲ πολλοὶ οὕτως Χριστοὶ, ἀλλ' εἷς ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος τῇ θεότητι χρίσας τὴν ἀνθρωπότητα.

30. Εἰ δέ τις τὰ Εὐτυχοῦς φρονῶν ἀπαντήσει καὶ προβαλεῖται ὡς ὁ ἄνθρωπος ἐκ δύο συνίσταται φύσεων, τοῦτον δὲ ὁ θεὸς προσελάβετο, ἑτέρα φύσις παρὰ τοῦτον τυγχάνων, ὥστε ἐκ τριῶν φύσεων δοξάζειν χρεὼν τὸν Χριστὸν, δύο μὲν τῶν τοῦ ἀνθρώπου, ψυχῆς λέγω καὶ σώματος, μιᾶς δὲ τῆς εἰκείας, ἐκεῖνο πρὸς αὐτὸν λέγατο, ὅτι τὰ ἑνούμενα, ἐκ τῶν προσεχῶν ἑνοῦσθαι λέγεται, ἀλλ' οὐχὶ τῶν πόῤῥω· διὰ τί γὰρ αὐτὸς μὴ τὸν ἄνθρωπον ἐκ πέντε λέγεις συγκεῖσθαι, ἢ τό γε ὁλικώτερον ἐξ ἑπτὰ, μιᾶς μὲν τῆς ψυχῆς, τεσσάρων δὲ τῶν στοιχείων τοῦ σώματος, καὶ ἔτι ὕλης καὶ εἴδους, τῶν πορῥωτέρω; καὶ ἡμεῖς γοῦν τὸν Χριστὸν ἐκ δύο φύσεων δογματίζοντες, ὡς μίαν φύσιν τὸν ἄνθρωπον προσλαμβάνομεν, πρὸς τὸ προσεχὲς ἀφορῶντες, καὶ οὐ πρὸς τὰς φύσεις, ἐξ ὧν ἐκεῖνος συνέστηκεν.

Digitized by Google

31. Εἰ δὲ καὶ πρὸς ταύτην λυττᾷ τὴν ἐπίλυσιν, καὶ ἑτέραν προσθήσομεν· ὡς ὁ ἄνθρωπος, ἢ μερικός ἐστιν ἢ καθόλου· ἡμεῖς δὲ φαμὲν τὸν καθόλου ἄνθρωπον, τοῦτ' ἐστιν ἀνθρωπείαν φύσιν εἰληφέναι τὸν κύριον, ἥτις δὴ καὶ ἀσύνθετος ἐστὶ καὶ διὰ τοῦτο μία φύσις λέγεται· ἐπεὶ γοῦν τούτων κεινὸν τῆς ἀνθρωπίνης φύσεως λόγον ἀνέλαβεν, ἀτομώσας ἐν τῷ προσλήμματι, διὰ τοῦτο ἐκ δύο συνεστάναι τὸν κύριον δογματίζομεν φύσεων· ἓν δὲ πρόσωπον καὶ μετὰ τὴν ἕνωσιν λέγομεν, ὃ δὴ καὶ θεὸς ἐστὶ καὶ ἄνθρωπος τέλειος διὰ τὴν καινοπρεπεστάτην ἀντίδοσιν· μὴ γὰρ τὰς φύσεις παραχαράξας τὰ ἐξ ὧν ἐν οἷς ἄπερ πέφυκε σώζων ἐστίν· ἔκ τε γὰρ δύο ὑφέστηκε φύσεων, καὶ ἐν ταύταις ταῖς φύσεσι πέφυκε, μᾶλλον δὲ οὐδὲν ἕτερον παρὰ ταύτας ἐστὶν, ἀλλὰ τοῦτο αὐτό ἐστι δύο φύσεις θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος· οὐ γὰρ εἴ τι ἐξ ὧν ἐστι, τοῦτο δὴ αὐτὰ τυγχάνει τὰ ἐξ ὧν ἐστὶν· ἐκ πυρὸς γὰρ καὶ γῆς οὐρανὸς κατὰ Πλάτωνα συνέστηκεν· ἀλλ' οὐχ ἅπερ ἐκεῖνα, ὁ οὐρανὸς πέφυκεν· ὁ δὲ Χριστὸς ἐξ ὧν συνέστηκεν, ἐκεῖνα τυγχάνει, οὐκ ἄλλό τι ποιησάσης τῆς μίξεως· ἐκ δύο γοῦν φύσεων ὁ Χριστὸς, καὶ ἐν ταύταις ταῖς φύσεσιν· ἀλλὰ καὶ ἐπὶ παραδείγματος, εἷς μέν ἐστιν ὁ ἥλιος, φύσεις δὲ ἐν αὐτῷ δύο, ἡ μὲν τοῦ φωτὸς, ἡ δὲ τοῦ ἡλιακοῦ σώματος· καὶ ὁ Χριστὸς εἷς ἐστι, φύσεις δὲ δύο, ἡ μὲν ὑπὲρ ἡμᾶς, ἡ δὲ ἡμετέρα· ἐν γὰρ τῷ αὐτῷ καὶ ἑνὶ ὀνόματι, ἑκατέρων τῶν πραγμάτων σημασία δείκνυται, θεότητος λέγω καὶ ἀνθρωπότητος· διὸ καὶ ἄνθρωπος λέγεται ὁ Χριστὸς, καὶ θεὸς λέγεται ὁ Χριστὸς· ἀμέλει καὶ τοῦ σώματος τυπτομένου παρὰ τοῦ ὑπηρέτου, ὡς αὐτὸς πάσχων ἔλεγε, τί με δαίρεις; καὶ ἄψαυστος ὢν τὴν φύσιν, ὅμως ἔλεγε, τὸν νῶτον μου

Digitized by Google

ἔδωκα εἰς μάστιγας· ἃ γὰρ τὸ ἀνθρώπινον ἔπασχε τοῦ λόγου, ταῦτα συνὼν αὐτῷ ὁ λόγος εἰς ἑαυτὸν ἀνέφερε· διὰ τοῦτο καὶ ὁ ἥλιος ὁρῶν τὸν δημιουργὸν αὐτοῦ ἐν τῷ ὑβριζομένῳ σώματι ἀνεχόμενον, τὰς ἀκτῖνας συνέστειλε, καὶ ἐσκότισε τὴν γῆν.

32. Καὶ ὁ Θεολόγος Γρηγόριος οὕτω φησὶ· τοῦτο ἡ κενωθεῖσα θεότης, τοῦτο ἡ προσληφθεῖσα σὰρξ, οὐ τῇ πρὸς τὸν θεὸν λόγον ἑνώσει κατὰ τὴν ἀνάκρασιν συγχυθεῖσα, καὶ εἰς μίαν οὐσίαν ἀποτελεύσασα, οὐ γὰρ φυρμὸν ἡ ἀνάχυσιν ὁ λόγος πρὸς τὴν ἀνθρωπότητα ἔπαθεν, ἢ μετάστασιν τὴν εἰς ὅπερ οὐκ ἦν, ἀλλὰ σκηνώσας ἐν ἡμῖν, οὐ μεθῆκε τὸ ἴδιον· μεμένηκε δὲ ὅπερ ἦν, καὶ καθ' ἕνωσιν φυσικὴν νοεῖται ὡς ἕτερον ἐν ἑτέρῳ· τοὐτέστιν ἡ θεία φύσις ἐν ἀνθρωπότητι, μὴ παθοῦσα κράσιν ὁποίαν ἡ τῶν ὑγρῶν ἕνωσις· εἰ γὰρ κέκρανται αἱ φύσεις, εἰς μίαν μίξιν ἑτεροούσιαι τυγχάνουσαι, οὐδ' ὁπότερα σώζεται, ἀλλ' ἀμφότεραι συγχυθεῖσαι ἠφανίσθησαν· καὶ οὔτε χωρισμὸν ἀπ' ἀλλήλων, οὔτε διαίρεσιν ἐπιδέχονται κεκραμέναι· ἡνώθησαν δὲ ἀῤῥήτῳ καὶ ἀφράστῳ λόγῳ, καὶ τῶν ἁπλῶν ἑκάτερον ἐν τῷ συνθέτῳ τὸν τῆς ἰδίας φύσεως σώζει λόγον· ἐπεὶ καὶ ὧν ὁ λόγος οὐχ εἷς, τούτων οὐδὲ ἡ φύσις μία, πρὸς οὐδὲν ὑπὸ τῆς πρὸς ἄλληλα συνδρομῆς καὶ ἑνώσεως, μειουμένης αὐτῶν τῆς φυσικῆς τελειότητος· ὡς ἔστιν ἰδεῖν καὶ ἐπὶ τῆς ἑνώσεως τοῦ ἀέρος καὶ τοῦ φωτὸς· εἰλικρινὴς γὰρ ἡ ἑκατέρου φυσικὴ μεμένηκεν ἰδιότης, μηδὲν ὑπὸ τῆς ἑνώσεως παρατρωθεῖσα· οὔτε γὰρ τὸ φῶς ἀπήμβλυνέ τι τῆς ἑαυτοῦ φύσεως τὸ ἀέρι μιχθὲν, οὔτε πάλιν ὁ ἀὴρ, εἰς τὸν ἴδιον τῆς οὐσίας πέπονθε λόγον, καθὸ ἀήρ ἐστι τὸ φῶς δεξάμενος· ὅθεν καὶ φαμὲν παθεῖν τὸν Ἐμμανουὴλ τῷ πε-

Digitized by Google

φυκότι πεπονθέναι, καὶ μεμενηκέναι ἀπαθῆ τῷ κατ' οὐσίαν ἀπαθεῖ τῆς θεότητος· ὅτι ἄλλο καὶ ἄλλο τὰ ἐξ ὧν ὁ Χριστὸς· καὶ πάσχει μὲν ἀνθρωπίνως σαρκὶ, καθὸ ἄνθρωπος· ἀπαθὴς δέ ἐστι θεϊκῶς, ὡς θεὸς· οὐκ ἄλλος δέ ἐστι καὶ ἄλλος, ὡς ἠβούλετο Νεζόριος, οὕτω λῃρῶν· ὁ μὲν παθεῖν πεφυκὼς ἔπαθεν, ὁ δὲ ἀπαθὴς οὐκ ἔπαθεν ὡς θεός.

IV. ΠΕΡΙ ΤΗΣ ΠΕΜΠΤΗΣ ΣΥΝΟΔΟΥ,

Η ΤΙΣ ΤΗΝ ΤΕΤΑΡΤΗΝ ΣΥΝΟΔΟΝ ΕΠΕΚΥΡΩΣΕ ΚΑΙ ΕΚΡΑΤΥΝΕ, ΣΥΓΚΡΟΤΗΘΕΙΣΑ ΕΠΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΙΟΥΣΤΙΝΙΑΝΟΥ.

1. Περὶ τῶν συμβάντων μετὰ τὴν καθαίρεσιν αὐτίκα τοῦ Διοσκόρου καὶ Εὐτυχοῦς καὶ τὴν ἐπὶ συνόδου ἀνάγνωσιν καὶ παράδοσιν τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου πάπα Ῥώμης Λέοντος. Ἡ μὲν οὖν ἐν Χαλκηδόνι ἱερὰ καὶ θεία τετάρτη σύνοδος κεκύρωκεν οὕτω δοξάζειν καὶ ὁμολογεῖν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν θεότητι τέλειον καὶ ἐν ἀνθρωπότητι τέλειον, ἐν δύο φύσεσι γνωριζόμενον ἀσυγχύτως καὶ ἀδιαιρέτως, καὶ ἕνα τὸν αὐτὸν υἱὸν ὁμολογεῖν ὡς πρὸ τῆς ἐνανθρωπήσεως, καὶ μετὰ τὴν ἐνανθρώπησιν· τῆς τῶν φύσεων διαφορᾶς οὐδαμῶς ἀνῃρημένης μετὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον καὶ συντρεχούσης εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν· ὅθεν καὶ τῶν πατέρων ἕκαστος πολλὰ τοῦ βασιλέως ὑπερευξάμενοι Μαρκιανοῦ, εἰς τὰς οἰκείας ἐπαρχίας ἀπέτρεχον.

2. Τὸ δ' ἐκ τῆς Ἀλεξανδρείας ναυτικὸν ὃ κατῆρεν εἰς Κωνσταντινούπολιν ἅμα Διοσκόρῳ τῷ τῆς πόλεως ταύτης ἐπισκόπῳ καὶ τοῖς ὑπὸ τὴν ἐπικράτειαν αὐτοῦ χωρεπισκό-

Digitized by Google

ποις στασιάσαν πολλοὺς ἐργάζεται φόνους τῶν τῇ καθαιρέσει καὶ ἐξορίᾳ συναινεσάντων τοῦ ἱερέως σφῶν τοῦ Διοσκόρου, ἐκ τῶν ἔργων αὐτοῦ πιστούμενοι δραστικωτέραν εἶναι πυρὸς ἀπαιδευσίαν τὴν ναυτικήν· ἀλλὰ καὶ τῶν ἐκ Παλαισίνης ἱερέων ἐνδιατριβόντων ἔτι τῇ Κωνσταντινουπόλει, τινὲς τῶν μοναχῶν ἔχοντες τινὰ Θεοδόσιον ἔξαρχον αὐτῶν, ἤρξαντο τὸ τῆς ἐκκλησίας σῶμα διασπᾶν, καὶ ἄλυτον αὐτῆς χιτῶνα διαῤῥηγνύειν, καὶ τοὺς ἐν τῇ συνόδῳ ἐπισκόπους ἀναθεματίζειν, καὶ ἑτέρους χειροτονεῖν ἀντ' αὐτῶν· φημίζοντες ὡς ἡ σύνοδος ἐκύρωσε καὶ ἀνεκαίνισε τὸ Νεστορίου δόγμα, προφάσει τῆς δυϊκῆς φωνῆς τῶν φύσεων τοῦτο τερατευόμενοι· ὅθεν κατέλαβον πᾶσαν τὴν Παλαιστίνην καὶ Αἴγυπτον, καὶ τὰ ἐν τῇ ἐρήμῳ μοναστήρια· καὶ τὰ πλεῖστα τούτων παρέπεισαν, μὴ δέχεσθαι τὰ κυρωθέντα παρὰ τῆς τετάρτης συνόδου.

3. Διέλαμπε δὲ τοῖς ἐκεῖσε τότε μέρεσιν ὁ ἐπώνυμος ἐπ' ἀρετῇ πατὴρ ἡμῶν Εὐθύμιος, ὃς καὶ τῆς κακοδοξίας τῶν πλείστων ἀπέσχετο μετὰ καὶ τῶν σὺν αὐτῷ μοναχῶν· δεξάμενος γὰρ τὸν ἐν τῇ συνόδῳ ἐκφωνηθέντα ὅρον, συνεῖχεν αὐτοὺς καὶ παντοίως ἐπεχείρει πείθειν, ὡς ἔννομον ἡ σύνοδος καὶ ὀρθὴν ἐποιήσατο τὴν τῶν δύο φύσεων ἐκφώνησιν, καὶ πολλοὺς ἀπήλειφε καὶ παρεσκεύαζεν οὕτω φρονεῖν· ὡς δὲ τὸ κακὸν πλέον ἐπενέμετο, χειρὶ τῆς βασιλίσσης Εὐδοκίας μάλιστα κρατυνόμενον ἐκεῖσε περὶ τοὺς ἁγίους τόπους διατριβούσης, συνταξάμενος καὶ παραγγείλας τοῖς ἑαυτοῦ μοναχοῖς μὴ κοινωνῆσαι τῇ κακοδοξίᾳ Θεοδοσίου, ἀπεδήμησεν ἐν τῇ ἐρήμῳ· μετ' οὐ πολὺ δὲ γνωρίσαντος αὐτοῦ τῇ Εὐδοκίᾳ τὴν φανερωθεῖσαν αὐτῷ ἐκ Θεοῦ μετάστασιν αὐτῆς ἐκ τοῦ σώματος, ἐκείνης τε ἀνωμένης διὰ τὰ συμβάντα ἐν

Digitized by Google

Ῥώμῃ δεινὰ τῶν αὐτῆς συγγενῶν ἐκεῖσε αἰχμαλωτισθέντων, καὶ ταῦτα λέγοντος αὐτοῦ διὰ τὴν αἱρέσεως κοινωνίαν ἐπενεχθῆναι αὐτῇ, κατὰ θείαν συγχώρησιν, κἀκείνη τὲ τῆς τοιαύτης ἀπέσχη αἱρέσεως, καὶ τοῖς κυρωθεῖσιν ὑπὸ τῆς συνόδου ἐστοίχησε, καὶ τὰ τοῦ Θεοδοσίου ἀναθεμάτισε δόγματα, μίαν φύσιν τοῦ λόγου καὶ τῆς σαρκὸς δογματίζοντος, καὶ τὴν ἐν Χαλκηδόνι σύνοδον ἐξοστρακίζοντος· καὶ πολλοὶ τῶν ἀποσχιστῶν αὐτῇ ἐκοινώνησαν, καὶ τὰ τῆς ὀρθοδοξίας ἠσπάσαντο δόγματα.

4. Ταράχου δὲ πάλιν οὐ τοῦ τυχόντος τὴν ἐκκλησίαν κατέχοντος, Λέων ᾧ τὸ ἐπώνυμον μακέλλης, μετὰ Μαρκιανὸν βασιλεὺς ἀνακηρυχθείς, ἐβούλετο μὲν καὶ αὐτὸς σύνοδον συγκροτῆσαι περὶ τούτων· γνοὺς δὲ ὡς οὐ πρὸ πολλοῦ ἡ ἐν Χαλκηδόνι συνήθροιστο, καὶ μὴ θέλων αὖθις τοὺς ἐπισκόπους ταῖς συχναῖς ἀποδημίαις καὶ μεταβιβάσεσι καταπτύχεσθαι, τῆς καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόποις κελεύσεις ἀπέστειλε, δηλώσας δι' αὐτῶν, πεῖσιν ἔχουσι φρόνιμα περὶ τῆς ἐν Χαλκηδόνι συστάσης συνόδου, παραστῆσαι εἰ διὰ τάχους· οὗ γεγονότος, πλείους ἢ χίλιοι ἐπίσκοποι ὑπέγραψαν καὶ τὴν σύνοδον ἐπεκύρωσαν· τοῦ δὲ Λέοντος τὸν βίον μετηλλαχότος, Ζήνωνός τε καὶ Ἀναστασίου μετ' ὀλίγον βασιλευσάντων, παῤῥησίαν τοῦ λέγειν αὖθις κατὰ τῆς συνόδου οἱ δι' ἐναντίας ἐλάμβανον, καὶ τὸ τῶν ἰακωβιτῶν καὶ θεοδοσιανῶν ἐκώμασεν πλῆθος, μίαν φύσιν τοῦ λόγου καὶ τῆς σαρκὸς πρεσβευόντων, καὶ τὴν σύνοδον ἀναθεματιζόντων· οἱ δ' αὐτοὶ ἐπειρῶντο καὶ τὸν τόμον ἀνατρέψαι τοῦ ἐν ἁγίοις Λέοντος πάπα Ῥώμης· ἀλλ' Εὐλόγιος ὁ ἐν ἁγίοις τόν τε τόμον ἐξηγήσατο (1), καὶ καλῶς ἔχειν τοῦτον

(1) Eulogii fragmenta multa legesis apud nos Coll. vat.

Digitized by Google

ἀπέδειξε, καὶ μηδὲν σκολιὸν καὶ τῆς ὀρθοδόξου πίστεως ἀπέχον, τούτῳ ἐμφέρεσθαι διετράνωσεν ἅπασι· πλὴν καὶ αὐτὸς ἡ τε σύνοδος ἐπὶ πολὺ ἀμνημόνευτος ἔμεινε, καὶ πᾶς τις τὴν ἐκείνῳ θυμήρη ἐπεσπᾶτο ἀρχήν, καὶ διὰ τὸ ὡς εἰπεῖν ἕκαστον πρὸς τὴν δοκοῦσαν ἑαυτῷ πίστιν ἀποτρέχειν, πλῆθος ὅτι πολὺ αἱρετικῶν ἀνεφύη καὶ ἀποσχιστῶν· Ἀναστάσιος μὲν οὖν ὁ τῆς μεγάλης Ἀντιοχείας πρόεδρος ὑπὲρ τῆς συνόδου ἐνίσταται, καὶ δογματικοὺς κανόνας ἐγγράφως ἐκτίθεται· αὐτήν τε τὴν σύνοδον καλῶς ἐπὶ πᾶσιν ὁρίσαι παρίσησι, καὶ πλήρη θεοσεβείας εἶναι τὰ ταύτης συνίζησι δόγματα.

5. Οἱ δὲ περὶ Γάϊον, καὶ Διόσκορον, καὶ Ἰάκωβον, καὶ ὕστερον τὸν Σεβῆρον, καὶ τὸν φιλόπονον Ἰωάννην, τὸν καὶ συγγράμματα ἐξενηνοχότα πλεῖστα περὶ τῆς τοιαύτης αἱρέσεως δυσφορώτατα καὶ δυσέλεγκτα (1), μίαν μὲν φύσιν, δύο δὲ ὑποστάσεις ἀσεβέστατα ἐδογμάτισαν· πλὴν ἐνιαχοῦ τῶν οἰκείων βιβλίων, δύο καὶ αὐτοὶ φύσεις ἀνομολογοῦσιν· ἀλλὰ προσεκτέον ὥστε μὴ κλαπῆναι ἀπὸ τῆς τοιαύτης ἐναντιολογίας, μηδὲ ἀπατηθῆναι ὅτι ἐν μέρει καὶ αὐτοὶ τὰ ἡμῖν δοκοῦντα δοξάζουσιν, ὅπερ οἱ πολλοὶ μὴ ἀκριβοῦντες ὠφθησάν τε καὶ τρόπον τινὰ εἰς τὴν ἀσέβειαν αὐτῶν ἀπην-

T. VII, itemque aliqua classic. AA. T. X. Eulogii eiusdem homiliam in ramos palmarum habuit Holstenius, teste ipse in epistolis p. 209.

(1) De his Ioh. Philoponi operibus, quae mss. in manibus habemus, alibi nos locuturi sumus. Porro quae in sequentibus (itemque partim in praecedentibus) Nicetas noster de tot sectis Monophysitarum scribit, ea saepe ad verbum exscribit Nicephorus Callistus lib. XVIII. 45. et seqq. qui plus centum post Nicetam annis historiam suam alienis exuviis auxit atque exornavit. Itaque nos pleraque omisimus.

Digitized by Google

ἐχθησαν· τί ποτ' οὖν ἐστὶ τὸ παρ' αὐτῶν δοξαζόμενον; ὅταν μὲν τὰς συνελθούσας τῷ θεῷ φύσεις καθ' ἑαυτὰς ἑκάστην διαστήσωσι, δύο ταύτας ἀνομολογοῦσιν ἀναγκαζόμενοι· ὅταν δὲ ἀμφοτέρας ἑνώσωσιν εἰς τὴν τοῦ λόγου σάρκωσιν, τότε οὐ δύο ἀσυγχύτους τὰς συνελθούσας τιθέασιν, ἀλλὰ μίαν φύσιν σύνθετον· ἡμῶν γὰρ μίαν ὑπόστασιν σύνθετον ὀνομαζόντων, ἐκεῖνοι μίαν σύνθετον φύσιν ἀντιτιθέασι, καὶ παραδειγματίζουσιν οὕτω τὸν λόγον· ὅτι ὥσπερ ὁ ἄνθρωπος ψυχὴν ἔχει καὶ σῶμα, καὶ ἄλλη μὲν φύσις ψυχῆς, ἄλλη δὲ σώματος, εἴ τις καθ' ἑαυτὴν ἑκάστην θεωροίη· ἐπειδὰν δὲ συνέλθωσιν, ἄνθρωπον ποιοῦσι φύσιν ἔχοντα μίαν σύνθετον· οὐδὲ γὰρ δεῖ λέγειν τὸν ἄνθρωπον, φασὶ, δύο φύσεις, ἀλλὰ μίαν σύνθετον, οὕτω δὴ καὶ τὸν Χριστὸν εἶονται ἐκ δύο μὲν συνεστηκέναι φύσεων· μετὰ δὲ ἕνωσιν, μίαν εἶναι φύσιν σύνθετον.

6. Διὰ ταῦτα καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος ἐξ ὧν, καὶ ἐν οἷς, φησι, καὶ ἅπερ, περὶ τῶν θείων δογματίζων φύσεων· τὸ μὲν γὰρ ἐξ ὧν τέθεικε, ἵνα τὴν ἐκ θεότητος δογματίσῃ ἕνωσιν· τὸ δὲ ἐν οἷς, ἵνα τηρήσῃ τὰς φύσεις, καὶ μετὰ τὴν ἕνωσιν· καὶ μὴ συγχέῃ ταύτας διὰ τὸ ἑνωθῆναι ἀλλήλαις· τὸ δὲ ἅπερ, ἵνα μὴ οἰηθῇ τίς ὅτι ἄλλος γέγονεν ὁ Χριστὸς μετὰ τὴν τῶν φύσεων ἕνωσιν· καὶ σκοπητέον τὴν ἀκρίβειαν τοῦ δόγματος· ἐκ τεσσάρων στοιχείων τὸ ἡμέτερον σῶμα ἀνωμολόγηται, πυρὸς, ἀέρος, ὕδατος, γῆς, καὶ ἐν τούτοις τοῖς στοιχείοις τὴν σύγκρασιν ἔχει· σώζεται γοῦν ἐν τῷ σώματι, καὶ τὸ ἐξ ὧν καὶ τὸ ἐν οἷς, οὐ μὴν τὸ ἅπερ· μετὰ τὴν ἕνωσιν τῶν στοιχείων, τὸ ἡμέτερον σῶμα οὔτε καθαρῶς ἐστι πῦρ, οὔτε εἰλικρινῶς ἀὴρ, οὔτε ἀθόλωτον, οὔτε ἀνόθευτος γῆ· ἀλλ' ἕτερόν τι παρὰ

Digitized by Google

τὰ τέσσαρα· καὶ δῆλον ἀπὸ τῆς αἰσθήσεως· ἕκαστον γὰρ τῶν μερῶν τοῦ ἡμετέρου σώματος, ἄλλο τί παρὰ τὰ στοιχεῖα ἐστὶν· ἐπὶ δὲ τῆς θείας ἑνώσεως οὐκ ἄλλό τι μετὰ τὴν συνδρομὴν τῶν δύο φύσεων γέγονεν· ἀλλ' αὐτὸ τοῦτο ἐστὶν ὁ Χριστὸς, καὶ θεὸς καὶ ἄνθρωπος.

7. Ἡ δὲ τοιαύτη αἵρεσις γέγονε παρὰ τὰς ἄλλας ὥσπερ ἀκριβεστέρα, διὰ τὸ σχεῖν πρεσβύτας ἄνδρας σοφοὺς· ὁ γάρ τις Ἰωάννης ὁ φιλόπονος ἐνομαζόμενος κατὰ μὲν τὴν ἰδέαν τοῦ λόγου, οὐ τῶν πάνυ ἐπαινουμένων ἐστὶ, φιλοσόφος δὲ ἀκριβέστερος καὶ περὶ τὰς ἀποδείξεις θαυμασιώτατος· ὃς δὴ ὑπὸ Σεργίου τοῦ τηνικαῦτα πατριάρχου Κωνσταντινουπόλεως παρακληθεὶς, τὴν τοιαύτην ἐν γράμμασι συστήσασθαι αἵρεσιν, συνεγράψατο λόγον δεινότατον, ἐπιγράψας αὐτῷ διαιτητὴν ἢ περὶ ἑνώσεως, καὶ ἐν δέκα κεφαλαίοις τὴν πᾶσαν τομὴν τῆς αἱρέσεως ἐξυφήνατο, πᾶσαν κινήσας πρὸς τοῦτο φιλοσοφίαν, καὶ πᾶσαν ἀπόδειξιν ἐξακριβωσάμενος· οὐ μέν τοι καὶ τοὺς ἐλέγχους διέδρα, παρὰ τῶν μετὰ ταῦτα λογίων καὶ πνευματικῶν τῷ ὄντι ἀνδρῶν· πολλοὶ μὲν γὰρ ἄλλοι τοῖς δογματισθεῖσιν ἐκείνῳ ἀντέθεντο, μάλιστα δὲ Λεόντιός τις μοναχὸς ἐν τριάκοντα κεφαλαίοις ἀνατρέψας τὴν αἵρεσιν, καὶ τὴν καθ' ἡμᾶς εὐσέβειαν κρατυνάμενος· καὶ ὁ θαυμασιώτατος δὲ Γεώργιος ὁ πισίδης ἡλικιώτης ὢν τῷ Φιλοπόνῳ, καὶ ὥσπερ εἰώθει ἐν μέτροις ἰαμβικοῖς πρὸς τὴν αἵρεσιν ἀντιβὰς, εἶτα δὴ καὶ παιδιὰν σπουδῇ κεραννὺς, οὕτω πῶς φησί.

Ψήφιζε θᾶττον τὴν μίαν τὲ καὶ μίαν.
Εἰ γὰρ μίαν τὲ καὶ μίαν λέγεις μίαν,
Γέλως τὸ λεχθὲν γίνεται καὶ παιδίοις.

etc. ut apud Nicephorum lib. XVIII. §8.

Digitized by Google

8. Αὕτη δὲ ἡ σύγχυσις καὶ ἡ στάσις τῆς ἐκκλησίας οὐδ' ὅλως ὑπέληγε, καὶ εἰ λασὶ πρὸς τὴν κιγκλίδα τοῦ θυσιαστήρου ἱστάμενοι παίειν ἠπείλουν τοὺς ἱερεῖς καὶ ἀτίμως ἐξωθήσειν τοῦ βήματος, εἰ μνείαν ποιήσαιντο τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ καταγραφὴν ἐν τοῖς διπτύχοις καὶ ἐκφώνησιν τῶν ἐκθεμένων αὐτὴν πατέρων· καὶ ταῦτα ἐπεκράτουν μέχρι τῆς Ἰουστινιανοῦ ἀναῤῥήσεως· αὐτοῦ δὲ τὰ τῆς βασιλείας ἀνειληφότος σκῆπτρα, οἱ τῆς αἱρέσεως ταύτης προστάται ὅσα καὶ κνώδαλα, εἰς χηραμοὺς καὶ καταδύσεις τὰς ἑαυτῶν ἔθεντο διατριβὰς· σύνεδος γὰρ ἐν Κωνσταντινουπόλει συγκροτεῖται ῥξέ ἁγίων πατέρων, ἐν οἷς ἦν Εὐτύχιος Κωνσταντινουπόλεως, Βιγύλιος Ῥώμης, Ἀπολινάριος Ἀλεξανδρείας, καὶ ἕτεροι, καὶ κυροῦται ἡ ἐν Χαλκηδόνι σύνοδος, τῶν αὐτῶν δογμάτων καὶ ἐν αὐτῇ ἐκφωνηθέντων, καὶ τοῦ συμβόλου τῆς πίστεως ὁμοίως ὑπαγορευθέντος· ἔτι γε μὴν καθ' ἑκατέραν φύσιν θελητικὸν τὲ καὶ ἐνεργητικὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τῆς ἡμῶν ἕνεκα σωτηρίας ὑπάρχειν ἐρίσαντες, ἀναθεματίζουσι τὰ τῶν Θεοδωρίτου κεφάλαια, καὶ τὴν τοῦ Ἴβα ἐπιστολὴν, τὴν πρὸς Μάριν συγγραφεῖσαν τὸν Πέρσην, καὶ τὰ Ὠριγένους συγγράμματα, ἔτι δὲ Θεόδωρον Μοψουεστίας· καὶ οὕτως ἐπὶ τὰ οἰκεῖα μετέβαινον.

10. Μετ' οὐ πολὺ δὲ πάλιν ὁ ἀκέφαλος Σεβῆρος τὴν ἐκκλησίαν κυκᾶν ἐπεβάλετο, μίαν φύσιν τοῦ λόγου καὶ τῆς σαρκὸς δογματίζων· καὶ μὴ δ' ἐν τούτῳ ἱστάμενος, ἀλλὰ καὶ βίβλους προφέρων, καὶ ἑρμηνείας γραφικὰς συντιθεὶς, καὶ παρεξηγούμενος τὰς γραφὰς· πλὴν καὶ οὗτος ὑπὸ Μηνᾶ τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κατακρίνεται, καὶ τὰ τούτου δόγματα ἀφανισμῷ παραδίδονται, συν-

Digitized by Google

ἐπαμυνόντων Ἀγαπητοῦ Ῥώμης, Πέτρου Ἱεροσολύμων, καὶ Ἐφραὶμ Ἀντιοχείας, καὶ πρὸς τούτοις Σωτηρίχου Καππαδοκίας· καὶ οὕτω πάλιν, λευκή τις νίκη καὶ φαιδρὰ καὶ εἰρηναία κατάσασις τοῖς ἐκκλησιαστικοῖς ἐπεμειδίασε πράγμασιν.

V. ΠΕΡΙ ΤΗΣ ΑΙΡΕΣΕΩΣ ΤΩΝ ΑΦΘΑΡΤΟΔΟΚΗΤΩΝ.

ΚΑΙ Η ΠΡΑΞΙΣ ΑΥΤΗ ΤΗ ΠΕΜΠΤΗ ΣΥΝΗΠΤΑΙ ΣΥΝΟΔΩ.

1. Θευδάτος ὁ τῶν Γότθων ἀρχηγὸς ὑπὸ Βελισαρίου τῆς οἰκείας ἀρχῆς τέλειον ἐκπεσεῖν κινδυνεύων, στέλλει τῷ βασιλεῖ Ἰουστινιανῷ πρεσβευτὴν Ἀγαπητὸν τὸν τῆς Ῥώμης ἀρχιερέα· ὁ δὲ καταλαβὼν τὸ Βυζάντιον, καὶ τῷ Ἰουστινιανῷ ἐντυχών, πρῶτον περὶ Θεοῦ καὶ τῆς εἰς αὐτὸν ὀρθῆς διαλέγεται πίστεως, καὶ τὴν εἰς τὸν θρόνον τῆς νέας Ῥώμης ἀναγωγὴν τοῦ Ἀνθίμου ὑπ' αἰτίαν ἐπεποίητο, ὅτι τε μὴ κανονικῶς ἐκ Τραπεζοῦντος, ἢ τῶν εἰς τὸν πολεμωνιακὸν πόντον κειμένων πόλεων τυγχάνει μετρόπολις εἰς τὴν Κωνσταντίνου μετενήνεκτο, καὶ ὅτι καὶ τῆς Σεβήρου κακοδοξίας μετέσχηκεν· ὁ δὲ βασιλεὺς σπουδῇ τῆς βασιλίδος Θεοδώρας τὸν Ἄνθιμον τῆς ἐν Κωνσταντινουπόλει καθέδρας ἠξιωκὼς, τῆς οἰκείας ἀντείχετο πράξεως· ἐνισαμένου δ' ἔτι τοῦ θείου Ἀγαπητοῦ, πολλάκις αὐτῷ ὑπείλησε κύριος εἶναι λέγειν καὶ πράττειν ὃ βούλοιτο· ὡς δ' ἐπεγέλα τῷ βασιλεῖ ἀπειλοῦντι, καὶ ἡδέως ἂν δέξασθαι καὶ σφαγὴν ἀντεπῆγε, καὶ μακαρίως εἶναι ἔλεγεν εἰ τοιούτου τέλους ἀξιωθείη, ἡδέσθη ὁ αὐτοκράτωρ τὴν τοῦ ἀνδρὸς κατὰ θεὸν παρρησίαν, καὶ μεταβαλὼν, ὑπὸ ζήτησιν τὸ δόγμα καθίστησι, καὶ τὸν Ἄνθιμον τοῦ θρόνου μεθίστησιν ἓν ἔτος αὐ-

Digitized by Google

τοῦ ἀπολαύσαντα, ἀντεισήγαγε δὲ Μηνᾶν, αὐχοῦντα μὲν πατρίδα τὴν κατ' Αἴγυπτον Ἀλεξάνδρειαν, ἐκφύντα δ' ἑνὸς τῶν ἐν ταύτῃ ἐπιφανῶν, καὶ λόγων εἰκ ἀνεμελήτως ἔχοντα, μάλιστά γε τῶν θεατέρων.

2. Τῆς ἀρχιερωσύνης τοίνυν Μηνᾶς ὁ θεῖος τυχὼν, ἢ μᾶλλον αὐτῆς εὐτυχησάσης τοῦτον, μερακὴν συγκροτεῖ σύνοδον σὺν τῷ πάπᾳ τῷ Ἀγαπητῷ, καὶ ἀναθέματι καθυποβάλλει Σεβῆρον καὶ Εὐτυχῆ, καὶ Πέτρον; τὸν ἀλικαρνασέα Ἰουλιανὸν, καὶ Ζώπυρον *, καὶ Ἄνθιμον, ὡς ἐκείνοις ὁμόφρονας· ἔτι δὲ ἐν τῷ Βυζαντίῳ διάγων ὁ ἱερώτατος Ἀγαπητὸς, τὸν βίον μετήλλαξεν· ὁ μέν τοι Μηνᾶς ἐπὶ δέκα καὶ ἓξ χρόνους τὴν ἐκκλησίαν ἰθύνας, τὴν ζωὴν κατέλυσε, καὶ ἀνήχθη εἰς τὴν ἀρχιερατικὴν καθέδραν τῆς νέας Ῥώμης. Εὐτύχιος τοῦ μακαρίου Μηνᾶ ἐκ θείας προειπόντος ἀποκαλύψεως, ὡς αὐτὸς εἴη ὁ τούτου διάδοχος· ἐφ' οὗ καὶ ἡ πέμπτη συνήθροιστο σύνοδος τῶν ρξέ ἁγίων πατέρων, ὡς εἰπεῖν ἔφθημεν, κατά τε τοῦ Ὠριγένους καὶ τῶν ἀλλοκότων ἐκείνου δοξῶν καὶ τῶν πρεσβευόντων τὰ ἐκείνου, Διδύμου καὶ Εὐαγρίου, εἴτινες τῶν ψυχῶν πρεῦπαρξιν ἐδογμάτιζον, καὶ τέλος τῆς κολάσεως ἔλεγεν, καὶ τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν, καὶ ἕτερα πλείονα· ἀλλὰ καὶ τὸν Μοψουεστίας Θεόδωρον τὰ Νεστορίου φρονοῦντα· παρόντος ἐν τῇ συνόδῳ τοῦ βασιλέως Ἰουστινιανοῦ καὶ συνευδοκοῦντος οἷς οἱ θεῖοι πατέρες θεσφιλῶς ἐδογμάτιζον.

3. Ἀλλ' οὔπω συχνῶς παριππεύκει καιρὸς, καὶ ὁ τῶν ζιζανίων σπορεὺς δαίμων τὴν εὐστάθειαν καὶ κατάστασιν τῆς ἐκκλησίας μηδαμῶς ὁρᾶν ἀνεχόμενος, τοῖς σωθρᾶς δόγμασιν ὥσπερ τισι μηχαναῖς διασαλεῦσαι ταύτην καὶ κατα-

* Ζωόραν.

Digitized by Google

βαλεῖν πειράμενος, βλασφημεῖν τινὰς ἀνέπεισεν ὡς ἐν προσχήματι εὐσεβείας, ὅτι ἡ ἐκ τῆς ἁγίας παρθένου τῷ Χριστῷ προσληφθεῖσα σὰρξ, πρὸ τοῦ πάθους ἄφθαρτος ἦν· καὶ τοῦ βασιλέως τῇ ἀσεβείᾳ τοῦ δόγματος ὑπαχθέντος, καθαιρεῖται τοῦ θρόνου καὶ ἀπελαύνεται ὁ μέγας Εὐτύχιος, τὸ δυσσεβὲς τοῦ πρεβλήματος ἐξελέγχων· καὶ ὁ μὲν ὑπερόριος γίνεται εἰς Ἀμάσειαν, ἔνθα καὶ τῆς ἀσκητοῦ ἀγωγῆς εἶχετο· ἀντεισάγεται δὲ πατριάρχης ὁ ἀπὸ σχολαστικῶν Ἰωάννης, Ἀντιοχείας ὢν ἀπαιρισιάριος.

4. Λέγεται δὲ Ἰουστινιανὸς παρὰ τῶν τὰ κατ' αὐτὸν συγγεγραφότων τοσοῦτον θεοφιλῆ ἔρον εἰς τὸν Χριστὸν τρέφειν, ὁπόσος οὐδενὶ τῶν πρὸ αὐτοῦ τε καὶ μετ' αὐτὸν βασιλεῖ μετά γε τὸν ἐν βασιλεῦσι τρισμέγιστον Κωνσταντῖνον ἐπιμαρτύρεται· ὥστε καὶ πολλὰ τῶν βιαίων δι' αὐτὸν εἰργάζετο· τούς τε γὰρ σαμαρείτας τῆς οἰκείας αἱρέσεως μὴ ἀφεσαμένους παντοίως ἐκάκωσε, καὶ τοὺς ἑβραίους οὐ ξυνεχώρει τὸ ἴδιον πάσχα πρὸ τῶν χριστιανῶν ἐκτελεῖν, καὶ τῇ τῶν ἀφθαρτοδοκήτων δόξῃ προσέσχε, μὴ ἐμβαθύνων τῷ δόγματι, τῇ δὲ σημασίᾳ τῆς λέξεως θρημυσσόμενος, καὶ μηδαμῶς ἀνεχόμενος τοιοῦτόν τι περὶ Χριστοῦ ἐνωτίζεσθαι· δωδέκατον δὲ χρόνον ἐν τῇ ὑπερορίᾳ τελέσαντος Εὐτυχίου, γίνεται μὲν ἐξ ἀνθρώπων ὁ βασιλεὺς Ἰουστινιανὸς· καταλύει δὲ τὸν βίον καὶ Ἰωάννης ὁ πατριάρχης· Ἰουστίνου δὲ καὶ Τιβερίου ἐπὶ τὰ σκῆπτρα τῆς βασιλείας ἀναχθέντων, λαμπρῶς τῆς ἐπανόδου καὶ δεξιώσεως παρά τε τῶν βασιλέων αὐτῶν καὶ τῶν ἐν τέλει πάντων τυχὼν Εὐτύχιος ἀναθέματι καθυποβάλλει τοὺς ἄφθαρτον τὸ τοῦ κυρίου σῶμα πρὸ τῆς ἀναστάσεως λέγοντας· καὶ θανὼν κατετέθη ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγίων ἀποστόλων τῶν μεγάλων κατὰ τὴν

Digitized by Google

κρηπίδα τῆς ἁγίας τραπέζης, ἔνθα Ἀνδρέου καὶ Τιμοθέου καὶ Λουκᾶ τὰ ὅγια κατάκειται λείψανα.

5. Ἦσαν δὲ ἀφθαρτοδοκῆται οἱ ἀπὸ Ἰουλιανοῦ τοῦ ἁλικαρνασέως καὶ Γαϊανοῦ τοῦ ἀλεξανδρέως λεγόμενοι ἰουλιανίται καὶ γαϊανίται, οἵτινες ἐν μὲν τοῖς ἄλλοις δόγμασι τῷ Σεβήρῳ συμφέρονται λέγοντες ἀδύνατον εἶναι φύσεν ὑποστῆναι καθ' αὐτὴν μὴ ἐν ἀτόμῳ τινὶ θεωρουμένην· ὡς γὰρ ἂν εἴη λίθου καὶ ξύλου μία ὑπόστασις τοὐτέστιν ἄτομον ἓν; καὶ εἰ τὸ Χριστὸς ὄνομα οὐκ οὐσίας δηλωτικόν, ἀλλὰ τῶν περὶ οὐσίαν τινὸς τῶν ἐκ τῆς ἑνώσεως τῶν δύο φύσεων γενομένων δηλωτικόν ἐστι· τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ἡ τῶν φύσεων πρὸς ἀλλήλας σχέσις· εἰ δὲ δύο ἐν Χριστῷ φύσεις καὶ μετὰ τὴν ἕνωσιν μεμενήκασι, κατὰ μόνην ἄρα σχέσιν ψιλὴν ἡ τῶν φύσεων πρὸς ἀλλήλας γέγονεν ἕνωσις, ὡς ἐπὶ χορτοῦ καὶ οἰκίας καὶ πόλεως καὶ λίθων καὶ ξύλων ἐν οἷς τὸ οἰκοδομούμενον, καθὼς καὶ Νεστόριος ἐδογμάτιζεν.

6. Καὶ πάλιν. Εἰ τὰ ἡνωμένα ἓν γίνεται, τὰ μὴ γενόμενα ἓν οὐχ ἥνωνται ἐξ ἀνάγκης· εἰ οὖν δύο καὶ μία τυγχάνουσιν αἱ τοῦ Χριστοῦ φύσεις, ἡ δὲ δυὰς διχάς τις οὖσα διαιρέσεως ἐστὶ δηλωτική, τὰ διῃρημένα οὐχ ἥνωνται, οὐκ ἄρα ἡνωμέναι εἰσὶν αἱ τοῦ Χριστοῦ φύσεις· εἰ δὲ διὰ τὸ ἀσύγχυτον, δύο εἶναι τὰς τοῦ Χριστοῦ φύσεις ἄξιόν ἐστιν, ἀλλά γε διὰ τὴν ἕνωσιν, μίαν αὐτοῦ τὴν φύσιν λέγειν ἀναγκασθήσονται. Καὶ αὖθις. Εἴπερ ἡ δυὰς τῆς ἐκ μονάδος πρώτης διαιρέσεως ἐστὶ δηλωτική, ἡ δὲ διαίρεσις ἀντικειμένως ἔχει πρὸς τὴν ἕνωσιν, εὐδεμία ἄρα δυὰς καθὸ ἐστὶ δυάς, κατὰ τοῦτο λέγοιτ' ἂν ἡνῶσθαι· καὶ αἱ Χριστοῦ τοίνυν φύσεις κατ' αὐτὸ τὸ εἶναι δύο τυγχάνουσαι καὶ

Digitized by Google

οὐχὶ μία, κατ' αὐτὸ τοῦτο διηρημένα ἂν εἶεν καὶ οὐχ ἡνωμένα· καὶ Νεστορίου τὸ δόγμα εἰσάγει.

7. Καὶ Σεβῆρος μὲν τοιαῦτα ὡς ἐκ πολλῶν ὀλίγα εἰπεῖν συλλογιστικῶς προὔφερε, μίαν ὑπόσασιν ἔτι δὲ καὶ μίαν φύσιν ἐπὶ Χριστοῦ γεγονέναι φάσκων μετὰ τὴν ἕνωσιν. Οἱ δὲ ἰουλιανίται καὶ γαϊανίται διαφορὰν φύσεων ἐπὶ Χριστοῦ μετὰ τὴν ἕνωσιν δογματίζοντες, ἄφθαρτον τὸ τοῦ κυρίου σῶμα ἐξ αὐτῆς διαπλάσεως ἔλεγον γεγονέναι· καὶ τὰ μὲν πάθη τὸν Χριστὸν ὑπομεῖναι, πεῖναν φημὶ καὶ δίψαν καὶ κόπον καὶ τὰ ἑξῆς, οὐ τὸν αὐτὸν δὲ τρόπον ἡμῖν ταῦτα πεπονθέναι· ἡμεῖς γὰρ ἐξ ἀνάγκης φυσικῶς ταῦτα πάσχομεν, ὁ δὲ Χριστὸς ἑκουσίως πάντα ὑπέμεινεν· οὐ γὰρ ἐδούλευε τοῖς νόμοις τῆς φύσεως.

8. Πρὸς οὓς φαμὲν ὅτι οὐδὲ αὐτοὶ λέγομεν ἀκουσία τοῦ Χριστοῦ τὰ πάθη, ἀλλ' ὅτι ἑκουσίως ἐδούλευε τοῖς νόμοις τῆς φύσεως ἐπίσης ἡμῖν· ὁ μὲν γὰρ μακάριος Ἀθανάσιος ἑρμηνεύων τὸ νῦν ἡ ψυχή μου τετάρακται, φησὶν ὅτι τὸ νῦν, τοῦτό ἐστιν ὅτε ἤθελεν· οὐ γὰρ τὸ μὴ ὄν, ὡς παρὼν ὠνόμαζεν ὡς δοκήσει γινομένων λεγομένων· φύσει γὰρ καὶ ἀληθείᾳ τὰ πάντα ἐγένετο. Ὁ δὲ Θεολόγος Γρηγόριος πάλιν, ὅτι ἐδίδου τῇ φύσει καιρὸν, ὅτε ἐβούλετο ἐνεργεῖν τὰ ἴδια. Κύριλλος δὲ ὁ Θαυμάσιος εἴρηκεν ἐφιέναι αὐτὸν τῇ σαρκὶ διὰ τῶν τῆς φύσεως ἰέναι νόμων· καὶ αὖθις ἑτέρωθι ἔλεγεν ὡς ἐπιτρέπει τῷ σώματι καὶ τῇ ἀνθρωπότητι τὰ τῇ φύσει προσόντα πάθη, εἰς ἀπόδειξιν τοῦ κατ' ἀλήθειαν φορέσαι σάρκα καὶ ἄνθρωπον γενετὸν κατὰ τὰς γραφάς· εἰ τοίνυν κατὰ τὸν σκοπὸν τῶν Θεοφόρων πατέρων τὸν αὐτὸν ἡμῖν τρόπον ἔπασχεν, εἰ καὶ ἑκουσίως καὶ ὅτε ἤθελε, πῶς δυνάμεθα τὸ πάσχον σῶμα, ἄφθαρτον εἰπεῖν καὶ μὴ φθαρτὸν τῇ φύσει ὥσπερ καὶ τὸ ἡμέτερον;

Digitized by Google

9. Ἀνταποκρίνονται δὲ πάλιν, ὅτι ὃν τρόπον μετὰ τὴν ἀνάστασιν ἄφθαρτον λέγοντες τὸ σῶμα Χριστοῦ ὁμοούσιον αὐτὸ λέγετε εἶναι ἡμῖν, τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς πρὸ τῆς ἀναστάσεως ἄφθαρτον λέγοντες, ὁμοούσιον αὐτὸ ὁμολογοῦμεν εἶναι· ἡμεῖς δὲ λέγομεν ὅτι εἰ καὶ ἄφθαρτον αὐτὸ ὁμολογοῦμεν μετὰ τὴν ἀνάστασιν, οὐ τῇ φύσει λέγομεν τὸ ἄφθαρτον, τῇ χάριτι δέ· εἰ δὲ εἴποιεν ὅτι καὶ πρὸ τῆς ἀναστάσεως χάριτι ἄφθαρτον, λέγομεν ὅτι οὐ συγχωρεῖ τοῦτο τὰ περὶ Χριστοῦ λεγόμενα· πρὸ μὲν γὰρ τῆς ἀναστάσεως καὶ πεινῆσαι λέγεται καὶ διψῆσαι καὶ τἆλλα παθεῖν· καὶ πῶς ἂν εἴη τὸ ταῦτα πεπονθὸς, ἄφθαρτον; μετὰ δὲ τὴν ἀνάστασιν οὐδὲν τούτων ἔπαθε.

10. Καὶ δῆλον ὅτι πρὸ μὲν τῆς ἀναστάσεως φθαρτὸν ἦν τὸ σῶμα, μετὰ δὲ τὴν ἀνάστασιν, ἄφθαρτον· εἰ γὰρ καὶ λέγεται φαγεῖν μετὰ τὴν ἀνάστασιν, τοῦτο δὲ οἰκονομίαν ἐποίησεν· οὐχ ὡς τῷ ὄντι πεινῶν, ἀλλ' ἵνα δείξῃ τοῖς μαθηταῖς αὐτοῦ ὅτι αὐτός ἐστιν ὁ ἀναστὰς ἐκ νεκρῶν· ὃν τρόπον καὶ τοὺς τύπους λέγεται ἐπιδεῖξαι αὐτοῖς· καίτοι ἡμεῖς οὐδὲν τῶν πρὸ τῆς ἀναστάσεως παθῶν ἀνιστάμεθα ἔχοντες· ἀπαρχὴ δὲ τῆς ἐκ νεκρῶν ἡμῶν ἀναστάσεως ὁ Χριστός· καὶ ὅμως αὐτὸς εὑρέθη ἔχων· ὡς δῆλον ὅτι δι' οἰκονομίαν τοῦτο γέγονεν· ἀμέλει οὐδὲ λέγει ἡ γραφὴ ὅτι ἐπείνησεν, ἀλλ' ὅτι ἔφαγε· δέον δὲ ἐπιστῆσαι ὅτι παραφέρουσι χρήσεις τινὰς ἀπὸ τῶν πατέρων, ἄφθαρτον τὸ σῶμα τοῦ Χριστοῦ λεγούσας· ὥσπερ καὶ ἀπὸ τοῦ μακαρίου Κυρίλλου εἰπόντος ὅτι οὐχ ὑπεδέξατο φθορὰν ἡ τοῦ λόγου σάρξ· ὅταν δὲ τὰς τοιαύτας παράγωσι χρήσεις, χρὴ σκοπῆσαι τὸ τῆς λέξεως σημαινόμενον· τὸ γὰρ τῆς φθορᾶς ὄνομα δύο σημαίνειν εἶδε, κατὰ δέ τινας καὶ τρία,

Digitized by Google

VI. ΠΕΡΙ ΤΗΣ ΕΚΤΗΣ ΣΥΝΟΔΟΥ.

1. Αὕτη συνέστη ἐπὶ Κωνσταντίνου βασιλέως τοῦ πωγωνάτου διὰ τὴν αἵρεσιν τῶν μονοθελητῶν, ἀρχθεῖσαν ἀπὸ Ἡρακλείου βασιλέως, καὶ διαρκέσασαν μέχρι καὶ αὐτοῦ τοῦ βασιλέως Κωνσάντινου τοῦ πωγωνάτου διεγγόνου ὄντος τῷ βασιλεῖ Ἡρακλείῳ· τούτῳ γὰρ τῷ βασιλεῖ τὰ ῥωμαίων σκῆπτρα διέποντι καὶ τὰς κατὰ περσῶν λαμπροτάτας νίκας ἀνύσαντι, ἐφ' αἷς καὶ χρόνος ἑστατεὶς ἐκμεμέτρηται, ὁ τῶν ἰακωβιτῶν πρόεσισι καθολικὸς περί που τὴν ἐκείνων χώραν ἀφικομένῳ· ὃν ἰδὼν ὁ βασιλεὺς ἠτιάσατο, μὴ τὴν ἐν Χαλκηδόνι προσιέμενον σύνοδον· καὶ παρῄνει τῆς τῶν μονοφυσιτῶν ἀφίσταναι δόξης, καὶ κηρύττειν ἐπὶ Χριστῷ, ἐπίσης τῷ ὀρθοδόξων συστήματι, δύο φύσεις ἀσυγχύτως ἡνωμένας ἀλλήλαις, τουτέστι θεότητα καὶ ἀνθρωπότητα, εἴγε βούλειτο πατριάρχης Ἀντιοχείας ὑπ' αὐτοῦ προβληθῆναι· ὁ δὲ καθολικὸς τῷ μεγαλείῳ τοῦ θρόνου ἐνηδυνθεὶς τὴν ψυχὴν ἐξ αὐτῆς τὴν μεταβολὴν τῆς αἱρέσεως ἐπηγγείλατο, καὶ δύο εἶναι Χριστοῦ δοξάζειν φύσεις κατέθετο· περὶ δὲ τῶν θελημάτων ἀγνοεῖν ἔλεγεν, εἰ χρεὼν καὶ ταῦτα δοξάζειν διττά, καὶ τὴν ἐκ Σεργίου τοῦ πατριάρχου Κωνσταντινουπόλεως διδαχὴν ἐξητεῖτο, ᾗδει γὰρ τοῦτον δοξάζοντα τὸν Χριστὸν μονοθέλητόν τε καὶ μονενέργητον· γράφει τοίνυν ὁ βασιλεὺς τῷ Σεργίῳ περὶ τοῦδε τοῦ ῥήματος· ὁ δὲ τὰ τῶν μονοθελητῶν πάλαι πρεσβεύων, ἀντεπιστέλλει τῷ βασιλεῖ, καὶ χρῆναι λέγει μίαν ἐνέργειαν καὶ μίαν θέλησιν ἐπὶ Χριστοῦ δογματίζειν· ἐς ὕστερον δὲ Ἡράκλειος τὴν πόλιν καταλαβὼν, καὶ Κῦρον τὸν Φάσιδος εἰς ἄψιν

Digitized by Google

αὐτῷ ἐλθόντα περὶ τούτου τοῦ δόγματος ἐρωτήσας, καὶ τῷ Σεργίῳ εὑρὼν ὁμογνώμονα, τὴν θολερὰν τῆς δόξης ταύτης ἀνατροπὴν ποτίζεται καὶ αὐτὸς παρὰ τῶν μισθωτῶν ἐκείνων καὶ μὴ ποιμένων, καὶ τῇ τῶν μονοθελητῶν αἱρέσει συντίθεται.

2. Τοῦτο δ' εἰς ὦτα δεξάμενος ὁ Ἱεροσολύμων Σωφρόνιος, εἰς τὴν Κωνσταντίνου καλλίπολιν παραγίνεται, καὶ Σεργίῳ συγγενόμενος, πειρᾶται τοῦτον ἐπανορθοῦν, λέγων μηδέν τι διενηνοχέναι τοῦ μίαν φύσιν λέγειν ἐπὶ Χριστοῦ, τὸ δογματίζειν ἓν θέλημα καὶ μίαν ἐνέργειαν, καὶ ὡς οὕτω πάλιν ἡ τῶν μονοφυσιτῶν αἵρεσις ἐπεισάγεται, ἣν ἡ ἐν Χαλκηδόνι σύνοδος ἀπόβλητον ἔκρινε· καὶ παρεκάλει τὸν Σέργιον, μὴ καὶ αὖθις τὴν ἐκκλησίαν εἰς ἀγῶνας ἐμβαλεῖν· Σωφρονίου δὲ τῆς Κωνσταντίνου ἀπάραντος, Ἡράκλειος καὶ Σέργιος σύμψηφον ἔχοντες καὶ Ἰωάννην (1) τὸν τῆς παλαι-

(1) Dic *Honorium*, cuius causae tractandae non est hic locus; quamquam Sophronii in longissima synodica epistola silentium de Honorio, ubi tot haereticos etiam viventes appellat, Honorii innocentiam denotare videtur. Certe Iohannem papam (quartum) cum orthodoxis potius connumeravit laudavitque noster Sophronius, teste S. Maximi biographo in codice vat. 353. p. 139. b. his verbis: ἐπεὶ δὲ τὸ κατ' ἐκεῖνο καιροῦ Σωφρόνιος τὸν ἐν Ἱεροσολύμοις θρόνον ἐνεχειρίσθη, ἀνὴρ εὐσεβείᾳ λάμπων καὶ ἀρετῇ, συναθροίζονται περὶ τοῦτον ὅσον ἀρχιερατικὸν καὶ ὀρθόδοξον, διαβάλλον μὲν σὺν αὐτῷ καὶ ἀναθέματι περιβάλλον τοὺς μίαν ἐπὶ τοῦ Χριστοῦ φυσικὴν ἐνέργειαν, καὶ ἓν δοξάζοντας θέλημα, εὐφημοῦν δὲ καὶ ἀνακηρύττον τοὺς πρὸς ταῖς δύο φύσεσι καὶ τὰς διττὰς ἐνεργείας μετὰ τῶν ἴσων θελημάτων ὁμολογοῦντας καὶ περιέποντας· βουλόμενος δ' ὁ ἱερὸς οὗτος ἀνὴρ καὶ μείζονος διατρανῶσαι τὰ ἐκτεθέντα, δηλοῖ ἀνὰ μέρος περὶ αὐτῶν καὶ Ἰωάννῃ τῷ Ῥώμης, οὕτω γὰρ ἐκαλεῖτο ἐκεῖνος, καὶ Σεργίῳ τῷ Κωνσταντινουπόλεως, ἀλλὰ μὴν καὶ Κύρῳ τῷ Ἀλεξανδρείας, τοὺς μὲν κακίζων καὶ πολλὰ φαυλίζων τοῦ δόγματος, τὸν δ' ὡς εἰκὸς ἐπαινῶν

Digitized by Google

τέρας Ῥώμης τηνικαῦτα πρόεδρον, ἐν θέλημα τοῦ λόγου καὶ τῆς σαρκὸς ἐδογμάτισαν, καὶ γράμματα περὶ τούτου πανταχοῦ διεκπέμψαντες, τὰς ἐκκλησίας διέσπασαν.

3. Ἡρακλείου δὲ τὸν βίον ἀπολιπόντος κατὰ τὸν τριακοστὸν πρῶτον χρόνον τῆς βασιλείας αὐτοῦ, καὶ Σεργίου τὸ ζῆν καταστρέψαντος, ὁ μὲν Πύῤῥος τὸν τῆς ἱερωσύνης διαδέχεται θρόνον ὁμόδοξος ὢν τῷ Σεργίῳ, τὴν δὲ βασιλείαν Κωνσταντῖνος ὁ παῖς Ἡρακλείου κληροῦται· τούτου δὲ φαρμάκῳ τὴν ζωὴν καταλύσαντος μετὰ χρόνον ἕνα τῆς μοναρχίας, εἰς Μαρτίναν καὶ τὸν Ἡρακλεωνᾶν τὸν ἐξ αὐτῆς Ἡρακλείῳ ἀποτεχθέντα, ἡ βασιλεία μεταχωρεῖ· μισηθέντες δὲ ὑπὸ πάντων, διὰ τὸν τοῦ Κωνσταντίνου θάνατον, τῆς αὐταρχίας ἐκπίπτουσιν· ἐκβάλλεται δὲ καὶ Πύῤῥος τῆς ἐκκλησίας, καὶ φυγὴν ἐς μέρη τὰ ἑσπέρια κατακρίνεται, ὡς συμμέτοχος Ἡρακλεωνᾶ καὶ Μαρτίνῃ τῆς τοῦ βασιλέως Κωνσαντίνου δολοφονήσεως, καὶ εἰς μὲν τὸν βασίλειον θρόνον ὁ τοῦ Κωνσταντίνου υἱὸς Κώνστας ἀνάγεται, εἰς δὲ τὸν ἀρχιερατικὸν Παῦλος ὁμογνωμονῶν Σεργίῳ καὶ Πύῤῥῳ.

4. Ἐπὶ τούτου βασιλέως ὁ φιλοσόφος Μάξιμος ἀσηκρῆτις ὢν, καὶ παρὰ βασιλεῦσι τετιμημένος τὰ μέγιστα, πάντα παρεὶς, τὸ ἐν τῇ Χρυσοπόλει καταλαμβάνει μοναστήριον, καὶ τὴν κοσμικὴν ἀποτίθεται τρίχα, μὴ φέρων τὴν τῶν μονοθελητῶν αἵρεσιν παῤῥησιαζομένην ὁρᾶν, μὴ δ' ἀνεχόμενος συνδιάγειν, καὶ κοινωνεῖν ὁμιλίας βασιλεῖ καὶ πα-

τὸν Ἰωάννην καὶ μυρίοις καταστέφων τοῖς ἐγκωμίοις. Hoc ego perhonorificum non de Iohanne papa solum, sed etiam de Sophronio, testimonium libenter heic recitavi. Adde sis Theophanem ed. paris. p. 274, et lege quae scribit copiose Binius Concil. Labb. T V. p. 1756–7.

Digitized by Google

τριάρχῃ ἔκθεσμον τοιαύτην ἐπαιρατύνουσιν αἵρεσιν· ἔπειτα καὶ εἰς Ῥώμην τὴν μεγαλώνυμον ἄτεισιν, ἔνθα καὶ τῷ Πύῤῥῳ εἰς διάλεξιν ἦλθεν ἐκεῖσε παραγενομένῳ μετὰ τὴν καθαίρεσιν, καὶ πείθει τὸν ἁγιώτατον τότε πάπαν Μαρτῖνον τοπικὴν ἀθροῖσαι σύνοδον, καὶ δοῦναι τῷ ἀναθέματι τοὺς ἐπὶ Χριστοῦ μίαν δογματίζοντας θέλησιν· ὃ καὶ γέγονε συνελθόντων ἐπισκόπων ἑκατὸν σὺν πέντε καὶ εἴκοσι· ἐκ δὲ τῆς Ῥώμης ἐπανελθὼν Μάξιμος μετὰ τῶν δύο Ἀναστασίων τῶν αὐτοῦ μαθητῶν, ὑπὸ τῆς συγκλήτου εὐθύνεται, καὶ κατὰ τὴν Θράκην φρουρᾷ παραδίδοται, εἶτα καὶ τὴν χεῖρα καὶ τὴν γλῶτταν ἐκτέμνεται, μετὰ καὶ τῶν αὐτοῦ μαθητῶν· ἀλλὰ καὶ Μαρτῖνος ὁ ἁγιώτατος ἐκσφενδονᾶται τοῦ θρόνου καὶ ὑπερορίᾳ καταδικάζεται, ἐν ᾗ καὶ τὸν βίον ἀπέλιπε.

5. Τοῦ δὲ Κώνσταντος τελευτήσαντος, ὁ τούτου παῖς Κωνσταντῖνος ὃς ἐπεκέκλητο πωγωνάτος, τὴν βασίλειαν παρείληφε· καὶ οὗτος ὀρθόδοξος ὢν ἐν Κωνσταντινουπόλει σύνοδον συνεκρότησεν, ἑνῶσαι τὰς ἐκκλησίας γλιχόμενος, ἧς ἡγοῦντο τοποτηρηταὶ τοῦ πάπα Ῥώμης Ἀγάθωνος, Γεώργιος Κωνσταντινουπόλεως, Θεοφάνης Ἀντιοχείας· Ἀλεξανδρείας δὲ οὐκ ἦν πατριάρχης, οὔτε μὴν Ἱεροσολύμων· ὑπὸ γὰρ τῶν Σαῤῥακηνῶν αἱ πόλεις αὗται κατείχοντο· καὶ κυροῦται τὸ δύο θελήσεις καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς Χριστοῦ καὶ λέγεσθαι καὶ πιστεύεσθαι· καθυπεβλήθησαν δὲ ἀναθέματι οἱ προσάται τῆς τῶν μονοθελητῶν αἱρέσεως, εἰ καὶ τὸ ζῆν προκατέλυσαν, Ὀνώριος Ῥώμης, Κῦρος Ἀλεξανδρείας, Σέργιος καὶ Πῦῤῥος, Παῦλος τε καὶ Πέτρος Κωνσταντινουπόλεως, Μακάριος Ἀντιοχείας, καὶ ὁ τούτου φοιτητὴς Στέφανος, καὶ ὁ νηπιόφρων Πολυχρόνιος· ἠγωνίσαν-

Digitized by Google

το δὲ κατὰ ταύτην τὴν σύνοδον μάλιστα ὑπὲρ τοῦ εὐσεβοῦς δόγματος, Στέφανος Ἡρακλείας Πόντου ἐπίσκοπος, ἀνὴρ λόγιος καὶ μικροῦ πᾶσαν τὴν Θείαν γραφὴν ἐπὶ στόματος φέρων, καὶ Ἰωάννης Ἀθηνῶν.

6. Ἰουστινιανοῦ τοῦ εὐσεβεστάτου βασιλέως ἐκ τῆς πρὸς Ζώϊλον τὸν ἁγιώτατον πατριάρχην Ἀλεξανδρείας δογματικῆς ἐπιστολῆς (1).

Εἷς οὖν ἐστὶν ὁ Χριστὸς, οὐκ ἀνηρημένης τῆς τῶν φύσεων διαφορᾶς διὰ τὴν ἄφραστον ἕνωσιν, λόγος νοούμενος καὶ ἄνθρωπος θεωρούμενος· οὔτε γὰρ ἡ ἕνωσις σύγχυσιν ἀπειργάσατο, οὔτε ἡ διαφορὰ τῶν ἐν αὐτῷ οὐσιῶν τομὴν εἴτουν διαίρεσιν ἐπιδέχεται· βλέποντες γὰρ τοῦ Χριστοῦ τὰ θαύματα, κηρύττομεν αὐτοῦ τὴν θεότητα· ὁρῶντες αὐτοῦ τὰ πάθη, οὐκ ἀρνούμεθα αὐτοῦ τὴν ἀνθρωπότητα· οὐδὲ τὰ θαύματα δίχα σαρκὸς, οὐδὲ τὰ πάθη χωρὶς τῆς θεότητος· καὶ ἔστι παράδοξον ὅτι αὐτὸς ἦν ὁ πάσχων, καὶ μὴ πάσχων· πάσχων μὲν, ὅτι τὸ ἴδιον αὐτοῦ ἔπασχε σῶμα· καὶ ἐν αὐτῷ τῷ σώματι ἦν μὴ πάσχων ὁ τῇ φύσει θεὸς ὤν, ὁ λόγος ἀπαθὴς ἦν· καὶ αὐτὸς μὲν ὁ ἀσώματος ἦν ἐν τῷ παθητῷ σώματι· τὸ δὲ σῶμα εἶχεν ἐν ἑαυτῷ τὸν ἀπαθῆ λόγον, ἀφανίζοντα τὰς ἀσθενείας αὐτοῦ τοῦ σώματος· ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας, ὅπερ ἴδιον ἔσχηκε· τοῦ μὲν λόγου κατεργαζομένου τοῦτο ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τοῦ σώματος· τοῦτο γὰρ καὶ ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῷ

(1) Citat hoc scriptum suum Iustinianus in alio suo opusculo a nobis edito Coll. vat., T. VII. p. 309. Citat rursus Agatho papa in epistola ad imperatores Concil. Labb. T. VI. p. 663. B.

Digitized by Google

λβ' λόγῳ τοῦ Θησαυροῦ διδάσκει τὴν πρὸς Ῥωμαίους ἑρμηνεύων ἐπιστολήν· οὐδήπου μίαν εἶναι φυσικὴν τὴν ἐνέργειαν δώσομεν Θεοῦ καὶ ποιήματος, ἵνα μήτε τὸ ποιηθὲν εἰς τὴν Θείαν ἀναγάγωμεν οὐσίαν, μήτε μὴν τῆς Θείας φύσεως τὸ ἐξαίρετον εἰς τὸν τοῖς γεννητοῖς πρέποντα καταγάγωμεν τόπον· ὁ αὐτὸς δὲ ἅγιος πατὴρ καὶ ἐν τοῖς πρὸς Θεοδόσιον τὰ αὐτὰ ἡμᾶς ἐκδιδάσκει λέγων· ὅλον ὅλῃ συνηνῶσθαι φαμὲν τῇ καθ' ἡμᾶς ἀνθρωπότητι τὸν ἐκ Θεοῦ λόγον· οὐ γάρ που τὸ ἄμεινον ἐν ἡμῖν, τουτέστι ψυχὴν, εὐδενὸς ἂν ἠξίωσε λόγου μόνῃ δωρούμενος τῇ σαρκὶ τῆς ἐπιδημίας τοὺς λόγους· ἐπράττετο δὲ δι' ἀμφοῖν καλῶς τῆς οἰκονομίας τὸ μυστήριον· προσεχρήσατο καθάπερ ὀργάνῳ τῇ ἰδίᾳ σαρκὶ πρὸς τὰ σαρκὸς ἔργα τε καὶ ἀῤῥωστήματα φυσικὰ καὶ ὅσα μώμου μακρὰν· ψυχῇ δ' αὐτῇ ἰδίᾳ πρὸς τὰ ἀνθρώπινά τε καὶ ἀνυπαίτια πάθη· πεινῆσαι γὰρ λέγεται, πόνους τε ὑπενεγκεῖν τοὺς ἐκ μακρῶν ὁδοιπορίων, πτοήσεις τε καὶ φόβους καὶ λύπην καὶ ἀγωνίαν καὶ τὸν ἐπὶ τῷ σταυρῷ θάνατον· ἐπαναγκάζοντος γὰρ οὐδενὸς ἔθηκεν ἀφ' ἑαυτοῦ τὴν ἰδίαν ψυχὴν ὑπὲρ ἡμῶν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ· σάρκα μὲν τὴν ἰδίαν, τῆς ἁπάντων σαρκὸς ἀποτινυὺς ἀληθῶς δῶρον ἀντάξιον· ψυχὴν δ' ἀντὶ ψυχῆς ἀντίλυτρον τῶν ἁπάντων ποιούμενος· εἰ καὶ ἀνεβίω πάλιν ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς Θεὸς· οὐ γάρ τοι θέμις εἰπεῖν φθορᾷ μὲν δύνασθαι κρατεῖσθαι ποτὲ ἑνωθεῖσαν τῷ λόγῳ σάρκα, κάτοχον δὲ αὐταῖς ἅδου πύλαις τὴν Θείαν γενέσθαι ψυχήν· οὐκ ἐγκατελείφθη γὰρ εἰς ᾅδου, καθὰ καὶ ὁ Θεσπέσιος ἔφη Πέτρος· οὐ γάρ ἐστιν εἰπεῖν ὡς τὴν ἅλιπτον παντελῶς καὶ ἀνάλωτον τῷ θανάτῳ φύσιν, τουτέστι τὴν θεότητα τοῦ μονογενοῦς ὑπὸ χθόνα μυχῶν ἀνακεκομίσθαι φήσομεν· οὐ γάρ

Digitized by Google

ἂν ἠξιώθη τὸ χρῆμα θαύματος, εἰ μεμένηκεν εἰς τὸν ἅδην ὁ ἐκ Θεοῦ λόγος τῇ τῆς θεότητος ἐνεργείᾳ τὲ καὶ φύσει παραδόξως τὲ καὶ ὑπὲρ λόγον πληρῶν τὰ πάντα καὶ τοῖς πᾶσιν ἐπιδημῶν· εἶτα προϊὼν τῷ λόγῳ ταῦτα πάλιν φησίν· ἀνθρώπινον μὲν τὸ τεθνάναι πάθος, ἐνέργημα δὲ θεῖκὸν τὸ ἀναβιῶναι· δεικνὺς ἃ δι' ἀμφοῖν γνωρίζεται καθ' ἡμᾶς τὲ ἅμα καὶ ὑπὲρ ἡμᾶς ὡς θεός. Ὁρᾷς ὅπως ὁ σεβάσμιος οὗτος πατὴρ τὰς τῶν δύο φύσεων ἐνεργείας ἐπὶ τῆς μιᾶς ὑποσάσεως ἤτοι τοῦ ἑνὸς προσώπου Χριστοῦ τοῦ θεοῦ ἡμῶν παραδίδωσι; Καὶ μετ' ὀλίγα· εἶτα δι' ἡμᾶς ἄνθρωπος γενόμενος ὁρατὸς καὶ ψηλαφητὸς γέγονε· καὶ διὰ τῶν θείων τὲ καὶ ἀνθρωπίνων ἐνεργειῶν φανερωθεὶς ὑπάρχειν ἐν θεότητι καὶ ἀνθρωπότητι, δέδωκεν ἡμῖν γνώσκειν ὅτι ἐν οἷς ἐγνώσθη, ἐξ αὐτῶν συνίσταται· οὕτω γὰρ καὶ οἱ ἅγιοι πατέρες ἀμφοτέρας τὰς φωνὰς ὁμολογοῦντες, τουτέστι καὶ τὴν ἐκ θεότητος καὶ ἀνθρωπότητος δι' ἑκατέρας αὐτῶν τὸ ἀσύγχυτόν τε καὶ ἀδιαίρετον τῆς οἰκονομίας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παραδιδόασιν.

VII. ΠΕΡΙ ΑΙΡΕΣΕΩΝ ΤΩΝ ΑΡΜΕΝΙΩΝ (1).

1. Τὴν μίαν ἐπὶ Χριστοῦ φύσιν καὶ μίαν ἐνέργειαν οὕτω πειρῶνται ἀρμένιοι κρατύνειν· εἰ δύο φασὶν ἐνεργείας ἐπὶ

(1) Contra varias haereses Armeniorum non pauca alia praecedunt in codice, quae idcirco nos omisimus quia ea paene ad litteram edita reperimus apud Nicephorum Callistum hist. lib. XVIII. 53. Sed quia inter alios schismaticorum Armeniorum illaudabiles ritus sacra quoque cadaverum per oleum unctio recensetur, qua super re quemdam Macarii hierosol. incertum et fortasse spurium canonem citant (videsis

Digitized by Google

Χριστοῦ δαίημεν, συνέψονται πάντως ταύταις καὶ δύο θελήματα· εἰ δὲ τοῦτο, ἐξ ἀνάγκης καὶ δύο συνεισαχθήσονται πρόσωπα.

Πρὸς δὲ ταῦτα οὕτως αὐτοῖς ἀντέπεσον
οἱ θεοφόροι πατέρες ἡμῶν.

Τὸ φυσικὸν θέλημα οὐδὲν ἄλλο ἐστὶν, ἢ δύναμις τοῦ κατὰ φύσιν ὄντος ὀρεκτικὴ, καὶ τῶν ἰδιωμάτων συνεκτικὴ τῶν τῇ φύσει προσόντων οὐσιωδῶς, καθ' ἣν ἀεὶ τῷ φύσει θελητικῷ, τὸ πεφυκέναι θέλειν ἐμπέφυκεν· οὐ ταυτὸν δὲ τὸ πεφυκέναι θέλειν, καὶ θέλειν ἐστίν· ὥσπερ οὐδὲ τὸ πεφυκέναι λαλεῖν καὶ λαλεῖν· πέφυκε μὲν γὰρ ἀεὶ, ἀεὶ τὸ λαλητικὸν λαλεῖν, λαλεῖ δὲ οὐκ ἀεί· ἐπειδὴ τὸ μὲν οὐσίας ἐστὶ λόγῳ φύσεως συνεχόμενον, τὸ δὲ βουλῆς, τῇ τοῦ λαλοῦντος γνώμῃ τυπούμενον· ὥστε φύσεως μὲν ἀεὶ τὸ πεφυκέναι λαλεῖν, ὥσπερ καὶ τὸ πεφυκέναι θέλειν· εἰ δὲ τὸ πεφυκέναι θέλειν καὶ τὸ πῶς θέλειν οὐκ ἔστι ταυτὸν, τὸ δὲ τῆς τοῦ θέλοντος ὑπάρχει βουλῆς, εἶχεν ἄρα τὸ πεφυκέναι θέλειν ὁ σαρκωθεὶς λόγος, ὡς ἄνθρωπος, τῷ αὐτοῦ θεϊκῷ βουλήματι κινούμενον καὶ τυπούμενον· τὸ γὰρ ἐκείνου θέλειν, οὐδὲν ὑπεναντίον θεῷ, θεωθὲν ὅλον· εἰ δὲ τεθέωτο, τῇ τοῦ θεοῦντος δηλονότι συμφυΐᾳ τεθέωτο· τὸ δὲ θεοῦν καὶ θεούμενον δύο πάντως, ἀλλ' οὐχ ἓν καὶ φύσει ταὐτὸν, εἴπερ τῶν πρός τι τὸ θεοῦν καὶ τὸ θεούμε-

Collect. vat. T. X. fin. p. 271. et praef. p. XXII.) aio me vidisse idoneam huius rei ms. refutationem Nicephori patriarchae constantinopolitani hoc titulo: *περὶ τῶν λεγόντων ὅτι χρὴ καὶ μετὰ τὸν θάνατον εὐχέλαιον ποιεῖν.* Incipit: *οὐκ οἶδα ποίαν καὶ ἀτασθαλίας μεστὴν*: *nescio quam amentiae plenam.* Videsis tamen etiam graeca apud Cangium contraria excerpta voc. *ἔλαιον ἅγιον.*

Digitized by Google

νον, τὰ δὲ πρός τι πάντως ἀλλήλοις συνεισάγεσθαι πέφυκε, καὶ θατέρῳ συνεπινοεῖσθαι θάτερον· εἶχεν οὖν θέλημα φυσικὸν ὡς ἄνθρωπος ὁ σωτὴρ τῷ αὐτοῦ θείκῷ θελήματι συντυπούμενον καὶ ἑνούμενον καὶ οὐκ ἐναντιούμενον· τὸ γὰρ κατ' ἔφεσιν ὀρεκτικῆς ἐστερημένον κινήσεως, καὶ πάσης ζωτικῆς δυνάμεως ἄμοιρον· τὸ δὲ ζωτικὴν οὐκ ἔχον ἐκ φύσεως δύναμιν, πάντως οὐδὲ ψυχήν.

2. Πρὸς τοὺς λέγοντας μὴ ἄλλο καὶ ἄλλο ἐπὶ Χριστοῦ εἰδέναι θέλημα, ἀλλ' ἓν καὶ τοῦτο θεῖκόν, διὰ τὸ τὴν σάρκα θεωθῆναι.

Εἰ ἄλλο καὶ ἄλλο κατὰ φύσιν οὐκ ἔστι τὸ θεῖον καὶ τὸ ἀνθρώπινον θέλημα, δῆλον ὡς ἓν φύσει καὶ ταυτὸν· καὶ εἰ τοῦτο, καὶ ἡ φύσις ἐξ ἀνάγκης μία καὶ ἀπαράλλακτος ἔσται· οὗ γὰρ ἑτερότης φυσικὴ θελημάτων οὐκ ἔστιν, οὐδὲ οὐσίας καὶ φύσεως τὸ παράπαν ἐκεῖσε παραλλαγή· εἰ δὲ ἄλλο φύσει καὶ ἄλλο, διάφορα πάντως· καὶ εἰ διάφορα, πῶς τὸν ἐν τρισὶ τούτων ἀριθμὸν οὐχ ὁμολογῆσαι χρεών; πῶς γὰρ δυνατὸν εἶναι τὰ θελήματα, καὶ μὴ ἀριθμεῖσθαι; τὸ γὰρ θεωθῆναι τῇ πρὸς τὸν θεὸν ἑνώσει, καθὰ καὶ τὴν φύσιν αὐτὴν τῆς λογικῶς τε καὶ νοερῶς ἐψυχωμένης σαρκὸς, τῆς κατ' οὐσίαν ὀντότητος οὐκ ἐξίστησιν, ὥσπερ οὐδὲ τῆς εἰκείας τὸν σίδηρον φύσεως, ἡ ἄκρα καὶ διόλου πρὸς τὸ πῦρ ἀνάκρασίς τε καὶ ἕνωσις· ἀλλὰ πάσχει μὲν τὰ πυρὸς, ἐπειδὴ πῦρ τῇ ἑνώσει γεγένηται· βρίθει δὲ πάλιν κατὰ φύσιν καὶ τέμνει, ὅτι μὴ τῆς οἰκείας φύσεως λώβην πέπονθεν, ἢ τῆς φυσικῆς ἐνεργείας ἐξέστη τὸ σύνολον, καί τι μετὰ πυρὸς ὑπάρχων κατὰ τὴν αὐτὴν καὶ μίαν ὑπόστασιν, καὶ ἀδιαζάτως δρῶν, τά τε κατὰ φύσιν ἰδίαν, λέγω δὴ τὴν τομὴν, καὶ τὰ καθ' ἕνωσιν αὖθις, ὅπερ ἐστὶν ἡ

Digitized by Google

καῦσις· αὐτοῦ γάρ ἐστι καθάπερ καὶ τοῦ πυρὸς ἡ τομή, διὰ τὴν ἄκραν εἰς ἄλληλα περιχώρησιν καὶ ἀντίδοσιν.

Καὶ αὖθις περὶ τοῦ αὐτοῦ.

3. Εἰ πάντων τῶν τῆς φύσεως ἐπίσης κεκοινώνηκεν ἡμῖν ὁ Χριστὸς εὐδοκίᾳ πατρὸς καὶ συνεργείᾳ πνεύματος ἁγίου διὰ τὴν σωτηρίαν ἡμῶν, ὅπως οὐχὶ καὶ τῆς φυσικῆς μετεῖχε θελήσεως; ἁμαρτίας γὰρ μόνης οὐχὶ μετέσχεν ὁ σαρκωθεὶς λόγος, ὅτι μὴ δὲ τῆς φύσεως αὕτη ἐστὶν, ἀλλὰ παρεκτροπὴ καὶ ὀλίσθημα γνώμης κεκινημένης παρὰ τὸν λόγον τῆς φύσεως· διαστέλλεται γὰρ τὸ φυσικὸν θέλημα καὶ τὸ γνωμικόν· τὸ μὲν γὰρ φυσικὸν, δύναμις ὑπάρχει τοῦ κατὰ φύσιν ὄντος ὀρεκτικὴ· τὸ δὲ γνωμικὸν, αὐθαίρετος ὁρμὴ καὶ ζήτησις περὶ τοῦ ἀγνοουμένου, καὶ κρίσις καὶ διάθεσις περὶ τὸ κριθὲν· καὶ οὐ φύσεως χαρακτηριστικὸν, ἀλλὰ τοῦ προσώπου κυρίως, οὗ ἐστὶ καὶ τῆς ὑποστάσεως, ὥσπερ καὶ τὸ πῶς θέλειν καὶ τὸ πῶς ὁρᾶν, οὐ τῆς φύσεως ἀλλὰ τῆς ἡμετέρας γνώμης· καθ' ὃν λόγον καὶ ὁ ἀνθρωπολάτρης Νεστόριος γνωμῶν ἕνωσιν ἀσεβῶς ἐδογμάτισεν, ἵν' ἑκατέραν δι' ἑκατέρας κυρώσῃ ὑπόστασιν, καὶ ὁ ψιλὸς ἄνθρωπος αὐτῷ τηρηθῇ γνώμῃ τινὶ καὶ αὐθαιρέτῳ κινήσει πρὸς τὸν θεὸν λόγον, καὶ αὐτὸς φησι τὴν ἕνωσιν ποησάμενος, ὡς ἂν τοίνυν τὸ ἐντελὲς ἀκριβωθῇ τῆς φύσεως ἐπὶ τοῦ σαρκωθέντος θεοῦ, καὶ τὸ ἀντικείμενον διαῤῥιφῇ· τὸ μὲν φυσικὸν θέλημα ὡρίσθη ἐπὶ Χριστοῦ, τὸ δὲ γνωμικὸν οὐ κυρίως ἐῤῥέθη, ὡς μήτε τῇ διαιρέσει χώρα δοθῇ, τῷ στασιάζειν ἐν τούτῳ· μήτε τῇ φαντασίᾳ παρείσδυσις, τῷ μὴ ὑπάρχειν ἐκεῖνο.

Ἕτερον πρόβλημα τῶν Ἀρμενίων.

4. Εἰ ἐπὶ τοῦ ἑνὸς Χριστοῦ δύο θελήματα καὶ δύο ἐνερ-

Digitized by Google

γείας δῶμεν, πάντως ἀλλήλαις ἐναντία ἔσονται τοῦ Θείου διαμαχομένου τῷ ἀνθρωπίνῳ, καὶ ὁ αὐτὸς καὶ εἷς Χριστὸς, ἢ διαστασιάζων ἑαυτῷ εὑρεθήσεται, ἢ αἱ φύσεις διαιρεθήσονται καὶ ἰδιυπόστατα, καὶ τὸ τοῦ Νεςορίου δόγμα παῤῥησιάσεται.

Ἀντίθεσις πρὸς τοῦτο τῶν εὐσεβῶν.

5. Εἰ μὲν τὰ δύο θελήματα τό τε Θεῖον καὶ τὸ ἀνθρώπινον κατ' οὐσίαν φατὶ διάφορα, εὐσεβεῖτε· εἰ δὲ ἀντικείμενα, ψευδὴς ὁ λόγος· ἄλλο γὰρ θεότητος καὶ ἄλλο ἀνθρωπότητος θέλημα· ἀνταικείμενα δὲ οὐδαμῶς, ὡς τοῦ ἀνθρωπίνου θελήματος τῷ θεϊκῷ ἑπομένου, καὶ συντυπουμένου· οὔτε γὰρ εἴ τι διάφορον, πάντως τοῦτο καὶ ἀντικείμενον· διαφορὰ γὰρ οὐσιώδης· σύγκρασις ἐστὶ τῶν ἐν τῇ φύσει πραγμάτων, οὐ μὴν ἐναντίωσις, πρὸς τὴν τούτων διάλυσιν· ἀπαραίτητον δὲ τὸν σαρκωθέντα λόγον φυσικῶς ἔχειν καὶ τὸ ἀνθρώπινον θέλημα πρὸς πίστωσιν τῆς νοερᾶς αὐτοῦ καὶ λογικῶς ἐψυχωμένης σαρκὸς· εἴπερ τέλειος ἄνθρωπος γέγονε μηδενὸς τῶν ἡμετέρων λειπόμενος, πλὴν μόνης τῆς ἁμαρτίας· πάντα γὰρ ἔχων ὅσα καὶ ἡμεῖς ἀπαραλείπτως τὰ κατὰ φύσιν συγκατικὰ τῆς ἡμετέρας οὐσίας, ἤθελε καὶ ἐνήργει ἐν ἑκατέρᾳ μορφῇ μετὰ τῆς θατέρου κοινωνίας· ὧν μὲν γὰρ ἡ οὐσία ἡ αὐτὴ, τούτων καὶ ἡ θέλησις καὶ ἡ ἐνέργεια ἡ αὐτὴ· ὧν δὲ διάφορος ἡ οὐσία, τούτων διάφορος καὶ ἡ θέλησις καὶ ἡ ἐνέργεια· καὶ τὸ ἀνάπαλιν, ὧν ἡ θέλησις καὶ ἡ ἐνέργεια ἡ αὐτὴ, τούτων καὶ ἡ οὐσία ἡ αὐτὴ· ὧν δὲ διάφορος ἡ θέλησις καὶ ἐνέργεια, τούτων καὶ ἡ οὐσία διάφορος· διὸ ἐπὶ μὲν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐκ τῆς ταυτότητος τῆς ἐνεργείας καὶ τοῦ θελήματος, καὶ τὴν ταυτότητα τῆς φύσεως γινώσκο-

Digitized by Google

μεν· ἐπὶ δὲ τῆς θείας οἰκονομίας, ἐκ τῆς διαφορᾶς τῶν ἐνεργειῶν καὶ τῶν θελημάτων, καὶ τὴν τῆς φύσεως διαφορὰν συνομολογοῦμεν· τὰ μέν τοι δύο θελήματα, φυσικὰ φαμὲν οὐχ ὑποστατικά· οὐδὲ διαίρεσιν εἰσάγομεν τῶν φύσεων, ἀλλὰ τὴν αὐτὴν, κἂν τῇ ἑνώσει δηλοῦμεν φυσικὴν συντήρησιν.

6. Ἔτι τοῦτο φασὶν ὡς ἐν τῷ καιρῷ μόνῳ τοῦ πάθους ἡνίκα τὸ ἡμέτερον ἐτύπου πραγματικῶς ἐν ἑαυτῷ ὁ Χριστὸς καὶ παρητεῖτο τὸν θάνατον ὡς ἄνθρωπος, δύο θελήματα ἔχων ἐδείκνυτο· τοῦτο δὲ ἄτοπον· εἰ μὲν γὰρ εἶχε τότε, καὶ ἀπ' ἀρχῆς εἶχεν ἐξ οὗ γέγονεν ἄνθρωπος, ἀλλ' οὐχ ὕστερον ἐσχεδίασεν· εἰ δὲ ἀπ' ἀρχῆς οὐκ εἶχεν, οὐδὲ κατὰ τὸν καιρὸν εἶχε τοῦ πάθους, ἀλλὰ μίσον ἐφάνταστε τὴν παραίτησιν· κατ' αὐτοὺς δὲ καὶ τὰ λοιπὰ δι' ὧν σεσώσμεθα, οἷον τὸ δάκρυον, τὴν εὐχὴν, τὴν λύπην, τὴν ἀγωνίαν, τὸν ςαυρὸν, τὸν θάνατον, καὶ τὴν ταφὴν· ἐτύπου γὰρ ἐν ἑαυτῷ πραγματικῶς τὸ ἡμέτερον διὰ τῆς φυσικῆς πρὸς ἡμᾶς ἀγωνίας, ἵνα καὶ ταύτης ἡμᾶς ἐλευθερώσῃ, καὶ τῆς οἰκείας σαρκὸς τὴν φύσιν πιστώσηται, καὶ τὴν οἰκονομίαν καθαρὰν πάσης φαντασίας ἐργάσηται· ὥσπερ τὴν ἄκραν τοῦ κατ' αὐτὸν ἀνθρωπικοῦ πρὸς τὸ οἰκεῖον αἰτεῖν καὶ πατρικὸν θέλημα συμφυΐαν καὶ ἕνωσιν, τῷ ἐπικρίνειν τοῦτο καὶ φάσκειν, μὴ τὸ ἐμὸν, ἀλλὰ τὸ σὸν γενέσθω θέλημα.

Ἕτερον πρόβλημα τῶν Ἀρμενίων.

7. Εἰ ἄτομος ὁ Χριστὸς, τῶν δὲ ἀτόμων μία ἐνέργεια καὶ θέλησις, πῶς οὐχὶ καὶ ἐπὶ Χριστοῦ μίαν ἐνέργειαν καὶ θέλησιν εἴπωμεν;

Ἀντίθεσις.

Οὐδὲν τῶν φυσικῶς εἰς τὸ ἄτομον προηγουμένως, ἀλλ' εἰς τὴν τούτου φύσιν καὶ οὐσίαν ἔχει τὴν διαφοράν· φύ-

Digitized by Google

σεων γὰρ σὰρξ οὐσῶν, καὶ τὸ ἐξ αὐτῶν ἀφανίζεται πάντως, ἡ σύνθετος λέγω ὑπόστασις· εἰ δὲ σύνθετος ἡ ὑπόστασις ὡμολόγηται τοῦ Χριστοῦ πρὸς ἣν ἀναφέρεται, καὶ δεκτικὴ τῶν ἐναντίων καὶ ἀντικειμένων· θνητὴ γὰρ καὶ ἀθάνατος, ὁρατὴ καὶ ἀόρατος, περιγραπτὴ καὶ ἀπερίγραπτος, ἄναρχος καὶ ὑπ' ἀρχήν· διπλῆ τούτων κατὰ τὸ εἰκὸς καὶ ἡ ἐνέργεια ἔσται· καὶ ἄλλως δὲ τίς φύσις ἀνενέργητος, ἢ φυσικῆς ἐνεργείας ἐκτὸς; πῶς δὲ καὶ δυνατὸν ἀμοιρεῦντα φυσικῆς δυνάμεως κατὰ σάρκα τὸν ἐνανθρωπήσαντα λόγον, ἄνθρωπον τέλειον ἢ ὅλως ἄνθρωπον χρηματίζειν; οὐδὲ γὰρ δίχα φυσικῆς ἐνεργείας ὁ ἄνθρωπος· πρὸς δὲ τούτοις, οὐδὲ ἄτομον κυρίως λέγεται τὸ κατὰ Χριστὸν σύνθετον πρόσωπον· οὐ γὰρ σχέσιν ἔχει πρὸς τὴν ἐκ τοῦ γενικωτάτου γένους, διὰ τῶν ὑπ' ἄλληλα καθιεμένων γενῶν πρὸς τὸ εἰδικώτατον εἶδος, διαίρεσιν καὶ ἐν αὐτῷ τὴν οἰκείαν πρόσδον περιγράφουσαν.

8. Διὰ τοῦτο κατὰ τὸν σοφώτατον Κύριλλον τὸ Χριστὸς ὄνομα, οὔτε ὅρου δύναμιν ἔχει· οὐ γὰρ εἶδος ἐστὶ πολλῶν ἀριθμῷ διαφερόντων κατηγορούμενον, οὔτε μὴν τὴν τινὸς οὐσίαν δηλοῖ· οὐ γὰρ ἄτομον πρὸς εἴδος ἢ γένος ἀγόμενον ἢ κατ' οὐσίαν ὑπὸ τούτων περιγραφόμενον, ἀλλ' ὑπόστασις σύνθετος τὴν φυσικὴν τῶν ἄκρων διαίρεσιν ἐν ἑαυτῇ κατάκρας ταυτίζουσα, καὶ εἰς ἓν ἄγουσα τῇ τῶν οἰκείων ἑνώσει μερῶν· ἐστὶ οὐδὲ ἑτέρωθεν τὸν αὐτὸν φύσει θεὸν ὄντα καὶ ἄνθρωπον διαγινώσκομεν, ἢ ἐκ τῶν θεϊκῶς ἅμα καὶ ἀνθρωπικῶς χαρακτηριζόντων αὐτὸν ἐμφύτων ἰδιωμάτων τῆς τε θείας θελήσεως καὶ ἐνεργείας, καὶ τῆς ἀνθρωπικῆς τοῦ αὐτοῦ θελήσεως· αἷς καὶ δι' ὧν ὃ ἦν καὶ ὃ γέγονεν, ἐπεσφράγιζε· θαυματουργῶν μὲν ὑπὲρ ἡμᾶς ὡς

Digitized by Google

Θεὸς, πάσχων δὲ δι' ἡμᾶς ὁ αὐτὸς ἑκουσίως ὡς ἄνθρωπος· καὶ νῦν μὲν φθεγγόμενος πρὸς τὸν Φίλιππον· οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ; καὶ ὁ ἑωρακώς ἐμὲ, ἑώρακε τὸν πατέρα· καὶ ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμεν· νῦν δὲ τί ζητεῖτε με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν λελάληκα ὑμῖν;

Ἑτέρα ἀντίθεσις Ἀρμενίων.

9. Πᾶν ἑτερακίνητον, ἀνενέργητον· ἡ τοῦ κυρίου τοίνυν σὰρξ ὑπὸ τοῦ ἑνωθέντος αὐτῇ λόγου κινουμένη ἀνενέργητος ἦν.

Ἀντίθεσις καὶ ἀπολογία πρὸς τοῦτο.

Καὶ λοιπὸν οὐ διέφερε τῶν ἄλλων ἁγίων ἡ τοῦ κυρίου σὰρξ· νεύματι θεοῦ ἐκινοῦντο καὶ Μωϋσῆς καὶ Δαβὶδ, καὶ ὅσοι ἄλλοι τῆς θείας ἐνεργείας χωρητικοὶ· τοῦτο δὲ ἄτοπον· ἀλλ' ἐπεὶ ὁ τῶν ὅλων θεὸς ἀτρέπτως γέγονεν ἄνθρωπος, καὶ ὡς θεὸς καταλλήλως τῇ αὐτοῦ θεότητι ἤθελέ τε καὶ ἐνήργει, καὶ ὡς ἄνθρωπος καταλλήλως τῇ αὐτοῦ ἀνθρωπότητι, τοῦ ἀνθρωπείου θελήματος οἷα καὶ θεωθέντος, τῷ θείκῳ βουλήματι κινουμένου καὶ τυπουμένου· καὶ μαρτυροῦσι τοῦτο τὰ εὐαγγελικὰ ῥήματα ἃ φασιν οὕτωσι· τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰησοῦς εἰσελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ πάλιν· θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ αὐτοὶ ὦσι· καὶ αὖ· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ ἰουδαῖοι ἀποκτεῖναι· καὶ ἑτέρωθι, κἀκεῖθεν ἐξελθόντες ἐπορεύοντο διὰ τῆς Γαλιλαίας· καὶ οὐκ ἤθελεν ἵνα τίς γνῷ· καὶ ἀλλαχοῦ, καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες αὐτῷ, ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν σοι φαγεῖν τὸ πάσχα; ταῦτα γὰρ πάντα, καθὸ ὁ κύριος ἄνθρωπος ἐφθέγγετο, καὶ οὐ καθὸ θεὸς· καὶ ἄλ-

Digitized by Google

λως δὲ τὸ μὴ ἔχον ἐνέργειαν καὶ κίνησιν φυσικὴν, νεκρὸν καὶ ἄψυχον· ἡ δὲ τοῦ κυρίου σὰρξ, ἔννους καὶ ἔμψυχος.

Ἕτερον πρόβλημα τῶν Ἀρμενίων.

10. Ὥσπερ ἐπὶ Χριστοῦ τὴν τῶν δύο φύσεων συνδρομὴν σύνθετον φατὲ ὑπόστασιν, οὕτω χρεὼν καὶ μίαν σύνθετον λέγειν ἐνέργειαν.

Ἀντίθεσις.

Εἰ τὸν Χριστὸν ἐν δύο φύσεσι θεωρούμενον μίαν δῶμεν σύνθετον ἔχειν ἐνέργειαν, ἡ τοιαύτη πάντως ἐνέργεια ἢ τῶν αὐτοῦ μερῶν ἐσεῖται, ἢ αὐτοῦ ὡς ὅλου· καὶ εἰ μὲν τῶν αὐτοῦ μερῶν, μερισθήσεται πρὸς ἀμφότερα τεμνομένη καὶ λυθήσεται, καὶ συνδιαλύσει τὰ κατ' αὐτὴν ἡνωμένα· εἰ δὲ τοῦ ὅλου, ἔσται ἡ αὐτὴ ὡς θεκτικὴ τῶν ἐναντίων θνητὴ καὶ ἀθάνατος, κτιστὴ καὶ ἄκτιστος, περιγραπτὴ καὶ ἀπερίγραπτος· καὶ εἰ τοῦτο δώσει τις, ἔσαι ὁ Χριστὸς τὴν σὰρκείαν ἔχων ἐνέργειαν, οὖσαν καὶ μὴ οὖσαν, κατὰ ἕξιν καὶ στέρησιν· τὸ αὐτὸ δὲ καὶ περὶ θελήματος ἐστὶν εἰπεῖν. Λέγουσιν οἱ ἀρμένιοι, ὅτι ὥσπερ ὀργάνου καὶ τοῦ κινοῦντος αὐτὸ μία ἐνέργεια, οὕτω καὶ θεότητος καὶ ἀνθρωπότητος, μία ἐνέργεια· εἰ τοίνυν εἰσάγουσι τὸ ὄργανον καὶ σύγχρονον ὥσπερ σῶμα καὶ ψυχὴ, πάντως ἔσται κατ' αὐτοὺς ἢ κτίσμα τὴν θείαν φύσιν λέγειν, ἢ τὸ σῶμα ἄκτιστον· εἰ δὲ τεχνικὸν τὸ ὄργανον λέγουσιν, ἄψυχον τοῦτο καὶ οὐκ ἀεὶ κινούμενον, ἀλλ' ὅτε τῷ ἐργαζομένῳ δόξει· καὶ λοιπὸν συμφρονοῦσιν Ἀπολιναρίῳ τε καὶ Ἀρείῳ, ὧν ὁ μὲν ἄψυχον, Ἀπολίναριος δὲ ἄνουν τὴν σάρκα τοῦ Χριστοῦ ἔλεγεν.

11. Εἴπερ φήσουσιν οἱ ἀρμένιοι ὡς ὁ Χριστὸς καὶ μετὰ τὴν σάρκωσιν εἷς ἦν υἱὸς καὶ εἷς τῆς ἁγίας τριάδος,

Digitized by Google

ἡ δὲ ἁγία τριὰς, μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ἔχει, καὶ κατὰ τοῦτο καὶ ὁ Χριστὸς μίαν εἶχεν ἐνέργειαν καὶ μίαν θέλησιν, ῥητέον οὕτως· ὡς ὁ πατὴρ, οὐ καθὸ πατὴρ θέλει, ἀλλὰ καθὸ θεὸς· καὶ ἐπεὶ θεὸς ὁ υἱὸς, θεὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, κατὰ τοῦτο ἡ μὲν τρισυπόστατος θεότης, μίαν θέλησιν ἔχει καὶ μίαν ἐνέργειαν· ὁ δὲ υἱὸς ἐπικοινωνῶν καὶ τοῖς ἀνθρώποις ἡμῖν τῇ τῆς σαρκὸς προσλήψει, διπλῆν καὶ τὴν θέλησιν εἶχε καὶ τὴν ἐνέργειαν· τὴν μὲν ὡς ὁμοούσιος ὢν τῷ θεῷ καὶ πατρὶ, τὴν δὲ ὡς ὁμοούσιος ὢν ἡμῖν· πλὴν οὐ διῃρημένας φαμὲν τὰς ἐνεργείας, οὐδὲ τὰς φύσεις ἐνεργουμένας κεχωρισμένως· ἀλλ' ἡνωμένως ἑκάστην μετὰ τῆς θατέρου κοινωνίας ἐνεργοῦσαν τοῦθ' ὅπερ ἴδιον ἔσχηκεν· οὔτε γὰρ τὰ ἀνθρώπινα ἀνθρωπίνως ἐνήργηκεν, οὐ γὰρ ψιλὸς ἦν ἄνθρωπος· οὔτε τὰ θεῖα κατὰ θεὸν μόνον, οὐ γὰρ ἦν μόνον θεὸς· ἀλλ' αἱ δύο φύσεις εἷς ἐστι Χριστὸς, καὶ ὁ εἷς Χριστὸς δύο φύσεις ἐστί. Καὶ ἄλλως. Εἰ μίαν θέλησιν εἴπωμεν ἐπὶ τοῦ Χριστοῦ ὡς ἐπὶ τῆς ἁγίας τριάδος, ἔσαι πάντως μία καὶ ἡ αὐτὴ θέλησις τοῦ πατρὸς καὶ τοῦ λόγου καὶ τῆς σαρκός. Πρὸς οἷς εἰρήκαμεν· ἔτι καὶ τοῦτο ἴσως προσθήσουσι διασκευάζοντες συλλογιζικῶς, οὐκ ἔστι φύσις ἀνυπόστατος ἤτοι ἀπρόσωπος· εἰ οὖν δύο, φασὶ, φύσεις ἐπὶ Χριστοῦ εἴπωμεν, δύο καὶ ὑποστάσεις συνεισενέγκωμεν· καὶ οὕτω συμφρονοῦντες ἐσόμεθα Νεστορίῳ δύο ὑποστάσεις ἐπὶ Χριστοῦ δογματίζοντι, Ῥητέον δὲ πρὸς τοῦτο.

12. Ὡς ἡ εὐσεβὴς ἐκκλησία ὥσπερ τὴν Σαβελλίου συναίρεσιν ἀποπεμπομένη τρεῖς ὑποστάσεις καὶ μίαν φύσιν ἐπὶ τῆς ἁγίας τριάδος ὁμολογεῖ, καὶ τὴν Ἀρείου εἰς ἑτερογενεῖς τρεῖς ὑποστάσεις ἀποσκυβαλίζουσα διαίρεσιν, μίαν φύ-

Digitized by Google

σιν τρισυποστάτου θεότητος δοξάζει, οὕτω καὶ τοῖς μονοφυσίταις ἀπομάχεται, φάσκουσι μίαν φύσιν ἐπὶ Χριστοῦ διὰ τὸ καὶ τὴν ὑπόστασιν εἶναι μίαν· καὶ κατασκευάζουσι τοῦτο ἐκ τοῦ λέγειν μὴ εἶναι φύσιν ἀνυπόστατον ἥτις ἀπρόσωπον· οὐδὲ γὰρ ἡ ἐν Χριστῷ ἀνθρωπίνη φύσις ἀνυπόστατος οἷα τῷ λόγῳ ἐνυποστᾶσα. Προσεπάγειν δὲ καὶ ταῦτα χρεὼν πρὸς τὰ παρ' ἀρμενίων συλλογιστικῶς προτεινόμενα· ὥσπερ αἱ δύο γεννήσεις Χριστοῦ, τουτέστιν ἡ πρὸ αἰώνων ἐκ πατρὸς κατὰ τὴν θεότητα, καὶ ἡ ἐπ' ἐσχάτων τῶν χρόνων ἐκ παρθένου κατὰ τὴν ἀνθρωπότητα, ἐν τῇ μιᾷ τοῦ θεοῦ λόγου ὑποστάσει γενόμεναι, οὐκ ἐποίησαν προσθήκην ὑποστάσεως, οὕτως οὐδ' ἐκ τῶν δύο καθ' ὑπόστασιν ἡνωμένων φύσεων, προσθήκη προσώπου ἐγένετο· πρὸς γοῦν τοὺς λέγοντας μὴ εἶναι φύσιν ἀνυπόστατον, ῥητέον ὡς οὐδὲ τόκος ἐστὶν ἀπρόσωπος· ἰστέον δὲ ὡς οἱ μίαν ἐπὶ Χριστοῦ φύσιν δοξάζοντες, ἢ τὴν θεότητα τραπῆναι εἰς σάρκα δοξάζουσιν, ἢ τὴν σάρκα ὁμοούσιον τῇ θεότητι γενέσθαι, ἅπερ τῶν ἀμηχάνων καὶ ἀδυνάτων ἐστίν· εἰ δὲ μηδέτερον τούτων, ἑτέρα πάντως καὶ ἑτέρα φύσις ἐν Χριστῷ.

13. Ἔτι εἰ κατὰ ἀριθμὸν τῶν φύσεων διδάσκουσιν εἶναι καὶ τὰ πρόσωπα καὶ τὸ ἔμπαλιν, καὶ τρεῖς ἄρα φύσεις ἐπὶ τῆς ἁγίας τριάδος εἰσενέγκωσι τρισυποστάτου οὔσης· ἢ τὸ ἀνάπαλιν μίαν ὑπόστασιν εἴπωσι διὰ τὸ ἑναδικὸν τῆς φύσεως· δεῖ δὲ καὶ τοῦτο εἰδέναι ὡς οἱ ἰακωβῖται καὶ οἱ ἀρμενιοι πρὸ μὲν τῆς ἑνώσεως δύο φύσεις ἐπὶ Χριστοῦ ὁμολογοῦσι· μετὰ δὲ τὴν ἕνωσιν, μίαν σύνθετον συγχέοντες ἀμφοτέρας τήν τε θείαν καὶ τὴν ἀνθρωπίνην, καὶ διὰ τοῦτο καὶ μίαν φύσιν ὀνομάζουσιν· ὅθεν καὶ δικαιολογούμενοι πρὸς τοὺς λέγοντας εὐσεβῶς δύο φύσεις ἐπὶ Χριστοῦ, λί-

Digitized by Google

γουσι μὴ εἶναι φύσιν ἀνυπόστατον ἤτοι ἀπρόσωπον· καὶ ὡς οἱ φάσκοντες δύο φύσεις ἐπὶ Χριστοῦ καὶ δύο ὑποστάσεις εἰσάγουσι κατὰ τὸν Νεστόριον, καὶ οὐκέτι τρία πρόσωπα ἤτοι τρεῖς ὑποστάσεις εὑρίσκονται λέγοντες ἐπὶ τῆς ἁγίας τριάδος, ἀλλὰ καὶ τέσσαρας· καὶ κατὰ τοῦτο τὴν ἐν Χαλκηδόνι σύνοδον ἀναθεματίζουσιν, ὡς δῆθεν δύο ὑποστάσεις ἐπὶ Χριστοῦ κυρώσασαν· οὕτω γὰρ κατὰ τὴν αὐτῶν δόξαν τὰς φύσεις φασὶ· τῷ δὲ ἁγίῳ Κυρίλλῳ συνεργῷ τῆς αὐτῶν αἱρέσεως χρῶνται ἐν οἷς φησὶ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, τὴν τοιαύτην ῥῆσιν οὐχ ὡς ἐκεῖνος ἔφησεν ἐκλαμβάνοντες, ἀλλ' εἰς ἣν αὐτοί φασι φύσιν ἐπὶ Χριστοῦ συγκεχυμένην μετὰ τὴν ἕνωσιν, ἢ μᾶλλον μεταβληθεῖσαν εἰς θεότητα.

14. Πάλιν οἱ αὐτοὶ μὴ εὐσεβῶς νοοῦντες τὴν τοῦ εὐαγγελιστοῦ Ἰωάννου φωνὴν, ἥ τις φησὶ, καὶ ὁ λόγος σὰρξ ἐγένετο, παράγοντες δὲ καὶ ῥῆσιν τοῦ ἁγίου Ἀθανασίου οὕτω λέγουσαν, ὁ λόγος σὰρξ ἐγένετο, ἵνα καὶ ἡ σὰρξ γένηται λόγος· ἀλλὰ καὶ Γρηγόριον τὸν θεολόγον φάσκοντα, καὶ θαῤῥῶ λέγειν ὁμόθεον, καὶ γεγονὸς ὅπερ τὸ χρίσαν· ἔτι δὲ καὶ τὸν νυσσαέων Γρηγόριον οὑτωσὶ διεξιόντα, καθάπερ ταγὼν ὄξους βληθεῖσα ἐν τῷ πελάγει τῆς θαλάσσης οὐκ ἔτι ἐστὶν ἐν τοῖς ἰδίοις τοῦ ὄξους ἰδιώμασιν, ἀλλὰ μετεποιήθη καὶ συνεκράθη ἐς τὸ τοῦ πελάγους τῶν ὑδάτων ἰδίωμα, οὕτω δὴ καὶ τὸ πανάγιον ἐκεῖνο σῶμα συνανακραθὲν τῇ θεότητι, οὐκέτι ἔστιν ἐν τοῖς τῆς σαρκὸς ἰδιώμασι· καὶ συλλογίζονται οὕτως· ὡς ἐπεὶ ἡ σὰρξ γέγονε λόγος καὶ ὁμόθεος, καὶ συνανεκράθη τῷ λόγῳ καὶ μετεποιήθη, πῶς δυνατὸν δύο λέγειν φύσεις καὶ οὐχὶ μίαν καὶ ταύτην τῆς θεότητος;

Digitized by Google

15. Πρὸς ἅπερ ἀποκρίνασθαι δεῖ, ὡς ἡ κτιστὴ καὶ περιγραπτὴ φύσις, πάλιν καὶ μετὰ τὴν ἕνωσιν ἐπὶ τῶν ἰδίων μεμένηκε φυσικῶν ἰδιωμάτων, οὐδ' ὅλως μεταβληθεῖσα εἰς τὸ ἄκτιστον, καὶ ἀσχημάτιστον καὶ συναΐδιον τῷ πατρὶ· διὰ δὲ τὴν τῶν φύσεων εἰς ἄλληλα περιχώρησιν, τὴν σάρκα θεωθῆναι· τὸν δὲ θεὸν ἐνανθρωπῆσαι φαμὲν· εἰ γὰρ μὴ τοῦτο δοίημεν, ἔσται ἂν τῆς τοῦ λόγου φύσεως κατ' αὐτοὺς, καὶ οὐχὶ τῆς ἐν Χριστῷ ἀνθρωπίνης φύσεως, ἡ αὔξησις, ἡ σπαργάνωσις, ἡ ψηλάφησις, ἡ πεῖνα, ἡ δίψα, ὁ κόπος, ἡ ἀγωνία, τὸ πτύσμα, ἡ ἐπὶ σταυροῦ πῆξις, ἡ ταφὴ, καὶ ὁ θάνατος· ὅτι δὲ καὶ τοῖς πατράσιν οὕτω δοκεῖ, ὧν τὰς χρήσεις παράγουσι, μαρτυροῦσι τὰ λοιπὰ τουτωνὶ συγγράμματα, μὴ συγκεχύσθαι τὰς ἐν Χριστῷ φύσεις διδάσκοντα, μήτε μὴν μεταποιηθῆναι τὴν σάρκα εἰς θεότητα· ἀλλὰ καὶ τοῦ Χριστοῦ πρὸς τοὺς μαθητὰς περὶ τοῦ Λαζάρου λέγοντος, ὅτι ἀπέθανε, καὶ χαίρω δι' ὑμᾶς ὅτι οὐκ ἤμην ἐκεῖ· τίνος νοητέον τὸ ῥῆμα τὸ οὐκ ἤμην ἐκεῖ; τῆς θεότητος; καὶ πῶς τόπῳ περιγραπτὸς ὁ πανταχοῦ παρὼν, καὶ ὑπὲρ τὸ πᾶν ὤν; εἰ δὲ τῆς σαρκὸς, πῶς οὐχὶ δύο φύσεις ἐπὶ Χριστοῦ; καὶ τὸ ἐπὶ Λαζάρου δὲ δάκρυον, τῆς σαρκὸς πάντως ἦν, καὶ οὐχὶ τῆς θεότητος· ὥσπερ ἀνθρωπρεπὲς, καὶ τὸ ἐρωτᾶν ποῦ τεθείκατε αὐτόν;

16. Ἐὰν δὲ καὶ τοῦτο προσθήσουσιν, ὡς εἰ δύο φύσεις εἶχεν ὁ Χριστὸς ἀσυγχύτους, ἀνθρωπίνην καὶ θεϊκὴν, ἄρα τῇ κτίσει λατρεύομεν, ὡς κτιστῇ προσκυνοῦντες φύσει· ἢ εἰ μὴ τοῦτο, εἴη ἂν ὁ αὐτὸς καὶ εἷς Χριστὸς προσκυνητός τε καὶ ἀπροσκύνητος· οὕτωσὶ λεκτέον. Τὸν υἱὸν τοῦ θεοῦ σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι προσκυνοῦμεν, ἀσώματον μὲν πρὸ τῆς ἐνανθρωπήσεως· νῦν δὲ τὸν αὐτὸν

Digitized by Google

σεσαρκωμένον καὶ γενόμενον ἄνθρωπον μετὰ τοῦ εἶναι θεὸν· καὶ ὥσπερ ξύλον ψιλὸν οὐκ ἔστιν ἀπρόσιτον τῇ ἁφῇ, πυρὶ δὲ προσομιλῆσαν, ἀπρόσιτον γίνεται, οὐ δι' ἑαυτὸ, ἀλλὰ διὰ τὸ συνημμένον αὐτῷ πῦρ· καὶ οὐχ ἡ τοῦ ξύλου φύσις ὑπάρχει ἀπρόσιτος, ἀλλ' ὁ ἄνθραξ, ἤτοι τὸ πεπυρωμένον ξύλον· οὕτως καὶ ἡ σὰρξ κατὰ μὲν τῆς ἑαυτῆς φύσιν, οὐκ ἔστι προσκυνητὴ· προσκυνεῖται δὲ ἐν τῷ σεσαρκωμένῳ λόγῳ· καὶ οὐ φαμὲν ὅτι σάρκα προσκυνοῦμεν ψυλὴν, ἀλλὰ σάρκα θεοῦ, ἤτοι σεσαρκωμένον θεόν. Ταῦτα ὡς ἐκ προχείρου, καὶ ἐν ἐπιτόμῳ· εὐκαιρίας δέ τις χρώμενος, καὶ ἕτερα ἂν πλείω ἐκ τῶν ἱερῶν βιβλίων ἐπισυναγάγῃ, τὰς τῶν ἁρμενίων αἱρέσεις καταστρέφοντα, καὶ τὰς ἀντιθέσεις αὐτῶν διελέγχοντα.

VIII. ΠΕΡΙ ΤΗΣ ΘΡΗΣΚΕΙΑΣ ΤΩΝ ΑΓΑΡΗΝΩΝ.

1. Εστι δὲ καὶ ἡ μέχρι τοῦ νῦν κρατοῦσα λασπλάνος θρησκεία τῶν Ἰσμαηλιτῶν πρόδρομός τις τοῦ ἀντιχρίστου· κατάγονται δὲ ἀπὸ τοῦ Ἰσμαὴλ τοῦ ἐκ τῆς Ἄγαρ τεχθέντος τῷ Ἀβραάμ· διόπερ Ἀγαρηνοὶ καὶ Ἰσμαηλίται προσαγορεύονται· Σαρρακηνοὺς δὲ αὐτοὺς καλοῦσιν ὡς ἐκ τῆς Σάρρας κενοὺς, διὰ τὸ εἰρῆσθαι ὑπὸ τῆς Ἄγαρ τῷ ἀγγέλῳ, ὅτι ἡ Σάρρα κενήν με ἀπέλυσεν· οὗτοι μὲν οὖν εἰδωλολατρήσαντες καὶ προσκυνήσαντες τῷ ἑωσφόρῳ ἄστρῳ τῇ Ἀφροδίτῃ, ἣν δὴ καὶ Χαμὰρ τῇ ἑαυτῶν ἐπωνόμασαν γλώσσῃ, ὅπερ σημαίνει μεγάλην, ἕως μὲν τῶν Ἡρακλείου χρόνων προφανῶς εἰδωλολάτρουν· ἀπὸ δὲ Ἡρακλείου καὶ δεῦρο ψευδοπροφήτης αὐτοῖς ἀνεφύη Μωάμεθ ὀνομαζόμενος, ὡς περιτυχὼν ἑβραίοις καὶ χριστιανοῖς ὅθεν ἀρειανοῖς καὶ νε-

σοριανοῖς, ἀπανταχόθεν ἀρυσάμενος ἐξ Ἰουδαίων μὲν μοναρχίαν, ἐξ ἀρειανῶν δὲ λόγον καὶ πνεῦμα κτιστὰ, ἀπὸ δὲ νεστοριανῶν ἀνθρωπολατρίαν, τήν τε παλαιὰν καὶ καινὴν διαθήκην ἐπελθὼν, καί τινι ἀρειανῷ προσομιλήσας μονάζοντι, ἰδίαν συνέστησεν αἵρεσιν· καὶ προφάσει δῆθεν θεοσεβείας τὸ ἔθνος ὑποποιησάμενος, ἐξ οὐρανῶν γραφὴν ὑπὸ τοῦ θεοῦ κατενεχθῆναι παρ' αὐτὸν διεθρύλλησε· τινὰ δὲ συγγράμματα ἐν τῷ τοιούτῳ βιβλίῳ διαχαράξας γέλωτος ἄξια, τὸ σέβας αὐτοῖς παρέδωκε.

2. Λέγει ἕνα θεὸν ποιητὴν τῶν ὅλων εἶναι μήτε γεννηθέντα μήτε γεγεννηκότα· λέγει τὸν Χριστὸν υἱὸν εἶναι τοῦ θεοῦ, καὶ πνεῦμα αὐτοῦ, κτιστὸν δὲ καὶ δοῦλον· καὶ ὅτι ἐκ Μαρίας τῆς ἀδελφῆς Μωϋσέως καὶ Ἀαρὼν ἄνευ σποράς ἐτέχθη· ὁ γὰρ λόγος, φησὶ, τοῦ θεοῦ καὶ τὸ πνεῦμα εἰσῆλθεν εἰς τὴν Μαρίαν, καὶ ἐγέννησε τὸν Ἰησοῦν, προφήτην ὄντα καὶ δοῦλον τοῦ θεοῦ· Ἰουδαῖοι δὲ παρανομήσαντες ἠθέλησαν αὐτὸν σταυρῶσαι, καὶ κρατήσαντες ἐσταύρωσαν αὐτοῦ τὴν σκιάν· αὐτὸς δὲ ὁ Χριστὸς οὐκ ἐσταυρώθη, φησὶν, οὐδὲ ἀπέθανεν· ὁ γὰρ θεὸς ἔλαβεν αὐτὸν εἰς τὸν οὐρανὸν διὰ τὸ φιλεῖν αὐτὸν· καὶ τοῦτο δὲ λέγει ὅτι τοῦ Χριστοῦ ἀνελθόντος εἰς τοὺς οὐρανοὺς, ἐπερώτησεν αὐτὸν ὁ θεὸς λέγων· ὦ Ἰησοῦ σὺ εἶπας τὸν λόγον τοῦτον, ὅτι υἱὸς εἰμὶ τοῦ θεοῦ καὶ θεὸς; ἀπεκρίθη, φησὶν, ὁ Ἰησοῦς· ἵλεώς μοι κύριε· σὺ οἶδας ὅτι οὐκ εἶπον, οὐδὲ ὑπερηφανῶ εἶναι δοῦλος σου· ἀλλ' οἱ ἄνθρωποι οἱ παραβάται ἔγραψαν ὅτι εἶπον τὸν λόγον τοῦτον, καὶ ἐψεύσαντο κατ' ἐμοῦ, καὶ εἰσὶ πεπλανημένοι· καὶ ἀπεκρίθη, φησὶν, αὐτῷ ὁ θεὸς· οἶδα ὅτι σὺ ἔλεγες τὸν λόγον τοῦτον· καὶ ἄλλα πολλὰ τερατολογῶν ἐν τῇ τοιαύτῃ συγγρα-

Digitized by Google

φῃ γέλωτος ἄξια, ταύτα παρὰ τοῦ Θεοῦ ἐπ' αὐτὸν κατενεχθῆναι φρυάττεται.

3. Ἡμῶν δὲ λεγόντων, καὶ τίς ἐστιν ὁ μαρτυρῶν ὅτι αὐτῷ γραφὴν δέδωκεν ὁ Θεὸς; ἢ τίς τῶν προφητῶν προεῖπεν ὅτι τοιοῦτος ἀνίσταται προφήτης, καὶ τούτοις αὖθις ἐπιφερόντων, ὅτι ὁ Μωϋσῆς κατὰ τὸ Σινᾶ ὄρος ἐπ' ὄψει παντὸς τοῦ λαοῦ ἐν νεφέλῃ καὶ πυρὶ καὶ γνόφῳ καὶ θυέλλῃ φανέντος τοῦ Θεοῦ ἐδέξατο τὸν νόμον, καὶ ὅτι πάντες οἱ προφῆται ἀπὸ Μωϋσέως καὶ καθεξῆς ἀρξάμενοι περὶ τῆς τοῦ Χριστοῦ παρουσίας προηγόρευσαν, ὡς Θεὸς ὢν καὶ Θεοῦ υἱὸς σαρκούμενος ἥξει καὶ σταυρωθήσεται καὶ θανεῖται καὶ ἀναστήσεται, καὶ ὅτι κριτὴς οὗτος ζώντων καὶ νεκρῶν ἐστίν· εἶτα προστιθέντων, ὅτι ὡς οὐχ οὗτος ἦλθεν ὁ προφήτης ὑμῶν, ἄλλων μαρτυρούντων περὶ αὐτοῦ; ἀλλ' οὐδὲ πάντων ὑμῶν ὁρώντων ὁ Θεὸς ὡς τῷ Μωσεῖ βλέποντος παντὸς τοῦ λαοῦ καὶ καπνιζομένου τοῦ ὄρους δέδωκε τὸν νόμον, κἀκείνῳ τὴν γραφὴν ἣν φατὲ παρέσχεν, ἵνα καὶ ὑμεῖς τὸ βέβαιον ἔχητε; ἀποκρίνονται ὅτι ὁ Θεὸς ὅσα θέλει ποιεῖ. Λεγόντων δὲ ἡμῶν ὅτι τοῦτο καὶ ἡμεῖς οἴδαμεν, ἀλλ' ὅπως γραφὴ κατῆλθεν εἰς τὸν προφήτην ὑμῶν ἐρωτῶμεν, ἀποκρίνονται ὅτι ἐν ὅσῳ ἐκοιμᾶτο, κατέβη ἡ γραφὴ ἐπάνω αὐτοῦ· καὶ τὸ γελοιῶδες, λέγομεν ἡμεῖς πρὸς αὐτούς, ὅτι ἐπειδὴ κοιμώμενος ἐδέξατο τὴν γραφήν, καὶ οὐκ ἤσθετο τῆς ἐνεργείας, εἰς αὐτὸν ἐπληρώθη τὸ τῆς θημωδοῦς παροιμίας· πάλιν ἡμῶν ἐρωτώντων πῶς αὐτοῦ ἐντειλαμένου ὑμῖν ἐν τῇ γραφῇ ὑμῶν μηδὲν ποιεῖν ἢ δέχεσθαι ἄνευ μαρτύρων, οὐκ εἴπατε αὐτῷ ὅτι πρῶτος αὐτὸς ἀπόδειξον διὰ μαρτύρων ὡς προφήτης εἶ, καὶ ἀπὸ Θεοῦ ἐξῆλθες, καὶ ποία γραφὴ μαρτυρεῖ περὶ σοῦ, σιωπῶσιν αἰδού-

Digitized by Google

μενοι· πρὸς οὓς εὐλόγως φαμὲν, ἐπειδὴ γυναῖκα γῆμαι οὐκ ἔξεστιν ἄνευ μαρτύρων, οὐδὲ ἀγοράζειν, οὐδὲ κτᾶσθαι, οὔτε δὲ ὑμεῖς αὐτοὶ καταδέχεσθε ὄνον ἢ κτῆμα ἀμάρτυρον ὄντα, ἀλλὰ καὶ γυναῖκας καὶ κτήματα καὶ ὄνους καὶ τὰ λοιπὰ διὰ μαρτύρων κτᾶσθε, κακῶς ἄρα μόνην τὴν πίστιν καὶ τὴν γραφὴν ἀμάρτυρον ἔχετε· ὁ γὰρ ταύτην ὑμῖν παραδοὺς, οὐδαμόθεν ἔχει τὸ βέβαιον· οὐδέ τις προμάρτυς αὐτοῦ γνωρίζεται, ἀλλὰ κοιμώμενος ἐδέξατο ταύτην.

4. Καλοῦσι δὲ ἡμᾶς ἑταιριαστὰς, ὅτι φασὶν ἑταῖρον τῷ Θεῷ παρεισάγομεν, λέγοντες εἶναι τὸν Χριστὸν υἱὸν τοῦ Θεοῦ καὶ Θεὸν· πρὸς οὓς φαμὲν ὅτι τοῦτο ἡ γραφὴ καὶ οἱ προφῆται παραδεδώκασιν· ὑμεῖς δὲ ὡς διϊσχυρίζεσθε, τοὺς προφήτας δέχεσθε· εἰ οὖν κακῶς λέγομεν τὸν Χριστὸν υἱὸν Θεοῦ, κακῶς ἄρα ἐκεῖνοι ἐδίδαξαν καὶ παρέδωκαν ἡμῖν· καί τινες μὲν αὐτῶν φασὶν, ὅτι ὑμεῖς οἱ χριστιανοὶ τοὺς προφήτας ἀλληγορήσαντες τὰ τοιαῦτα προτεθείκατε· ἄλλοι δὲ ὅτι οἱ ἑβραῖοι μισοῦντες ὑμᾶς ἐπλάνησαν, ὡς ἀπὸ τῶν προφητῶν γράψαντες, ἵνα καὶ ἡμεῖς πλανώμεθα· πάλιν δὲ φαμὲν πρὸς αὐτοὺς· ὑμεῖς λέγοντες ὅτι ὁ Χριστὸς λόγος ἐστὶ τοῦ Θεοῦ καὶ πνεῦμα αὐτοῦ, πῶς λοιδορεῖτε ἡμᾶς ὡς ἑταιριαστάς; ὁ γὰρ λόγος καὶ τὸ πνεῦμα ἀχώριστα ἐστὶ τοῦ ἐν ᾧ πέφυκεν· εἰ οὖν ἐπὶ τῷ Θεῷ ἐστὶν ὁ λόγος αὐτοῦ, δηλονότι καὶ Θεός ἐστιν· εἰ δὲ ἐκτὸς τοῦ Θεοῦ ὁ λόγος καθ' ὑμᾶς, ὁ Θεὸς καὶ ἄπνους· οὐκοῦν φεύγοντες ἑταιριάζειν τὸν Θεὸν, ἐκόψατε αὐτὸν· κρεῖσσον δὲ ἦν ὑμᾶς λέγειν ὅτι ἑταῖρον ἔχει, ἢ κόπτειν αὐτὸν, καὶ ὡς λίθον ἢ ξύλον ἢ τί τῶν ἀναισθήτων παρεισάγειν· ὥστε ὑμεῖς μὲν ἡμᾶς ψευδηγοροῦντες ἑταιριαστὰς καλεῖτε· ἡμεῖς δὲ ἀληθεύομεν κόπτας ὑμᾶς προσαγορεύοντες τοῦ Θεοῦ.

Digitized by Google

5. Διαβάλλουσιν ἡμᾶς εἰδωλολάτρας προσκυνοῦντας τὸν σταυρὸν καὶ τὴν εἰκόνα τοῦ Χριστοῦ καὶ τῶν ἁγίων, ἃ ἐκεῖνοι βδελύττονται· καὶ φαμὲν πρὸς αὐτοὺς, πῶς ὑμεῖς λίθῳ προστρίβεσθε κατὰ τὸν Γαβαθᾶν ὑμῶν; καὶ φιλεῖτε τὸν λίθον τοῦτον ἄσμενοι; Καὶ τινὲς μὲν αὐτῶν φασιν, ὅτι ἐπάνω τούτου Ἀβραὰμ συνουσίασε τῇ Ἄγαρ· ἄλλοι δὲ ὅτι αὐτοῦ προσέθησε τὴν κάμηλον μέλλων θύειν τὸν Ἰσαάκ. Καὶ πρὸς αὐτοὺς ἀποκρινόμεθα· τῆς γραφῆς λεγούσης ὅτι ὄρος ἦν ἀλσῶδες, καὶ ξύλα ἀφ' ὧν εἰς τὴν ὁλοκάρπωσιν σχίσας Ἀβραὰμ ἐπέθηκε τῷ Ἰσαάκ, καὶ ὅτι μετὰ τῶν παίδων τὴν ὄνον κατέλιπε, πόθεν ὑμῖν τὸ ληρεῖν; οὔτε γὰρ ἐκεῖ ξύλα δρυμώδη κεῖνται, οὔτε ὄνοι διοδεύουσιν· αἰδοῦνται οὖν· ὅμως φασὶν εἶναι τὸν λίθον τοῦ Ἀβραὰμ, καὶ ἐπ' αὐτοῦ συνουσιάσαι γυναικί· καὶ ὅτι τὴν κάμηλον αὐτοῦ προσέθησεν· εἶτα οὐκ αἰδεῖσθε, ἀλλ' ἡμᾶς εὐθύνετε ὅτι τὸν σταυρὸν τοῦ Χριστοῦ προσκυνοῦμεν καὶ τὴν εἰκόνα, δι' ὧν δαιμόνων ἰσχὺς καὶ διαβόλου καταλύεται πλάνη; οὗτος δὲ ὃν φασὶ λίθον, κεφαλὴ τῆς Ἀφροδίτης ἐστὶν ἣν προσεκύνουν, ἣν δὴ καὶ Χαμὰρ προσηγόρευον· ὑφ' οὗ καὶ μέχρι νῦν ἐκ γλυφίδος ἀποσκίασμα ταύτης τοῖς ἀκριβῶς κατανοοῦσι φαίνεται.

6. Οὗτος τοίνυν ὁ Μωάμεθ πολλὰς ὡς εἴρηται λοιδορίας συντάξας, ἑκάστῃ τούτων προσηγορίας ἐπέθηκεν, οἷον ἡ γραφὴ τῆς γυναικὸς· ἐν ταύτῃ δὲ τῇ λεγομένῃ γραφῇ τῆς γυναικὸς, τέσσαρας γυναῖκας προφανῶς λαμβάνειν νομοθετεῖ, καὶ παλλακὰς ἐάν τις θύνηται χιλίας, ἢ ὅσας ἡ χεὶρ αὐτοῦ κατάσχῃ, ὑποκειμένας ταῖς τέσσαρσι γυναιξίν· ἣν δ' ἂν βουληθῇ ἀπολύειν, καὶ κομίζεσθαι ἄλλην ἣν ἂν ἐθέλῃ, ἐκ τῆς τοιαύτης αἰτίας ἐνομοθέτησε· σύμπονον δὲ ἔσχε

Digitized by Google

Ζεὶδ προσαγορευόμενον· οὗτος γυναῖκα ὡραίαν εἶχεν, ἧς αὐτὸς ἠράσθη· καθημένων οὖν αὐτῶν, φησὶ πρὸς αὐτὸν· Ζεὶδ, ὁ Θεὸς ἐνετείλατό μοι ἵνα ἀπολύσῃς τὴν γυναῖκά σου· ὁ δὲ ἀπέλυσε· καὶ μεθ' ἡμέρας τινὰς φησὶν· ὁ Θεὸς ἐνετείλατό μοι τὴν γυναῖκα ἣν σὺ ἀπέλυσας λαβεῖν· ὁ δὲ ἔφη· ἀπόστολος εἶ· ποίησον ὅσα ὁ Θεὸς ἐνετείλατο· εἶτα λαβὼν καὶ μοιχεύσας αὐτὴν, τοιοῦτον ἔθηκε νόμον· ὁ βουλόμενος, ἀπολυέτω τὴν γυναῖκα αὐτοῦ· ἐὰν δὲ μετὰ τὸ ἀπολυθῆναι, πρὸς αὐτὸν ἀναςρέψῃ, γαμείτω αὐτὴν ἕτερός τις· οὐ γὰρ ἔξεστι λαβεῖν αὐτὴν, εἰ μὴ γαμηθῇ ὑφ' ἑτέρου· ἐὰν δὲ καὶ ἀδελφὸς ἀπολύσῃ, γαμείτω αὐτὴν ὁ ἀδελφὸς αὐτοῦ ὁ βουλόμενος· ἐν αὐτῇ δὲ τῇ γραφῇ τοιαῦτα παραγγέλλει· ἔργασαι τὴν γῆν ἣν ἔθηκέ σοι ὁ Θεὸς, καὶ φιλοκάλησον αὐτὴν, καὶ τόδε ποίησον, καὶ τοιῶσδε, ἵνα μὴ πάντα λέγω ὡς ἐκεῖνος αἰσχρά.

7. Πάλιν ἄλλη γραφὴ ἡ τῆς καμήλου τοῦ Θεοῦ, ἐν ᾗ λέγει ὅτι ἦν κάμηλος ἐκ Θεοῦ, καὶ ἔπινεν ὅλον τὸν ποταμὸν, καὶ διήρχετο μεταξὺ δύο ὀρέων διὰ τὸ μὴ χωρεῖσθαι· λαὸς δὲ φησὶν ἦν ἐν τῷ τόπῳ, καὶ τὴν μίαν ἡμέραν αὐτὸς ἔπινε τὸ ὕδωρ· ἡ δὲ κάμηλος, τῇ ἑξῆς· πίνουσα δὲ τὸ ὕδωρ ἔτροφεν αὐτοὺς γάλα παρεχομένη ἀντὶ τοῦ ὕδατος· ἀνέστησαν οὖν οἱ ἄνδρες ἐκεῖνοι πονηροὶ ὄντες, καὶ ἀπέκτειναν τὴν κάμηλον· τῆς δὲ γέννημα ὑπῆρχε μικρὰ κάμηλος, ἥτις φησὶ τῆς μητρὸς ἀναιρεθείσης ἐβόησε πρὸς τὸν Θεὸν· καὶ ἔλαβεν αὐτὴν πρὸς ἑαυτόν. Πρὸς οὓς φαμὲν· πόθεν ἡ κάμηλος ἐκείνη; καὶ λέγουσιν, ὅτι ἐκ τοῦ Θεοῦ. Καὶ φαμὲν· συνεβιβάσθη αὐτῇ ἄλλη κάμηλος; Καὶ λέγουσιν, οὔ. Πόθεν οὖν, φαμὲν, ἐγεννήσεν; ὁρῶμεν γὰρ ταύτην τὴν κάμηλον ὑμῶν ἀπάτορα ἀμήτορα ἀγενεαλόγη-

Digitized by Google

τον· γεννήσασα δὲ, κακὸν ἔπαθε, καὶ αὐδὲ ὁ βιασάμενος φαίνεται· ἡ δὲ μικρὰ κάμηλος ἀνελήφθη· ὁ οὖν προφήτης ὑμῶν ᾧ καθὼς λέγετε ἐλάλησεν ὁ Θεὸς, διατί περὶ τῆς μικρᾶς καμήλου οὐκ ἔμαθε ποῦ βόσκεται, καὶ τίνες τῷ γάλακτι τρέφονται αὐτὴν ἀμέλγοντες; ἢ καὶ αὐτὴ μήποτε τοῖς κακοῖς ὡς ἡ μήτηρ περιτύχουσα ἀνῃρέθη; ἢ ἐν τῷ παραδείσῳ πρόδρομος ὑμῶν εἰσῆλθεν; ἀφ' ἧς ὁ ποταμὸς ὑμῖν ἔσται τοῦ γάλακτος ὃν ληρεῖτε· τρεῖς γὰρ ποταμοὶ ἐν τῇ γραφῇ ὑμῶν, τῇ περὶ τοῦ παραδείσου, φατὲ ῥέειν ὕδατος εἶνου καὶ γάλακτος· εἰ μὲν οὖν ἐκτός ἐστι τοῦ παραδείσου ἡ πρόδρομος ὑμῶν κάμηλος, ἐξηράνθη πείνᾳ καὶ δίψῃ, ἢ ἄλλοι τοῦ γάλακτος αὐτῆς ἀπολαύουσι· καὶ μάτην ὁ προφήτης ὑμῶν φρυάττεται ὡς ὁμιλήσας Θεῷ, οὐ γὰρ τὸ μυστήριον αὐτῷ ἀπεκαλύφθη τῆς καμήλου· εἰ δὲ ἐν τῷ παραδείσῳ ἐστὶ, πάλιν πίνει τὸ ὕδωρ· καὶ ὑμεῖς ἀνυδρίᾳ ξηραίνεσθε ἐν μέσῳ τῆς τρυφῆς τοῦ παραδείσου, καὶ ὕδωρ ἐκ τοῦ μὴ παροδεύοντος ἐπιθυμήσετε ποτοῦν, ἀπέπιε γὰρ ὅλον ἡ κάμηλος· ἄκρατον οὖν πίνοντες, μέλλετε ἐκκαίεσθαι καὶ μέθαις παραπέμπεσθαι, καὶ καθεύδειν· καρηβαροῦντες δὲ καὶ μεθ' ὕπνου κεκραιπαληκότες ἐξ εἶνου, τῶν ἡδέων τοῦ παραδείσου ἐπιλανθάνεσθε· πῶς οὖν ὁ προφήτης ὑμῶν οὐκ ἐνενοήθη ταῦτα, μήποτε τί συμβῇ ἐν τῷ παραδείσῳ τῆς τρυφῆς; αὐδὲ περὶ τῆς καμήλου πεφρόντικεν, ὅπως νῦν διάγει; ἀλλ' αὐδὲ ὑμεῖς ἠρωτήσατε αὐτὸν, ὡς ὑμῖν περὶ τῶν τριῶν διηγόρευσεν ὀνειροπολούμενος ποταμῶν· ἀλλ' ἡμεῖς σαφῶς τὴν θαυμασὴν ὑμῶν κάμηλον εἰς πόας ὄνου *, ὅπου καὶ ὑμεῖς μέλλετε διάγειν, ὡς κτηνώδεις, προδραμοῦσαν ὑμῖν ἐπαγγελλόμεθα· ἐκεῖσε δὲ σκότος ἐστὶν ἐξώτερον, καὶ κόλασις ἀτελεύτητος, πῦρ ἠχοῦν, σκώληξ ἀκοίμητος, καὶ τάρταρει δαίμονες.

* ᾄδου?

Digitized by Google

8. Ἐν αὐτῇ δὲ τῇ γραφῇ τῇ περὶ τοῦ παραδείσου λέγει ὁ Μωάμεδ ἑαυτὸν εἶναι κλειδοῦχον τοῦ παραδείσου, καὶ ὅτι παραστήσεται Μωϋσῆς σὺν τοῖς Ἰσραηλίταις, καὶ ὡς παραβάται τοῦ νόμου, τῇ κολάσει τοῦ πυρὸς ἐκδοθήσονται· οἱ δὲ χριστιανοί, ὡς τὸν Χριστὸν υἱὸν θεοῦ καὶ θεὸν ἀποκαλέσαντες, καὶ σεσαρκωμένον, καὶ ἐσταυρωμένον αὐτὸν δογματίσαντες, φησὶ γὰρ ὅτι ἡ σὰρξ αὐτοῦ ἐσταυρώθη ὑπὸ τῶν ἰουδαίων, τῇ τοῦ πυρὸς γεέννῃ παραδοθήσονται· εἶτα ἑαυτὸν φησὶν ὑπὸ θεοῦ κεκλῆσθαι, καὶ ὡς μάλα θεοσεβῆ καὶ πάντι τῷ αὐτῶν ἔθνει αἴτιον θεοσεβείας ὑπάρξαντα ἐπαινεῖσθαι, καὶ τούτου χάριν κλειδοῦχον χρηματίσαι· καὶ ἀπεσταλθαι τοῦ ἀνοίξαι, καὶ συνεισελεύσεσθαι αὐτῷ ἀναντιῤῥήτως λόγου χωρὶς καὶ διακρίσεως ἑβδομήκοντα χιλιάδας· καὶ τοὺς λοιποὺς κριθήσεσθαι φάσκει, καὶ τοὺς μὲν δικαίους ἀναμφιβόλως τῆς τρυφῆς ἀπολαῦσαι, τοὺς δὲ εὑρισκομένους ἁμαρτωλοὺς πιττάκια φορέσαι ἐν τοῖς τραχήλοις δεδεμένα, καὶ εἰς τὸν παράδεισον εἰσελθεῖν, καὶ τούτους ἐπονομάζεσθαι ἀπελευθέρους τοῦ θεοῦ καὶ τοῦ Μωάμεδ· τὰς δὲ γυναῖκας συνεῖναι μὲν αὐτοῖς ἀπαθῶς, καὶ θεραπεύειν αὐτούς, καὶ φιλοκαλεῖν αὐτῶν τὰς κόμας· καὶ τοὺς σαμαρείτας ἔφη εἰσέρχεσθαι ἐν τῷ παραδείσῳ οὐ πρὸς τὸ ἀπολαῦσαι, ἀλλ' ἵνα τὰ ἐκφόρια καὶ τὴν κόπρον αὐτῶν τοῦ παραδείσου ἐκβάλλωσιν, ὅπως ἂν μὴ ἀποζέσειεν ὁ παράδεισος· ἕκαστον δὲ ὡς ἂν ἐνταῦθα βιώσειεν εἴτε ἐν πλούτῳ, εἴτε ἐν πενίᾳ, οὕτως καὶ ἐκεῖθεν διάγειν· τοὺς δὲ ἰουδαίους καὶ τοὺς χριστιανοὺς λέγει ξύλα πυρὸς γενομένους βληθήσεσθαι εἰς αὐτό.

9. Πάλιν ἄλλη γραφὴ ἡ περὶ τῆς τραπέζης, ὅτι ἠτήσατο ὁ Χριστὸς τράπεζαν παρὰ τοῦ θεοῦ μετὰ τὸ πληροφορῆσαι αὐτὸν, ὅτι οὐκ εἶπεν ἑαυτὸν υἱὸν θεοῦ· καὶ παρ-

Digitized by Google

ἔσχεν αὐτῷ εἰπὼν οὕτως· δέδωκα σοι τράπεζαν ἄφθαρτον, ἵνα εὐφραίνῃ. Καὶ πάλιν ἄλλη γραφὴ ἡ περὶ τοῦ βοῦδίου, ἐν ᾗ λέγει τινὰ ῥήματα γέλωτος ἄξια, ἃ διὰ τὸ πλῆθος παραθραμεῖν εἴσμαι δεῖν· περιτέμνεσθαι δὲ αὐτοὺς νομοθετήσας, καὶ μήτε σαββατίζειν, μήτε βαπτίζεσθαι προστάξας· καὶ τῶν μὲν τῷ νόμῳ ἀπηγορευμένων ἐσθίειν, τῶν δὲ ἀπέχεσθαι παραδοὺς, οἰνοποσίαν παντελῶς ἀπηγόρευσεν ὁ πλάνος οὗτος· πρὸς τούτοις, παντὸς ἀγαθοῦ καὶ πονηροῦ αἴτιον ὑπάρχειν τὸν Θεὸν ἐδογμάτισε, καὶ πᾶν ὅπερ ἐπέλθῃ, ἐξ ἐπηράσει τοῦ πονηροῦ ἐναντίου, ἐκ Θεοῦ εἶναι ἐτερατεύετο· καὶ τοὺς λῃστὰς καὶ φαρμακοὺς καὶ ὅσους ἂν ἐπ' ἀπηγορευμένοις πράγμασιν ἁλόντας, καὶ ἀναιρουμένους ἴδοι τις, οὕτω φησὶν ἔγραψεν ὁ Θεὸς γενέσθαι, καὶ οὕτως ἀποθανεῖν ἠβουλήθη, τύχην διορισάμενος εἶναι, καὶ εἱμαρμένην, καὶ ἄλλους πλείστους λήρους· οἷς ὀνειροποληθέντες οἱ ἄθλιοι τῶν αἰωνίων ἀγαθῶν ὡς ἀσεβεῖς καὶ βλάσφημοι ἀπαλλοτριοῦνται. Ἀνεφύη δὲ ἡ τοιαύτη τῶν Ἰσμαηλιτῶν αἵρεσις ἐπὶ τῶν χρόνων Ἡρακλείου τοῦ βασιλέως, ὡς εἶναι μέχρις αὐτοῦ ἀπὸ κτίσεως κόσμου ἔτη ςρμέ.

10. Ἵνα δὲ προσθῶμεν τοῖς εἰρημένοις τὸ κατὰ μηδὲν τὸν Μωάμεθ ἀληθὲς λέγειν, εἰρήσηται καὶ ταῦτα ἐκ τῆς αὐτοῦ βίβλου παρεμβληθέντα. Ἐπιμνησθεὶς τοῦ Χριστοῦ καὶ τοῦ εὐαγγελίου, φησὶν ὡς ἐκ προσώπου Θεοῦ· ἀπεστείλαμεν ἀκόλουθον τῶν προφητῶν πάντων Ἰησοῦν, τὸν υἱὸν Μαρίας εἰς τὸ ἀγαθοποιῆσαι τὰ πρὸ αὐτοῦ, καταγαγόντες πρὸς αὐτὸν τὸ εὐαγγέλιον, ἐν ᾧ ἐστιν ὁδήγησίς φησι καὶ δικαιοσύνη κατὰ τὴν δύναμιν τοῦ πρὸ αὐτοῦ νόμου· εἰ γοῦν ταῦτα πάντα τῷ Ἰησοῦ καὶ τῷ εὐαγγελίῳ αὐτοῦ δέδοται, σὺ τί λέλοιπας, ὦ Μωάμεθ, συνεισενεγκεῖν τοῖς ἀνθρώποις; οὐδὲν

Digitized by Google

ἕτερον πάντως ἢ πλάνην, καὶ τῶν ἀληθῶν δογμάτων διαφθορὰν· πάλιν λέγει ὡς ἐκ προσώπου τοῦ Θεοῦ· ὅταν ἠθέλομεν ἀπολέσαι χωρίον, ἐκελεύομεν τοῖς ἐστῶσιν ἐν αὐτῷ, καὶ ἠσώτευσεν ἐν αὐτῷ· καὶ ἐδικαιοῦτο ἐπάνω αὐτῶν ὁ λόγος ὁ τῆς ἀπωλείας αὐτῶν, καὶ τῆς κατ' αὐτῶν ἀποφάσεως· καὶ ἐδαμάσαμεν αὐτοὺς δάμασι, καὶ πολλοὺς ἀπωλέσαμεν· οὐκ ἀσωτίαις καὶ ὀλέθροις ἀνθρώπων χαίρει Θεὸς, ἀλλ' ὁ κελεύων ἀσωτεύειν διάβολος.

11. Τὸν ἥλιον καὶ τὴν σελήνην ἐφ' ἵππους εἶναι φησὶν· οὐκ εἰδὼς ὁ ἄθλιος ὡς ἄψυχα ταῦτα ὄντα, ἱππεύειν οὐ δύναται· πῶς δὲ καὶ ἵπποι σαρκίον φθαρτὸν περικείμενοι, ὄχημα πυρὸς εἶναι ὑποστήσονται; οἱ δὲ κατὰ τὸν Ἠλίαν ἔμπυροι ἵπποι, οὐ φύσιν, ἀλλὰ σχῆμα μόνον ἵππων περιέκειντο. Ἐκ τῆς βδέλλας φησὶ γενέσθαι τὸν ἄνθρωπον· καὶ πάντα τὰ ζῶα βιβρώσκειν προτρέπεται, πλὴν τοῦ χοίρου· φαγετε γάρ, φησιν, ἐκ τῶν ὄντων ἐν τῇ γῇ· καθαρὰ γὰρ καὶ καλὰ, καὶ μὴ ἐξακολουθεῖτε τοῖς ἴχνεσι τοῦ σατανᾶ· σατανᾶν τὸν Θεὸν ἀποκαλῶν, τὸν τὰ μὲν καθαρὰ, τὰ δὲ ἀκάθαρτα προσηγορευκότα· καὶ εἰ σατανᾶς, ὦ λῆρε, ὁ τὴν παλαιὰν νομοθεσίαν ἐκθέμενος, πῶς ἐν ἄλλοις Θεὸν αὐτὸν ὀνομάζεις; Περὶ νηστείας νομοθετῶν οὕτω φησὶν· ἔξεστιν ὑμῖν ἡ νὺξ τῆς νηστείας εἰς μίξιν τῶν γυναικῶν ὑμῶν· αὗται γὰρ ὑμῶν εἰσὶ σκεπάσματα· ἔγνω γὰρ ὁ Θεὸς, ὅτι παραβουλεύεσθε ταῖς ψυχαῖς ὑμῶν ἐν νηστείᾳ, καὶ ἵλεως ὑμῖν γίνεται· μίχθητε αὐταῖς εἰς παράκλησιν, καὶ φάγετε ἑσπέρας καὶ πίετε, ἕως τὸ τῆς νυκτὸς μέλαν φανῇ λευκὸν διὰ τῆς ἡμέρας· πόσα νηστεία, βδελυρὲ καὶ ἀκάθαρτε, ἢ ποῖος νόμος Θεοῦ, τὸ δι' ὅλης νυκτὸς ἐσθίειν καὶ ἀσελγαίνειν; Περὶ σωφροσύνης αὐτοῖς διαλεγόμενος, φησὶν· αἱ γυναῖκες

Digitized by Google

ὑμῶν, νεατὸς ὑμῶν· εἰσέλθετε εἰς τοὺς νεατοὺς ὑμῶν ὅταν βούλεσθε, καὶ συνέλθετε ταῖς ψυχαῖς ὑμῶν· τοὐτέστι, πᾶσαν ἐπιθυμίαν τῶν ψυχῶν ὑμῶν πληρώσατε· καὶ χρήσασθε ταῖς γυναιξὶν ὑμῶν ἀμφοτέρωθεν· τί τῶν ῥημάτων τούτων ἀσελγέστερον τε καὶ μιαρώτερον;

12. Εἰς τὸν καθ' ἡμῶν πόλεμον ἐπεγείρων τοὺς μαθητὰς αὐτοῦ, φησὶ· φονεύσατε αὐτοὺς ὅπου ἂν συναντήσητε αὐτοῖς· οὐ ταῦτα δὲ μόνον φησὶν, ἀλλὰ καὶ παρὰ τῷ θεῷ μισθαποδοσίαν κεῖσθαι τοῖς καταχραίνουσιν αὐτοὺς τοῖς τῶν χριστιανῶν αἵμασιν· ἀλλὰ καὶ τὴν πέμπτην μοῖραν τῶν αἰχμαλώτων καὶ τῶν ἄλλων σκύλων ἀνατίθεσθαι τῷ θεῷ ὑποτίθησι, καὶ τῷ προφήτῃ Μωάμεδ· παραινεῖ δὲ καὶ κατατάττεσθαι τοῖς χριστιανοῖς, εἰ τὴν τῶν Σαρρακηνῶν θρησκείαν ἐπανέλωνται· καὶ εἰς ἀδελφοὺς αὐτοὺς παραδέχεσθαι, ἐκ τῆς ἄκρας ἀπηνείας τὸ ἀκρότατον τῆς ἀγάπης ἐπαναιρούμενος· ἔστι δὲ τὸ ἐκ τούτου μηχάνημα, ἐξόμνυσθαι τοὺς ἀφελεστέρους τὰ τῶν χριστιανῶν ὄργια σαινομένους τῷ περιόντι τῆς ἀδελφότητος. Παραινεῖ τοῖς ἰδίοις λέγων, μὴ γίνεσθε ἀντιλήπτορες ἰουδαίων καὶ χριστιανῶν· ὅστις γὰρ ὑπερασπίζεται αὐτῶν ἐξ ὑμῶν, ὁ τοιοῦτος ἐξ αὐτῶν ὑπάρχει· καὶ πάλιν ταλανίζων χριστιανοὺς καὶ ἰουδαίους λέγει· οὐαὶ ὑμῖν οἰκεῖοι γραφῶν· οὐδὲν ἔσται ὑμῖν, ἕως ἂν ἐξακολουθῆτε τῷ νόμῳ, καὶ τῷ εὐαγγελίῳ· καὶ κατὰ μὲν χριστιανῶν ταῦτα φθεγγόμενος, οὐδέν τι καινὸν διαπράττεται, ὡς καὶ μισῶν αὐτοὺς κατὰ κράτος· ἰουδαίους δὲ ὧν τὴν περιτομὴν ἀσπάζεται, καὶ πολλὰ τῶν ἐθίμων τηρεῖν παραδίδωσι, καθ' ὅν τινα λόγον ἐπεμβριμᾶται τὰ πάνδεινα.

13. Πάλιν ἑαυτῷ κατασκευάζων τὸ ἀξιόπιστον, εἰσάγει τὸν θεὸν μαρτυροῦντα περὶ αὐτοῦ, καὶ ὁμνύοντα, καὶ λέ-

Digitized by Google

γοντα· μὰ τὸ ἄστρον τὸ δυόμενον, οὐκ ἐπλανήθη ὁ ἑταῖρος ὑμῶν, οὐδὲ ἠνόμησε, καὶ οὐκ ἐφθέγξατο ἐκ θελήματος· ἀλλὰ καὶ Ἰησοῦν, τὸν τῆς Μαρίας υἱὸν, προφητεῦσαι περὶ αὐτοῦ εἰπόντα· ἐγὼ ἀπόστολος εἰμὶ τοῦ θεοῦ πρὸς ὑμᾶς, ἀληθοποιῶν τὰ ἔμπροσθέν μου τὰ τοῦ νόμου, εὐαγγελιζόμενος ἀπόστολον ἐρχόμενον μετ' ἐμὲ, οὔνομα αὐτῷ Μωάμεθ· καὶ ποῦ τοῦτο προεφήτευσεν ὁ Χριστὸς, ἢ ἐν ποίᾳ γραφῇ εἴρηκεν; ἐν οὐδεμιᾷ πάντως· ὥστε ψευδορράφος καὶ ἀπατεὼν ὁ Μωάμεθ, μαρτυρίας ἔλκων πρὸς ἑαυτὸν τοῦ Χριστοῦ, ἃς οὐδεὶς τῶν χριστωνύμων ἐπίσταται. Λέγουσιν οἱ Σαρρακηνοὶ, ἶσον εἶναι τὸ τὴν παρθένον τεκεῖν, καὶ τὸ πλασθῆναι τὸν Ἀδὰμ ἀπὸ τοῦ χοὸς· φαμὲν δὲ ἡμεῖς, ὡς ὁ Χριστὸς ἐκ παρθένου γεγένηται, διὰ τὸ εἶναι θεὸς καινοποιήσας ἐκ ταύτης πρόσθεν· ὁ δὲ Ἀδὰμ πλάσμα τοῦ θεοῦ γενόμενος, καὶ μὴ ἐκ προγενεστέρας διαδοχῆς τὴν γένεσιν ἕλκων, ἐκ πηλοῦ διήρτισται· πολὺ οὖν τὸ μέσον θεοῦ γεννήσεως, καὶ ἀνθρώπου πλάσεως.

14. Φάσιν οἱ Σαρρακηνοὶ, ὡς ὁ Μωάμεθ ἐστὶν ὁ δηλούμενος ἐν τῷ Δανιὴλ ἄνευ χειρὸς ἐξ ὄρους τιληθῆναι λίθος· ἀκούουσι δὲ, ὡς τίς μετουσίᾳ τῷ Δανιὴλ καὶ τῷ Μωάμεθ, ὥστε περὶ αὐτοῦ τὸν προφήτην τοιαῦτα λέγειν, κακολογοῦντος Μωσέα καὶ τὸν νόμον; ποίαν δὲ καὶ εἰκόνα ὁ Μωάμεθ ἐπάταξε καὶ ἐλέπτυνεν, ὡς ὁ Χριστὸς τὴν πολυθεΐαν, ὃς καὶ ἐγένετο εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν; Πάλιν λέγουσι, τί ὠφέλοιεν ἡμᾶς ὁ υἱὸς τοῦ θεοῦ σαρκωθείς; καὶ φαμὲν ἡμεῖς ὡς τὸ τῆς τριάδος μυστήριον ἀπεκαλύφθη, καὶ ἐπεγνώσθη, καὶ ἐπιστεύθη τῷ κόσμῳ παντὶ· ἡ δὲ τῆς ἑλληνικῆς ἀπάτης πολυθεΐα ἠφάνισται, μαντεία, καὶ φαρμακεία, καὶ δαιμονιώδης μαγγα-

Digitized by Google

νέα ἐκποδὼν ᾤχετο· υἱοθεσίας δὲ βάπτισμα, καὶ ἀπολύτρωσις, καὶ διανομαὶ χαρισμάτων πᾶσι τοῖς πιστεύσασιν ἐξηπλώθησαν, ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν διεδόθη τὸ εὐαγγέλιον, τὸ τοῦ φραγμοῦ τῆς παλαιᾶς ἔχθρας θεοῦ καὶ ἀνθρώπων μεσότοιχον διαλέλυται, καταλλαγέντος ἡμῖν τοῦ θεοῦ τῇ ἰδίου υἱοῦ μεσιτείᾳ· καὶ ἡ τῶν οὐρανῶν βασιλεία ἀνέῳκται, καὶ ἄλλα ἀγαθὰ τοῖς ἀνθρώποις κεχάρισται, ὧν κατὰ μέρος μνημονεύειν παρήκαμεν.

15. Ἔτι φασὶν, ὡς θέλων ὁ Χριστὸς ἐσταυρώθη, ἢ μὴ θέλων· καὶ εἰ μὲν θέλων, ἀνεύθυνοι οἱ σταυρώσαντες· εἰ δὲ μὴ θέλων, ἀσθένειαν αὐτῷ τοῦτο καὶ ἀδυναμίαν περιάπτει· ἀποκρινόμεθα οὖν ὅτι καὶ θέλων ἐσταύρωται ὁ Χριστὸς, καὶ τῆς ἐσχάτης κατακρίσεως οἱ σταυρωταὶ ἄξιοι· ὅτι δὲ ἑκουσίως ἔπαθεν, αὐτὸς ἔδειξε πρὸ τοῦ παθεῖν εἰρηκὼς· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν, καὶ οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ· ἀλλὰ καὶ πολλάκις βουληθέντες αὐτῷ χεῖρας ἐπιβαλεῖν Ἰουδαῖοι, οὐκ ἐπέβαλον, διὰ τὸ μήπω τὸν προορισμὸν τοῦ πάθους ἐληλυθέναι καιρὸν· ἠθέλησε δὲ παθεῖν ἵνα καταργήσῃ τὸν θάνατον, καὶ ὁδοποιήσῃ τὴν ἐκ νεκρῶν ἀνάστασιν· πῶς δὲ κατηγορηθῶσι οἱ σταυρωταί; ὅτι νόμον καὶ προφήτας ἀναγινώσκοντες, τὸν καιρὸν τῆς αὐτοῦ παρουσίας προκαταγγέλλοντας, οὐ μόνον οὐκ ἔγνωσαν αὐτὸν εἶναι τὸν εἰς κοινὴν σωτηρίαν ἐρχόμενον, ἀλλὰ καὶ πολλὰς εὐεργεσίας ἐπιδεξάμενον ἀνείλον σταυρώσαντες.

16. Πάλιν λέγουσιν, εἰ ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου, ἀνηρτήθη δὲ καὶ ὁ Χριστὸς ἐπὶ ξύλου, ἐπικατάρατος ἄρα καὶ οὗτος ἐστὶ· καὶ πῶς ἀπὸ τοῦ ἐπικα-

Digitized by Google

ταράτου εὐλογία δοθήσεται; ἀκούσυσι δὲ ἐξ ἡμῶν, ὅτι ὥσπερ ὁ Θεὸς ὢν γέγονε δι' ἡμᾶς ἄνθρωπος, καὶ τὰς ἀσθενείας ἡμῶν ἦρε, καὶ τὰς νόσους ἐβάστασε, καὶ θανάτου ἐγεύσατο, ἵν' ἡμᾶς καὶ τοῦ θανάτου καὶ τῆς κατάρας ἐλευθερώσῃ· τὸ γὰρ ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε, καὶ τὸ ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, τῶν ἀνθρώπων ἡμῶν ἐπιτίμιον· οὕτω καὶ κατάρα ἤκουσε, καὶ τῆς ἐκ τοῦ νόμου κατάρας ἡμᾶς ἐξηγόρασε· καὶ ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες ἀπεθάνομεν, οὕτως ἐν τῷ Χριστῷ πάντες ζήσομεν· ἔξεστι δὲ καὶ ἀπὸ παραδείγματος παραστῆσαι τοῦτο· ἐν τῇ ἐρήμῳ οἱ ὄφεις τοὺς ἑβραίους ἔδακνον, εἰκόνα δὲ χαλκῆν ὄφεως, ὃς ἐπικατάρατος ἤκουσε, ποιήσας Μωϋσῆς, ἀνεστάυρωσέ τε τουτονὶ, καὶ εἶπεν· ὁ δακνόμενος ὑπὸ ὄφεως προσεχέτω τούτῳ τῷ ὄφει, καὶ σωθήσεται· ἦν δὲ ὁ ὄφις οὗτος ἀντίτυπος τοῦ Χριστοῦ.

17. Πρὸς τούτοις λέγουσιν, ὡς ὑμεῖς οἱ χριστιανοὶ οὕτω τιμᾶτε τὸν σταυρὸν, καθὼς ἄρα καὶ τὸν Χριστὸν τιμᾶτε· τοῦτο δέ ἐστι συκοφαντία πρόδηλος· ὁ μὲν γὰρ Χριστὸς τιμᾶται παρ' ἡμῶν ὡς Θεὸς, ὁ δὲ σταυρὸς ὡς θείας χάριτος μετασχὼν, διὰ τὸν ἐν αὐτῷ σταυρωθῆναι καταδεξάμενον, ἀφ' οὗ δὴ καὶ ἐνήργηκε, καὶ καθεκάστην ἐνεργεῖ πολλὰ θαύματα· διὰ τοῦτο καὶ τιμητέος ἡμῖν ὁ σταυρὸς, οὐχ ὡς ξύλον ἀλλ' ὅτι τῷ πάθει τοῦ Χριστοῦ κεχαρίτωται· ἐπεὶ καὶ σὺ ἐν τῷ Μέκκε παραγινόμενος, κἀκεῖσε τελῶν τὰ δοκοῦντα σοι ὄργια, οὐχὶ τοῖς λίθοις καὶ τοῖς τοίχοις ἀπονέμεις τὸ σέβας, ἀλλὰ τῷ τιμωμένῳ ἐν τῷ ἐκεῖσε οἴκῳ· ἀκούσμεν δὲ καὶ ὡς ἀψάμενός τις τῆς νομικῆς κιβωτοῦ τετιμώρηται· ἦν δὲ κἀκείνη ἐκ ξύλων κατεσκευασμένη, πλὴν διὰ τὴν χάριν τῶν ἀποκειμένων ἐν αὐτῇ, πολὺ τὸ σεβάσμιον εἶχεν ἀπὸ Θεοῦ.

Digitized by Google

18. Πρὸς οἷς εἴπομεν, ἐπεγκαλοῦσιν ἡμῖν τῶν ἐντολῶν τοῦ Χριστοῦ παράβασιν, κακὸν ἀντὶ κακοῦ ἀποδιδοῦσι, καὶ μεριμνῶσι περὶ τροφῆς καὶ ἐνδύματος· φαμὲν οὖν, ὡς οὐ παραβαίνομεν τὸν τοῦ Χριστοῦ νόμον, τοὺς ἐχθροὺς ἡμῶν καὶ ταῦτα τοὺς ἀπίστους ἀμυνόμενοι, ἀλλὰ μᾶλλον πληροῦμεν τὸ δίκαιον· παραινεῖ γὰρ ὁ νόμος τοῖς ὑμῖν αὐτοῖς πταίσυσι συγχωρεῖν, τοῖς δ' ἀδικουμένοις ἐπαμύνειν· τοῦτο δὲ καὶ ὁ Θεὸς ἐποίησε, καταποντίσας Φαραὼ τὸν τοῖς ἑβραίοις πολέμιον· καὶ γὰρ ὁ Δαβὶδ νίψομαι φησὶν ἐν αἵματι ἁμαρτωλοῦ· ἀλλαχοῦ ψάλλων, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι ἀπὸ τῶν ἐχθρῶν μου κενὸς· ἐκεῖνο τοῦ ζήλου ἔνδειξις ἢ ἐμπύρευμα ἦν κατὰ τῶν χαιρόντων ταῖς κοινοβλαβέσι πράξεσι· τοῦτο δὲ τῶν ἐκείνῳ ἐπισπαιόντων συγχώρησις· καὶ ἄλλως δὲ εἰπεῖν· ὁ μὲν κατάρχων πολέμου καὶ ἀδικίας, καὶ νόμον παραβαίνει, καὶ τὴν φύσιν ἀθετεῖ· ὁ δὲ κατὰ τοῦ τοιούτου ὁπλιζόμενος, καὶ τὴν φύσιν ἐλεεῖ, καὶ κατὰ τὸ δυνατὸν ἐξομοιοῦται Θεῷ, ἐξέλεσθε πτωχὸν καὶ πένητα λέγοντι, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτὸν· τὸ δὲ μὴ μεριμνήσητε τροφῆς καὶ ἐνδύματος, τοῖς ἀποστόλοις διατέτακται, ὡς ἂν μήτε ἐν μεγάλῳ μήτε ἐν μικρῷ καταγινώσκωνται· ἐὰν γὰρ τὸ ἅλας μωρανθῇ, φησὶν, ἐν τίνι ἁλισθήσεται; πλὴν οὐδὲ τὴν χρείαν ἀπαγορεύει, ἀλλὰ τὰ περιττὰ· πολλοὶ δὲ τῶν πάλαι χριστιανῶν, καὶ τῶν σήμερον δὲ οὐκ ὀλίγοι, γεγόνασι καὶ εἰσὶ τῶν ὑψηλῶν τούτων καὶ μεγάλων ἐντολῶν φύλακες.

Digitized by Google

[illegible]

[illegible]

[illegible] Μεθόδιος [illegible] Κωνσταντινουπόλεως [illegible] Μιχαὴλ καὶ Θεοδώρας [illegible] Μανουὴλ [illegible] Ἰησοῦν Χριστὸν [illegible] ἐγέλα δὲ [illegible] καὶ [illegible] ἀκολουθησάντων, ἐντεῦθεν ἡ τῶν λεγομένων Λιζιμιανῶν αἵρεσις συνέστη· τοῦτον τοίνυν ὁ ἅγιος Μεθόδιος πείσας μεταθέσθαι πρὸς τὴν ὀρθόδοξον πίστιν, συνέπεισε δι' αὐτοῦ καὶ τοὺς ἄλλους· καὶ παρασκευάσας ἐν ἐπισήμῳ ἡμέρᾳ θριαμβεῦσαι τὴν οἰκείαν αἵρεσιν, χρίσας τὲ μύρῳ ἁγίῳ, καὶ λευκοῖς κοσμήσας ἐμφωτίοις, λαμπάδας κατέχοντας τοῖς ὀρθοδόξοις συνέστησεν.

Hactenus ex Nicetae thesauro orthodoxae fidei depromere libuit. Nam ea quidem quae adversus Latinos de processione Spiritus sancti declamat Nicetas, a fide orthodoxa longe absunt. Insuper quaestionem de azymis refricare, tanti non est. Ceteroqui synodum quamdam sub Manuele Comneno Constantinopoli celebratam, nec non Theoriani philosophi cum Armenis secundam disputationem, quas hoc pariter Nicetae opus complectitur, in quarto sextoque Scriptorum veterum tomis, ex aliis vat. codicibus a me iam editas legere licet.

Digitized by Google

ΘΕΟΔΩΡΟΥ

ΜΟΨΟΥΕΣΤΙΑΣ ΕΠΙΣΚΟΠΟΥ

ΕΞ ΕΡΜΗΝΕΙΑΣ

ΤΗΣ ΠΑΥΛΟΥ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ ΤΑ ΕΥΡΕΘΕΝΤΑ.

Πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ μου διὰ Χριστοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. Cap. I. v. 8.

Φαίνεται καὶ ἐν ἑτέραις τῶν ἐπιστολῶν ἀπ' εὐχαριστίας ἀρχόμενος, ἐκείνους πρὸς οὓς ποιεῖται τὸ γράμμα διδάσκων παντὸς λόγου καὶ πράγματος ἀπὸ εὐχαριστίας ἀπάρχεσθαι τῷ Θεῷ, οὐ μόνον ὑπὲρ οἰκείων ἀλλὰ καὶ ὑπὲρ ἀλλοτρίων· ἐνταῦθα δὲ μάλιστα κυριώτατα χρῆται τούτῳ τῷ προοιμίῳ· προσεκτέον δὲ κἀνταῦθα τὸ, διὰ Χριστοῦ, ὅπως οὐκ ἐπὶ διακονίας κέχρηται, ὥσπερ δοκεῖ τοῖς αἱρετικοῖς, ἀλλ' ἐπὶ αἰτίας· οὐ γὰρ δὴ διακόνῳ τῷ Χριστῷ κεχρῆσθαι ὁ ἀπόστολος ἔμελλεν τῆς εἰς τὸν Θεὸν εὐχαριστίας· λέγει δὲ ὅτι τῷ Θεῷ εὐχαριστῶ ὑπὲρ ὑμῶν, τοῦ Χριστοῦ ταύτης ἡμῖν τῆς εὐχαριστίας τὴν αἰτίαν παρασχομένου· ἔχει δὲ ὅμως καὶ ῥωμαίων ἔπαινον τὸ εἰρημένον οὐ τυχόντα· καὶ αὐτοῦ γὰρ τούτου ἕνεκεν συνεχῶς ἐν ταῖς αὐτοῦ ἐπιστολαῖς τούτῳ κέχρηται τῷ προοιμίῳ, ὥστε ταῖς εὐφημίαις προθυμοτέρους αὐτοὺς πρὸς τὴν τῶν γραφομένων παρασκευάζειν ἀνάγνωσιν· ὅπερ καὶ ἐπὶ ῥωμαίων εἰργάσατο, τῶν πραγμάτων αὐτῶν αὐτῷ συνεργούντων εἰς τοῦτο.

Digitized by Google

I. v. 9. Μάρτυς γάρ μου ἐστὶν ὁ Θεὸς, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου.

Ἑαυτοῦ τὸ πνεῦμα εἶπεν, ἐπειδὴ μὴ τὴν ὑπόστασιν τοῦ πνεύματος ἔλεγεν, ἀλλὰ τὴν δεδομένην αὐτῷ πρὸς τοῦτο χάριν.

v. 11. Εἰς τὸ στερι χθῆναι ὑμᾶς.

Ἔδει γὰρ τὸν μετὰ τὴν Πέτρου διδασκαλίαν τὰ τῆς εὐσεβείας δόγματα παραδιδόναι αὐτοῖς ἐπιχειροῦντα, δεικνύναι ὡς ἀποδέχεται τὰ πρῶτα, καὶ οὐδὲν ἐκείνοις ἐπιμεμφόμενος τὴν πρὸς αὐτοὺς παιδεῖται διδασκαλίαν.

Cap II. v. 15. Συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως.

Ἡ δὲ τούτων, φησὶν, διάγνωσις τότε ἔσται, ὅτε καὶ τῶν κατὰ νόμον βιούντων ἑνὸς ὄντος τοῦ καιροῦ καθ' ὃν τὰ πάντων τῶν ἀνθρώπων ἐξετάζει Θεὸς διὰ τοῦ Χριστοῦ κατὰ τὸ εὐαγγέλιόν μου, ἵνα εἴπῃ καθὼς καὶ αὐτὸς κηρύττων διατελῶ, ὅτι ἔσται κρίσεως καιρὸς, καὶ δεῖ πιστεύσαντας Χριστῷ τὴν τιμωρίαν ἐκφυγεῖν ἐκείνην.

v. 17. Ἰδὲ σὺ ἰουδαῖος ἐπονομάζῃ.

Οὐ κατ' ἐρώτησιν ὥς τινες ὑπέλαβον ἀναγνωστέον τὸ ἰδὲ σὺ ἰουδαῖος ἐπονομάζῃ, ἀλλὰ κατὰ ἀπόφασιν· ἵνα εἴπῃ· μὴ ὢν ἀληθῶς καὶ ἐν κρυπτῷ ἰουδαῖος, ἀλλὰ λεγόμενος.

v. 29. Καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι.

Τῷ πνεύματι οὐ τῷ ἁγίῳ, οὐ γὰρ περὶ τῶν ἐν τῇ χάριτι κατορθούντων διαλέγεται, ἀλλ' ὑποτίθεται δι' ὅλου τοὺς ἔξω τὰ τοῦ νόμου ποιοῦντας, καὶ δείκνυσι κρείττονας τῶν ἐν τῷ νόμῳ παραβαινόντων· συνάδει δὲ ἅπαντα καταλλήλως τῷ οἰκείῳ σκοπῷ, πρόθεσιν ἔχων καὶ τοῦ φυσικοῦ νόμου ἕλληνας δεῖξαι παραβάτας, καὶ ἰουδαίους πρὸς τῷ φυσικῷ καὶ τοῦ θετοῦ· ἵνα διὰ πάντων στήσῃ τὸ τῆς χά-

Digitized by Google

ριτος χρήζειν ἅπαντας· λέγει δὲ τὸ ἐν πνεύματι ἀντὶ τοῦ II.
τῇ προθέσει, ὡς ἐν τῇ τῶν ἀριθμῶν βίβλῳ φησὶν ὁ Θεός,
ὅτι πάντες οἱ παροξύναντές με οὐκ ὄψονται τὴν γῆν, ὁ
δὲ παῖς μου Χάλεβ, ὅτι ἐγενήθη πνεῦμα ἕτερον ἐν αὐτῷ,
καὶ ἐπηκολούθησέ μοι, καὶ τὰ ἑξῆς· φανερῶς πνεῦμα τὴν
πρόθεσιν· εἰπὼν καὶ ὁ προφήτης, πνεύματι πορνείας ἐπλα-
νήθησαν· ἵνα εἴπῃ, πρόθεσιν ἔσχον πορνικήν.

Διδάσκαλον νηπίων ἔχοντα τὴν μόρφωσιν v. 20.
τῆς γνώσεως καὶ τῆς ἀληθείας.

Μόρφωσιν λέγει οὐ τὴν προτύπωσιν, ἀλλ' αὐτὴν τὴν
ὑπόστασιν καὶ τὴν γνῶσιν καὶ τὴν ἀλήθειαν· ὡς τὸ, ὃς
ἐν μορφῇ Θεοῦ ὑπάρχων.

Τί οὖν προεχόμεθα; οὐ πάντως. Cap. III.
v. 9.

Ἵνα εἴπῃ· ἄγε τοίνυν μετὰ τὸν ἐκείνων ἔλεγχον τῶν
ἡμετέρων τὸ μέγεθος δείξομεν.

Πάντες ἐξέκλιναν. v. 12.

Τῇ μαρτυρίᾳ οὐχ' ὡς προφητικῶς εἰρημένῃ ἐχρήσατο,
ἀλλ' ὡς ἁρμοζούσῃ τοῖς ἀποδεδειγμένοις τῷ περιληπτικῶς
περὶ ἑπτακοτῶν λέγειν αὐτὰ τὸν Δαβὶδ· ὥσπερ οὖν καὶ
ἡμεῖς ἄχρι τῆς δεῦρο ἐν ταῖς ἐκκλησιαστικαῖς διαλέξεσι,
μαρτυρίαις συγκεχρήμεθα, ὡς ἂν ἁρμόζειν δυναμέναις ἀπὸ
τῆς διανοίας τοῖς παρ' ἡμῶν λεγομένοις· ὁ γὰρ ψαλμὸς ἐκεῖ-
νος οὐ περὶ πάντων ἀνθρώπων εἴρηται τῷ Δαβὶδ· καὶ δῆ-
λον ἐξ ὧν φησὶν· οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν
ἀνομίαν, οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου; τίνα
δὲ ἔμελλεν ὀνομάζειν οἰκεῖον Θεῷ, ὁ περὶ πάντων ἀνθρώ-
πων ὥστε τὸ χεῖρον ἐκκλινάντων ἀποφηνάμενος;

Διὰ ποίου νόμου; v. 27.

Πάντως ἐρεῖτέ μοι· τίς ἐπεισελθὼν νόμος τοῦτον ἐξέ-

Digitized by Google

III. βαλεν ; ἐπειδὴ νόμῳ πίζιαεν ὁ κρατῶν λύεσθαι νόμος πρὸς εἰς φησὶν· οὐ νόμος ἔργου ἐπεισελθὼν τὸν πρότερον ἔλυσεν· κάλλιστα γὰρ εἶχεν ἐκεῖνος κατά γε τοῦτο· νόμος δὲ πίστεως ἐπεισεληλυθὼς, περιττὸν εἰκότως τοῦτον ἀπέφηνεν νικώσης τὴν ἀπὸ τοῦ νόμου τῶν ἔργων, ἐπειδὴ ταῦτα ἡμῖν ἀπὸ τῆς θείας ὑπάρχει χάριτος, ἃ σὺν πολλῷ τῷ πόνῳ προσγίνεσθαι ἀπὸ τῶν προτέρων οὐκ ἠδυνήθη· ἔδειξε δὲ διὰ νόμου πίστεως εἰπὼν, καὶ μὴ ἁπλῶς διὰ πίστεως . . .

* eadem lacuna est in duobus codd.

σθαι * πρὸς τὸν νόμον ὡς ἀλλότριον . . . ἐπὶ τῶν οἰκείων τὴν προσηγορίαν ἀσπάζεται.

v. 28. Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον.

Τὸ δὲ λογιζόμεθα, οὐκ ἐπὶ ἀμφιβολίας λέγει, ἀλλ' ἀντὶ τοῦ λογισμῷ τῷ προσήκοντι ἡγοῦμαι τῆς κατὰ πίστιν δικαιώσεως ἄνευ ἔργων νόμου πάντα ἄνθρωπον βουληθέντα μετέχειν· σημειωτέον δὲ ὡς οὐχ' ἁπλῶς εἶπεν· χωρὶς ἔργων νόμου· ὡς ἂν εἰ καὶ ἐργαζοίμεθα ἀρετῆς ἐπιμελούμενοι, οὐκ ἀνάγκη νόμου τοῦτο ποιοῦντων, ἀλλ' ὑφ' ἑτέρου πρὸς τοῦτο ἀγομένων.

v. 30. Καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως.

Ἐπὶ τῶν ἰουδαίων τὸ ἐκ πίστεως τέθεικεν, ὡς ἂν ἐχόντων μὲν καὶ ἑτέρας ἀφορμὰς πρὸς δικαίωσιν, οὐ δυναμένων δὲ αὐτῆς μετέχειν πλὴν ἐκ τῆς πίστεως, ἐπὶ δὲ τῶν ἑλλήνων διὰ πίστεως.

Cap. IV. v. 6. Καθάπερ καὶ Δαβὶδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου.

Θαυμασιώτατα δὲ τὰς μαρτυρίας συνέκρουσεν· ἐπὶ μὲν τῆς πίστεως, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· ἐπὶ δὲ τῶν ἔργων, καὶ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν· ἐκεῖ γοῦν ἤρκεσεν ἡ πίστις, ὥστε λογισθῆναι αὐτῷ εἰς δικαιοσύνην·

Digitized by Google

ἐνταῦθα δὲ ἔργα καὶ πρὸς τὸ ἐναντίον ῥέποντα οὐ λογί- IV. 1
ζεται, ὅταν ἡ τοῦ Θεοῦ φιλανθρωπία τῶν γεγονότων ἀνωτέρα φαίνηται.

Λέγομεν γὰρ ὅτι ἐλογίσθη τῷ Ἀβραὰμ v. 9.
ἡ πίστις εἰς δικαιοσύνην.

Εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων· κατὰ τὸ οἰκεῖον ἰδίωμα κἀνταῦθα εἶπεν· ὡς τὸ, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους· λέγει γὰρ τὸ ἀναγκαίως τοῖς γεγονόσιν ἑπόμενοι· ἐντεῦθεν φησὶ κοινός ἐστιν ἁπάντων πατὴρ, ἐπειδὴ ἂν τὴν πρὸς αὐτὸν ὁμοιότητα τῆς πίστεως δείξωνται.

Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ. Cap. V. v. 13.

Οὐδὲ γὰρ ὁ νόμος ἐπεισελθών, φησι, τὴν ἁμαρτίαν ἔλυσεν· ἀλλ' ἄχρις ἦν τε ὁ νόμος καὶ ἐπολιτεύετο καὶ ἐκράτει παρὰ τοῖς ἀνθρώποις, ἐλάμβανε καὶ τὰ τῆς ἁμαρτίας προσθήκην· οὐδὲν πρὸς τοῦτο τῆς τοῦ νόμου θέσεως συμβαλλέσθαι δυνηθείσης αὐτοῖς· καὶ πρὸς ἀπόδειξιν τοῦ προκειμένου ἐπάγει· ἁμαρτία δὲ οὐκ ἐλλογεῖται μὴ ὄντος νόμου· τοσοῦτον γὰρ ἀπεῖχεν ὁ νόμος φησὶ τοῦ τὴν ἁμαρτίαν ἀνελεῖν, ὥστε οὐδ' ἂν γένοιτο ἁμαρτία, εἰ μὴ νόμος εἴη· νόμον δὲ νῦν καλεῖ τὴν ἡντιναθήποτε διάκρισιν, εἴτε ἀπὸ φύσεως, εἴτε ἀπὸ θέσεως ἐγγινομένην· μὴ γὰρ οὔσης τῆς διακρίσεως, οὐκ ἄν τις λέγοιτο ἁμαρτίαν· εἰ δὲ ὁ τὸ φαινόμενον κακὸν, καὶ διακεκριμένον ἀπὸ τοῦ καλοῦ μετιὼν, ἀλλὰ τοῦτο μὲν εἰς αὔξησιν τοῦ ἐφ' ᾧ πάντες ἥμαρτεν τέθεικε· ἐχόμενος δὲ τῆς οἰκείας ἀκολουθίας, ἐπήγαγεν· ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδὰμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος· τὸ μὲν οὖν καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως

Digitized by Google

V. Ἀδὰμ, τοῦτο λέγει· ὅτι ὁ θάνατος ἐκράτησεν ἁπάντων τῶν ὁπωσδήποτε ἡμαρτηκότων· οὐ γὰρ ἐπειδὴ οὐχ ὅμοιον ἦν τὸ τῆς ἁμαρτίας εἶδος τό τε τοῦ Ἀδὰμ καὶ τῶν λοιπῶν ἀνθρώπων, θανάτου γεγόνασιν ἐκτὸς οἱ λοιποὶ, ἀλλ' ὑπὲρ ὧν ἡμάρτανον ὁπωσδήποτε τοῦ θανάτου τὴν ἀπόφασιν ἐδέξαντο πάντες· οὐ γὰρ τῆς τοιᾶσδε ἁμαρτίας τιμωρία ὁ θάνατος ὥρισται, ἀλλὰ πάσης ἁμαρτίας· ἔστι δὲ ἐν τῷ πᾶν ἀπὸ τοῦ, οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ θεῷ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· λέγει γὰρ ὅτι οὐκ ἐπὶ τούτῳ μόνον καυχώμεθα ὅτι διὰ τοῦ Χριστοῦ κατήλλαξεν ἡμᾶς ὁ θεὸς ἑαυτῷ, ἀλλ' ὅτι καὶ πάντα δὴ τὰ παλαιὰ ἔλυσε κακὰ· ποῖα ταῦτα; ἡμαρτηκότος γὰρ τοῦ Ἀδὰμ, καὶ μὴν καὶ θνητοῦ διὰ τοῦτο γεγενότος, ἥ τε ἁμαρτία πάρεδον ἔλαβεν εἰς τοὺς ἐξῆς, καὶ ὁ θάνατος πάντων ἐκράτει τῶν ἀνθρώπων, ὡς εἰκὸς· πάντων γὰρ ἡμαρτηκότων, εἰ καὶ μὴ παραπλησίαν τῷ Ἀδὰμ ἁμαρτίαν, ἀλλ' οὖν γε ὁπωσποτε τῶν μὲν οὕτω τῶν δὲ οὕτω, ἀνάγκη καὶ τὸν θάνατον ἦν κρατεῖν ἐφ' ἁπάντων ὁμοίως· ἀλλ' οὐδὲ ὁ νόμος ἐπεισελθὼν, ἀνελεῖν αὐτὴν ἐπὶ τῶν ἀνθρώπων ἐδυνήθη· τοὐναντίον μὲν οὖν καὶ ἡ τοῦ ἁμαρτάνειν ἀφορμὴ ἐντεῦθεν ἡμῖν ἐπεγίγνετο, τῷ μηδὲ εἶόν τε εἶναι ἁμάρτημα κρίνεσθαι νόμων ἐκτὸς· ὄντων δὲ τῶν καθ' ἡμᾶς ἐν τούτοις ὡς μηδὲ μίαν τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς ὑποφαίνεσθαι ἐλπίδα, λύσιν ἁπάντων ὁ Χριστὸς εἰργάσατο τῶν κακῶν· διὸ συντόμως ἐπήγαγε τὸ, ὅς ἐστι τύπος τοῦ μέλλοντος· ἵνα εἴπῃ, ὅτι ἐγένετο δὲ τὰ κατὰ τὸν Ἀδὰμ τύπος τῶν κατὰ Χριστὸν, ἐπειδὴ ὥσπερ δι' ἐκείνου τῶν χειρόνων ἡ πάροδος ἐγένετο, οὕτω διὰ τούτου τῆς τῶν κρειττόνων ἀπολαύσεως τὴν ἀφορμὴν ἐδεξάμεθα.

Digitized by Google

Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα. V. v. 15.

Καὶ οὐδὲ τοῦ παραπτώματος εἶδος, φησὶ, τοιοῦτον ὅσον τὸ τοῦ χαρίσματος· εἰ γὰρ καὶ ἡ τοῦ ἑνὸς ἁμαρτία τοῖς ἀνθρώποις τὸν θάνατον ἐπήγαγεν, ἀλλ' οὖν γε ἡ διὰ τοῦ Χριστοῦ δωρεὰ, μείζων τίς περὶ τοὺς ἀνθρώπους ἐγένετο· τὸ γὰρ οἱ πολλοὶ ἀπέθανον, ἀντὶ τοῦ πάντες λέγει· πάντες γὰρ ἀπέθανον, ὡς αὐτὸς ἀνωτέρω φησὶν· εἰ πάντας ἀνθρώπους διῆλθεν ὁ θάνατος, δῆλον δὲ ὅτι τὸ καὶ εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν ὁμοίως ἀντὶ τοῦ εἰς πάντας λέγει· κοινὴ γὰρ καὶ ἡ τῆς ἀναστάσεως χάρις ἁπάντων ἀνισταμένων ὁμοίως.

Καὶ οὐχ ὡς ἑνὸς ἁμαρτήσαντος τὸ δώρημα. v. 16.

Μίαν ταύτην αἰτίαν λέγει τῆς διαφορᾶς· ἐκεῖ μὲν γὰρ φησὶν, εἷς ἡμαρτηκὼς καὶ κατακριθεὶς διὰ τοῦτο· εἰς τοὺς ἐξῆς τὴν τιμωρίαν ἐνεχθῆναι παρεσκεύασε, πάντας κοινωνοὺς τῆς ἀποφάσεως ἐσχηκὼς τοῦ θανάτου· ἡ δέ γε χάρις οὐχ' ὁμοίως· οὐ γὰρ ἀφ' ἑνὸς ὥσπερ ἐπὶ τοῦ Ἀδὰμ εἰς τοὺς ἐξῆς ἐλήλυθεν, ἀλλὰ πολλῶν ὄντων τῶν ἤδη κατακεκριμένων, σύντομον εἰς τε τοὺς πρότερον καὶ εἰς τοὺς ἐξῆς ἀνθρώπους τῆς δωρεᾶς ἐποιήσατο τὴν ἐξάπλωσιν· ἔστιν οὖν μείζων πολλῷ, εἴπερ ἐκεῖνο μὲν ἐξέλαμψε τοὺς ἐξῆς· τοῦτο δὲ οὐ τοὺς ἐξῆς μόνον ὠφέλησεν, ἀλλὰ γὰρ καὶ τοὺς προσειληφότας ἔλυσε τῶν ἐγκλημάτων.

Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι. v. 17.

Ἔτι μὴν κἀκεῖνο φησὶ πολλὴν δείκνυσιν τὴν διαφοράν, ὅτι ἐκεῖ μὲν ὁ θάνατος, εἰσαχθεὶς τῇ τοῦ Ἀδὰμ ἁμαρτίᾳ καὶ κρατήσας ἐπὶ τῶν ἀνθρώπων, ἐδέξατο λύσιν· ἡ δέ γε τῆς δωρεᾶς ἀπόλαυσις διὰ τοῦ Χριστοῦ προσγενοῦια ἡμῖν δι' ἣν καὶ τῆς ἀναστάσεως τευξόμεθα καὶ ἐν δικαιο-

Digitized by Google

ταράτου εὐλογία δοθήσεται; ἀκούσουσι δὲ ἐξ ἡμῶν, ὅτι ὥσπερ ὁ Θεὸς ὢν γέγονε δι' ἡμᾶς ἄνθρωπος, καὶ τὰς ἀσθενείας ἡμῶν ἦρε, καὶ τὰς νόσους ἐβάστασε, καὶ θανάτου ἐγεύσατο, ἵν' ἡμᾶς καὶ τοῦ θανάτου καὶ τῆς κατάρας ἐλευθερώσῃ· τὸ γὰρ ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε, καὶ τὸ ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, τῶν ἀνθρώπων ἡμῶν ἐπιτίμιον· οὕτω καὶ κατάρα ἤκουσε, καὶ τῆς ἐκ τοῦ νόμου κατάρας ἡμᾶς ἐξηγόρασε· καὶ ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες ἀπεθάνομεν, οὕτως ἐν τῷ Χριστῷ πάντες ζησόμεν· ἔξεστι δὲ καὶ ἀπὸ παραδείγματος παραστῆσαι τοῦτο· ἐν τῇ ἐρήμῳ οἱ ὄφεις τοὺς ἑβραίους ἔδακνον, εἰκόνα δὲ χαλκῆν ὄφεως, ὃς ἐπικατάρατος ἤκουσε, ποιήσας Μωϋσῆς, ἀνεσταύρωσέ τε τουτονὶ, καὶ εἶπεν· ὁ δακνόμενος ὑπὸ ὄφεως προσεχέτω τούτῳ τῷ ὄφει, καὶ σωθήσεται· ἦν δὲ ὁ ὄφις οὗτος ἀντίτυπος τοῦ Χριστοῦ.

17. Πρὸς τούτοις λέγουσιν, ὡς ὑμεῖς οἱ χριστιανοὶ οὕτω τιμᾶτε τὸν σταυρὸν, καθὼς ἄρα καὶ τὸν Χριστὸν τιμᾶτε· τοῦτο δέ ἐστι συκοφαντία πρόδηλος· ὁ μὲν γὰρ Χριστὸς τιμᾶται παρ' ἡμῶν ὡς Θεὸς, ὁ δὲ σταυρὸς ὡς θείας χάριτος μετασχὼν, διὰ τὸν ἐν αὐτῷ σταυρωθῆναι καταδεξάμενον, ἀφ' οὗ δὴ καὶ ἐνήργηκε, καὶ καθικάσην ἐνεργεῖ πολλὰ θαύματα· διὰ τοῦτο καὶ τιμητέος ἡμῖν ὁ σταυρὸς, οὐχ ὡς ξύλον ἀλλ' ὅτι τῷ πάθει τοῦ Χριστοῦ κεχαρίτωται· ἐπεὶ καὶ σὺ ἐν τῷ Μέκκε παραγινόμενος, κἀκεῖσε τελῶν τὰ δοκοῦντα σοι ὄργια, οὐχὶ τοῖς λίθοις καὶ τοῖς τοίχοις ἀπονέμεις τὸ σέβας, ἀλλὰ τῷ τιμωμένῳ ἐν τῷ ἐκεῖσε οἴκῳ· ἀκούσμεν δὲ καὶ ὡς ἀψάμενός τις τῆς νομικῆς κιβωτοῦ τετιμώρηται· ἦν δὲ κἀκείνη ἐκ ξύλων κατεσκευασμένη, πλὴν διὰ τὴν χάριν τῶν ἀποκειμένων ἐν αὐτῇ, πολὺ τὸ σεβάσμιον εἶχεν ἀπὸ Θεοῦ.

Digitized by Google

18. Πρὸς οἷς εἴπομεν, ἐπεγκαλοῦσιν ἡμῖν τῶν ἐντολῶν τοῦ Χριστοῦ παράβασιν, κακὸν ἀντὶ κακοῦ ἀποδιδοῦσι, καὶ μεριμνῶσι περὶ τροφῆς καὶ ἐνδύματος· φαμὲν οὖν, ὡς οὐ παραβαίνομεν τὸν τοῦ Χριστοῦ νόμον, τοὺς ἐχθροὺς ἡμῶν καὶ ταῦτα τοὺς ἀπίστους ἀμυνόμενοι, ἀλλὰ μᾶλλον πληροῦμεν τὸ δίκαιον· παραινεῖ γὰρ ὁ νόμος τοῖς ὑμῖν αὐτοῖς πταίουσι συγχωρεῖν, τοῖς δ' ἀδικουμένοις ἐπαμύνειν· τοῦτο δὲ καὶ ὁ Θεὸς ἐποίησε, καταποντίσας Φαραὼ τὸν τοῖς ἑβραίοις πολέμιον· καὶ γὰρ ὁ Δαβὶδ νίψομαι φησὶν ἐν αἵματι ἁμαρτωλοῦ· ἀλλαχοῦ ψάλλων, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι ἀπὸ τῶν ἐχθρῶν μου κενὸς· ἐκεῖνο τοῦ ζήλου ἔνδειξις ἢ ἐμπύρευμα ἦν κατὰ τῶν χαιρόντων ταῖς κοινοβλαβέσι πράξεσι· τοῦτο δὲ τῶν ἐκείνῳ προσπταιόντων συγχώρησις· καὶ ἄλλως δὲ εἰπεῖν· ὁ μὲν κατάρχων πολέμου καὶ ἀδικίας, καὶ νόμον παραβαίνει, καὶ τὴν φύσιν ἀθετεῖ· ὁ δὲ κατὰ τοῦ τοιούτου ὁπλιζόμενος, καὶ τὴν φύσιν ἐλεεῖ, καὶ κατὰ τὸ δυνατὸν ἐξομοιοῦται Θεῷ, ἐξέλεσθε πτωχὸν καὶ πένητα λέγοντι, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτὸν· τὸ δὲ μὴ μεριμνήσητε τροφῆς καὶ ἐνδύματος, τοῖς ἀποστόλοις διατέτακται, ὡς ἂν μήτε ἐν μεγάλῳ μήτε ἐν μικρῷ καταγινώσκωνται· ἐὰν γὰρ τὸ ἅλας μωρανθῇ, φησὶν, ἐν τίνι ἁλισθήσεται; πλὴν οὐδὲ τὴν χρείαν ἀπαγορεύει, ἀλλὰ τὰ περιττὰ· πολλοὶ δὲ τῶν πάλαι χριστιανῶν, καὶ τῶν σήμερον δὲ οὐκ ὀλίγοι, γεγόνασι καὶ εἰσὶ τῶν ὑψηλῶν τούτων καὶ μεγάλων ἐντολῶν φύλακες.

Digitized by Google

IX. ΠΕΡΙ ΤΗΣ ΚΑΙΝΟΦΑΝΟΥΣ ΑΙΡΕΣΕΩΣ ΤΩΝ ΛΙΖΙΚΙΑΝΩΝ.

Ἰστέον ὅτι καθά φησι Γρηγόριος ἀρχιεπίσκοπος Σαιελίας ὁ τὸν βίον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μεθοδίου πατριάρχου Κωνσταντινουπόλεως συγγραψάμενος, ἐπὶ τῆς βασιλείας Μιχαὴλ καὶ Θεοδώρας τῆς αὐτοῦ μητρὸς ἦν τίς ἀσηκρῆτις, ᾧ τὸ ἐπώνυμον Λίζιξ, ὃς τὰ Μανιχαίων φρονήσας τὸν προσκυνητὸν σταυρὸν μωρίαν ἡγεῖτο, καὶ τὸν κύριον καὶ θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν ὀνομάζων κτίσμα, τὴν παναγνὸν αὐτοῦ μητέρα Θεοτόκον οὐκ ἔλεγε· ἐγέλα δὲ πρὸς τούτοις καὶ τὴν τῶν φρικτῶν καὶ θείων μυςηρίων μετάληψιν· πολλῶν δὲ αὐτῷ καὶ ἄλλων ἀκολουθησάντων, ἐντεῦθεν ἡ τῶν λεγομένων Λιζακιανῶν αἵρεσις συνέστη· τοῦτον τοίνυν ὁ ἅγιος Μεθόδιος πείσας μεταθέσθαι πρὸς τὴν ὀρθόδοξον πίςιν, συνέπεισε δι' αὐτοῦ καὶ τοὺς ἄλλους· καὶ παρασκευάσας ἐν ἐπισήμῳ ἡμέρᾳ θριαμβεῦσαι τὴν οἰκείαν αἵρεσιν, χρίσας τὲ μύρῳ ἁγίῳ, καὶ λευκαῖς κοσμήσας ἐμφωτίοις, λαμπάδας κατέχοντας τοῖς ὀρθοδόξοις συνέστησεν.

Hactenus ex Nicetae thesauro orthodoxae fidei depromere libuit. Nam ea quidem quae adversus Latinos de processione Spiritus sancti declamat Nicetas, a fide orthodoxa longe absunt. Insuper quaestionem de azymis refricare, tanti non est. Ceteroqui synodum quamdam sub Manuele Comneno Constantinopoli celebratam, nec non Theoriani philosophi cum Armenis secundam disputationem, quas hoc pariter Nicetae opus complectitur, in quarto sextoque Scriptorum veterum tomis, ex aliis vat. codicibus a me iam editas legere licet.

Digitized by Google

ΘΕΟΔΩΡΟΥ

ΜΟΨΟΥΕΣΤΙΑΣ ΕΠΙΣΚΟΠΟΥ

ΕΞ ΕΡΜΗΝΕΙΑΣ

ΤΗΣ ΠΑΥΛΟΥ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ ΤΑ ΕΥΡΕΘΕΝΤΑ.

Πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ μου διὰ Χριστοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. Cap. I. v. 8.

Φαίνεται καὶ ἐν ἑτέραις τῶν ἐπιστολῶν ἀπ' εὐχαριστίας ἀρχόμενος, ἐκείνους πρὸς οὓς ποιεῖται τὸ γράμμα διδάσκων παντὸς λόγου καὶ πράγματος ἀπὸ εὐχαριστίας ἀπάρχεσθαι τῷ Θεῷ, οὐ μόνον ὑπὲρ οἰκείων ἀλλὰ καὶ ὑπὲρ ἀλλοτρίων· ἐνταῦθα δὲ μάλιστα κυριώτατα χρῆται τούτῳ τῷ προοιμίῳ· προσεκτέον δὲ κἀνταῦθα τὸ, διὰ Χριστοῦ, ὅπως οὐκ ἐπὶ διακονίας κέχρηται, ὥσπερ δοκεῖ τοῖς αἱρετικοῖς, ἀλλ' ἐπὶ αἰτίας· οὐ γὰρ δὴ διακόνῳ τῷ Χριστῷ κεχρῆσθαι ὁ ἀπόστολος ἔμελλεν τῆς εἰς τὸν Θεὸν εὐχαριστίας· λέγει δὲ ὅτι τῷ Θεῷ εὐχαριστῶ ὑπὲρ ὑμῶν, τοῦ Χριστοῦ ταύτης ἡμῖν τῆς εὐχαριστίας τὴν αἰτίαν παρασχομένου· ἔχει δὲ ὅμως καὶ ῥωμαίων ἔπαινον τὸ εἰρημένον οὐ τυχόντα· καὶ αὐτοῦ γὰρ τούτου ἕνεκεν συνεχῶς ἐν ταῖς αὐτοῦ ἐπιστολαῖς τούτῳ κέχρηται τῷ προοιμίῳ, ὥστε ταῖς εὐφημίαις προθυμοτέρους αὐτοὺς πρὸς τὴν τῶν γραφομένων παρασκευάζειν ἀνάγνωσιν· ὅπερ καὶ ἐπὶ ῥωμαίων εἰργάσατο, τῶν πραγμάτων αὐτῶν αὐτῷ συνεργούντων εἰς τοῦτο.

Digitized by Google

I. v. 9. Μάρτυς γάρ μου ἐστὶν ὁ Θεὸς, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου.

Ἑαυτοῦ τὸ πνεῦμα εἶπεν, ἐπειδὴ μὴ τὴν ὑπόστασιν τοῦ πνεύματος ἔλεγεν, ἀλλὰ τὴν δεδομένην αὐτῷ πρὸς τοῦτο χάριν.

v. 11. Εἰς τὸ στερι χθῆναι ὑμᾶς.

Ἔδει γὰρ τὸν μετὰ τὴν Πέτρου διδασκαλίαν τὰ τῆς εὐσεβείας δόγματα παραδιδόναι αὐτοῖς ἐπιχειροῦντα, δεικνύναι ὡς ἀποδέχεται τὰ πρῶτα, καὶ οὐδὲν ἐκείνοις ἐπιμεμφόμενος τὴν πρὸς αὐτοὺς ποιεῖται διδασκαλίαν.

Cap II. v. 15. Συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως.

Ἡ δὲ τούτων, φησὶν, διάγνωσις τότε ἔσται, ὅτε καὶ τῶν κατὰ νόμον βιούντων ἑνὸς ὄντος τοῦ καιροῦ καθ' ὃν τὰ πάντων τῶν ἀνθρώπων ἐξετάζει Θεὸς διὰ τοῦ Χριστοῦ κατὰ τὸ εὐαγγέλιόν μου, ἵνα εἴπῃ καθὼς καὶ αὐτὸς κηρύττων διατελῶ, ὅτι ἔσται κρίσεως καιρὸς, καὶ δεῖ πιστεύσαντας Χριστῷ τὴν τιμωρίαν ἐκφυγεῖν ἐκείνην.

v. 17. Ἰδὲ σὺ ἰουδαῖος ἐπονομάζῃ.

Οὐ κατ' ἐρώτησιν ὥς τινες ὑπέλαβον ἀναγνωστέον τὸ ἰδὲ σὺ ἰουδαῖος ἐπονομάζῃ, ἀλλὰ κατὰ ἀπόφασιν· ἵνα εἴπῃ· μὴ ὢν ἀληθῶς καὶ ἐν κρυπτῷ ἰουδαῖος, ἀλλὰ λεγόμενος.

v. 29. Καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι.

Τῷ πνεύματι οὐ τῷ ἁγίῳ, οὐ γὰρ περὶ τῶν ἐν τῇ χάριτι κατορθούντων διαλέγεται, ἀλλ' ὑποτίθεται δι' ὅλου τοὺς ἔξω τὰ τοῦ νόμου ποιοῦντας, καὶ δείκνυσι κρείττονας τῶν ἐν τῷ νόμῳ παραβαινόντων· συνάδει δὲ ἅπαντα καταλλήλως τῷ οἰκείῳ σκοπῷ, πρόθεσιν ἔχων καὶ τοῦ φυσικοῦ νόμου ἕλληνας δεῖξαι παραβάτας, καὶ ἰουδαίους πρὸς τῷ φυσικῷ καὶ τοῦ θετοῦ· ἵνα διὰ πάντων στήσῃ τὸ τῆς χά-

Digitized by Google

ριτος χρήζειν ἅπαντας· λέγει δὲ τὸ ἐν πνεύματι ἀντὶ τοῦ II.
τῇ προθέσει, ὡς ἐν τῇ τῶν ἀριθμῶν βίβλῳ φησὶν ὁ Θεὸς,
ὅτι πάντες οἱ παροξύναντές με οὐκ ὄψονται τὴν γῆν, ὁ
δὲ παῖς μου Χάλεβ, ὅτι ἐγενήθη πνεῦμα ἕτερον ἐν αὐτῷ,
καὶ ἐπηκολούθησέ μοι, καὶ τὰ ἑξῆς· φανερῶς πνεῦμα τὴν
πρόθεσιν· εἰπὼν καὶ ὁ προφήτης, πνεύματι πορνείας ἐπλα-
νήθησαν· ἵνα εἴπῃ, πρόθεσιν ἔσχον πορνικήν.

Διδάσκαλον νηπίων ἔχοντα τὴν μόρφωσιν v. 20.
τῆς γνώσεως καὶ τῆς ἀληθείας.

Μόρφωσιν λέγει οὐ τὴν προτύπωσιν, ἀλλ' αὐτὴν τὴν
ὑπόστασιν καὶ τὴν γνῶσιν καὶ τὴν ἀλήθειαν· ὡς τὸ, ὃς
ἐν μορφῇ Θεοῦ ὑπάρχων.

Τί οὖν προεχόμεθα; οὐ πάντως. Cap. III.
v. 9.

Ἵνα εἴπῃ· ἄγε τοίνυν μετὰ τὸν ἐκείνων ἔλεγχον τῶν
ἡμετέρων τὸ μέγεθος δείξομεν.

Πάντες ἐξέκλιναν. v. 12.

Τῇ μαρτυρίᾳ οὐχ' ὡς προφητικῶς εἰρημένῃ ἐχρήσατο,
ἀλλ' ὡς ἁρμοζούσῃ τοῖς ἀποδεδειγμένοις τῷ περιληπτικῶς
περὶ ἑπταικοτων λέγειν αὐτὰ τὸν Δαβὶδ· ὥσπερ οὖν καὶ
ἡμεῖς ἄχρι τῆς δεῦρο ἐν ταῖς ἐκκλησιαστικαῖς διαλέξεσι,
μαρτυρίαις συγκεχρήμεθα, ὡς ἂν ἁρμόζειν δυναμέναις ἀπὸ
τῆς διανοίας τοῖς παρ' ἡμῶν λεγομένοις· ὁ γὰρ ψαλμὸς ἐκεῖ-
νος οὐ περὶ πάντων ἀνθρώπων εἴρηται τῷ Δαβὶδ· καὶ δῆ-
λον ἐξ ὧν φησὶν· οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν
ἀνομίαν, οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου; τίνα
δὲ ἔμελλεν ὀνομάζειν οἰκεῖον Θεῷ, ὁ περὶ πάντων ἀνθρώ-
πων ὥστε τὸ χεῖρον ἐκκλινάντων ἀποφηνάμενος;

Διὰ ποίου νόμου; v. 27.

Πάντως ἐρεῖτέ μοι· τίς ἐπεισελθὼν νόμος τοῦτον ἐξέ-

Digitized by Google

III. βαλεν ; ἐπειδὴ νόμῳ πέφυκεν ὁ κρατῶν λύεσθαι νόμος· πρὸς οὓς φησὶν· οὐ νόμος ἔργων ἐπεισελθὼν τὸν προτέρον ἔλυσεν· κάλλιστα γὰρ εἶχεν ἐκεῖνος κατά γε τοῦτο· νόμος δὲ πίστεως ἐπεισεληλυθὼς, περιττὸν εἰκότως τοῦτον ἀπέφηνεν νικώσης τὴν ἀπὸ τοῦ νόμου τῶν ἔργων, ἐπειδὴ ταῦτα ἡμῖν ἀπὸ τῆς θείας ὑπάρχει χάριτος, ἃ σὺν πολλῷ τῷ πόνῳ προσγίνεσθαι ἀπὸ τῶν προτέρων οὐκ ἠδυνήθη· ἔδειξε δὲ διὰ νόμου πίστεως εἰπὼν, καὶ μὴ ἁπλῶς διὰ πίστεως . . .

* eadem lacuna est in duobus codd.

σθαι * πρὸς τὸν νόμον ὡς ἀλλότριον . . . ἐπὶ τῶν εἰκείων τὴν προσηγορίαν ἀσπάζεται.

v. 28. Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον.

Τὸ δὲ λογιζόμεθα, οὐκ ἐπὶ ἀμφιβολίας λέγει, ἀλλ' ἀντὶ τοῦ λογισμῷ τῷ προσήκοντι ἡγοῦμαι τῆς κατὰ πίστιν δικαιώσεως ἄνευ ἔργων νόμου πάντα ἄνθρωπον βουληθέντα μετέχειν· σημειωτέον δὲ ὡς οὐχ' ἁπλῶς εἶπεν· χωρὶς ἔργων νόμου· ὡς ἂν εἰ καὶ ἐργαζοίμεθα ἀρετῆς ἐπιμελούμενοι, οὐκ ἀνάγκη νόμου τοῦτο πεισύντων, ἀλλ' ὑφ' ἑτέρου πρὸς τοῦτο ἀγομένων.

v. 30. Καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως.

Ἐπὶ τῶν ἰουδαίων τὸ ἐκ πίστεως τέθεικεν, ὡς ἂν ἐχόντων μὲν καὶ ἑτέρας ἀφορμὰς πρὸς δικαίωσιν, οὐ δυναμένων δὲ αὐτῆς μετέχειν πλὴν ἐκ τῆς πίστεως, ἐπὶ δὲ τῶν ἑλλήνων διὰ πίστεως.

Cap. IV. v. 6. Καθάπερ καὶ Δαβὶδ λέγει τὸν μακαρισμὸν
. τοῦ ἀνθρώπου.

Θαυμασιώτατα δὲ τὰς μαρτυρίας συνέκρουσεν· ἐπὶ μὲν τῆς πίστεως, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· ἐπὶ δὲ τῶν ἔργων, καὶ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν· ἐκεῖ γοῦν ἤρκεσεν ἡ πίστις, ὥστε λογισθῆναι αὐτῷ εἰς δικαιοσύνην·

Digitized by Google

ἐνταῦθα δὲ ἔργα καὶ πρὸς τὸ ἐναντίον ῥέποντα οὐ λογί- IV. 1
ζεται, ὅταν ἡ τοῦ Θεοῦ φιλανθρωπία τῶν γεγονότων ἀνωτέρα φαίνηται.

Λέγομεν γὰρ ὅτι ἐλογίσθη τῷ Ἀβραὰμ v. 9.
ἡ πίστις εἰς δικαιοσύνην.

Εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων· κατὰ τὸ οἰκεῖον ἰδίωμα κἀνταῦθα εἶπεν· ὡς τὸ, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους· λέγει γὰρ τὸ ἀναγκαίως τοῖς γεγονόσιν ἑπόμενοι· ἐντεῦθεν φησὶ κοινός ἐστιν ἁπάντων πατήρ, ἐπειδὴ ἂν τὴν πρὸς αὐτὸν ὁμοιότητα τῆς πίστεως δείξωνται.

Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ. Cap. V. v. 13.

Οὐδὲ γὰρ ὁ νόμος ἐπεισελθών, φησι, τὴν ἁμαρτίαν ἔλυσεν· ἀλλ' ἄχρις ἦν τε ὁ νόμος καὶ ἐπολιτεύετο καὶ ἐκράτει παρὰ τοῖς ἀνθρώποις, ἐλάμβανε καὶ τὰ τῆς ἁμαρτίας προσθήκην· οὐδὲν πρὸς τοῦτο τῆς τοῦ νόμου θέσεως συμβαλλέσθαι δυνηθείσης αὐτοῖς· καὶ πρὸς ἀπόδειξιν τοῦ προκειμένου ἐπάγει· ἁμαρτία δὲ οὐκ ἐλλογεῖται μὴ ὄντος νόμου· τοσοῦτον γὰρ ἀπεῖχεν ὁ νόμος φησὶ τοῦ τὴν ἁμαρτίαν ἀνελεῖν, ὥστε οὐδ' ἂν γένοιτο ἁμαρτία, εἰ μὴ νόμος εἴη· νόμον δὲ νῦν καλεῖ τὴν ἡντιναθήποτε διάκρισιν, εἴτε ἀπὸ φύσεως, εἴτε ἀπὸ θέσεως ἐγγινομένην· μὴ γὰρ οὔσης τῆς διακρίσεως, οὐκ ἄν τις λέγοιτο ἁμαρτίαν· εἰ δὲ ὁ τὸ φαινόμενον κακὸν, καὶ διακεκριμένον ἀπὸ τοῦ καλοῦ μετιών, ἀλλὰ τοῦτο μὲν εἰς αὔξησιν τοῦ ἐφ' ᾧ πάντες ἥμαρτον τέθεικε· ἐχόμενος δὲ τῆς οἰκείας ἀκολουθίας, ἐπήγαγεν· ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος· τὸ μὲν οὖν καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως

Digitized by Google

V. Ἀδὰμ, τοῦτο λέγει· ὅτι ὁ θάνατος ἐκράτησεν ἁπάντων τῶν ὁπωσδήποτε ἡμαρτηκότων· οὐ γὰρ ἐπειδὴ οὐχ ὅμοιον ἦν τὸ τῆς ἁμαρτίας εἶδος τό τε τοῦ Ἀδὰμ καὶ τῶν λοιπῶν ἀνθρώπων, θανάτου γεγόνασιν ἐκτὸς οἱ λοιποὶ, ἀλλ' ὑπὲρ ὧν ἡμάρτανον ὁπωσδήποτε τοῦ θανάτου τὴν ἀπόφασιν ἐδέξαντο πάντες· οὐ γὰρ τῆς τοιᾶσδε ἁμαρτίας τιμωρία ὁ θάνατος ὥρισται, ἀλλὰ πάσης ἁμαρτίας· ἔστι δὲ ἐν τῷ πᾶν ἀπὸ τοῦ, οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ θεῷ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· λέγει γὰρ ὅτι οὐκ ἐπὶ τούτῳ μόνον καυχώμεθα ὅτι διὰ τοῦ Χριστοῦ κατήλλαξεν ἡμᾶς ὁ θεὸς ἑαυτῷ, ἀλλ' ὅτι καὶ πάντα δὴ τὰ παλαιὰ ἔλυσε κακὰ· ποῖα ταῦτα; ἡμαρτηκότος γὰρ τοῦ Ἀδὰμ, καὶ μὴν καὶ θνητοῦ διὰ τοῦτο γεγονότος, ἥ τε ἁμαρτία παρῆλθεν εἰς τοὺς ἑξῆς, καὶ ὁ θάνατος πάντων ἐκράτει τῶν ἀνθρώπων, ὡς εἰκὸς· πάντων γὰρ ἡμαρτηκότων, εἰ καὶ μὴ παραπλησίαν τῷ Ἀδὰμ ἁμαρτίαν, ἀλλ' οὖν γε ὁπωσδήποτε τῶν μὲν οὕτω τῶν δὲ οὕτω, ἀνάγκη καὶ τὸν θάνατον ἦν κρατεῖν ἐφ' ἁπάντων ὁμοίως· ἀλλ' οὐδὲ ὁ νόμος ἐπεισελθὼν, ἀνελεῖν αὐτὴν ἐπὶ τῶν ἀνθρώπων ἐδυνήθη· τοὐναντίον μὲν οὖν καὶ ἡ τοῦ ἁμαρτάνειν ἀφορμὴ ἐντεῦθεν ἡμῖν ἐπεγίγνετο, τῷ μηδὲ εἶόν τε εἶναι ἁμάρτημα κρίνεσθαι νόμων ἐκτὸς· ὄντων δὲ τῶν καθ' ἡμᾶς ἐν τούτοις ὡς μηδὲ μίαν τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς ὑποφαίνεσθαι ἐλπίδα, λύσιν ἁπάντων ὁ Χριστὸς εἰργάσατο τῶν κακῶν· διὸ συντόμως ἐπήγαγε τὸ, ὅς ἐστι τύπος τοῦ μέλλοντος· ἵνα εἴπῃ, ὅτι ἐγένετο δὲ τὰ κατὰ τὸν Ἀδὰμ τύπος τῶν κατὰ Χριστὸν, ἐπειδὴ ὥσπερ δι' ἐκείνου τῶν χειρόνων ἡ πάροδος ἐγένετο, οὕτω διὰ τούτου τῆς τῶν κρειττόνων ἀπολαύσεως τὴν ἀφορμὴν ἐδεξάμεθα.

Digitized by Google

Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα. V. v. 15.

Καὶ οὐδὲ τοῦ παραπτώματος εἶδος, φησὶ, τοιοῦτον ὅσον τὸ τοῦ χαρίσματος· εἰ γὰρ καὶ ἡ τοῦ ἑνὸς ἁμαρτία τοῖς ἀνθρώποις τὸν θάνατον ἐπήγαγεν, ἀλλ' οὖν γε ἡ διὰ τοῦ Χριστοῦ δωρεὰ, μείζων τίς περὶ τοὺς ἀνθρώπους ἐγένετο· τὸ γὰρ οἱ πολλοὶ ἀπέθανον, ἀντὶ τοῦ πάντες λέγει· πάντες γὰρ ἀπέθανον, ὡς αὐτὸς ἀνωτέρω φησὶν· εἰ πάντας ἀνθρώπους διῆλθεν ὁ θάνατος, δῆλον δὲ ὅτι τὸ καὶ εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν ὁμοίως ἀντὶ τοῦ εἰς πάντας λέγει· κοινὴ γὰρ καὶ ἡ τῆς ἀναστάσεως χάρις ἁπάντων ἀνισταμένων ὁμοίως.

Καὶ οὐχ ὡς ἑνὸς ἁμαρτήσαντος τὸ δώρημα. v. 16.

Μίαν ταύτην αἰτίαν λέγει τῆς διαφορᾶς· ἐκεῖ μὲν γὰρ φησὶν, εἷς ἡμαρτηκὼς καὶ κατακριθεὶς διὰ τοῦτο· εἰς τοὺς ἐξῆς τὴν τιμωρίαν ἐνεχθῆναι παρεσκεύασε, πάντας κοινωνοὺς τῆς ἀποφάσεως ἐσχηκὼς τοῦ θανάτου· ἡ δέ γε χάρις οὐχ' ὁμοίως· οὐ γὰρ ἀφ' ἑνὸς ὥσπερ ἐπὶ τοῦ Ἀδὰμ εἰς τοὺς ἐξῆς ἐλήλυθεν, ἀλλὰ πολλῶν ὄντων τῶν ἤδη κατακεκριμένων, σύντομον εἷς τε τοὺς πρότερον καὶ εἰς τοὺς ἐξῆς ἀνθρώπους τῆς δωρεᾶς ἐποιήσατο τὴν ἐξάπλωσιν· ἔστιν οὖν μείζων πολλῷ, εἴπερ ἐκεῖνο μὲν ἐξέλαμψε τοὺς ἐξῆς· τοῦτο δὲ οὐ τοὺς ἐξῆς μόνον ὠφέλησεν, ἀλλὰ γὰρ καὶ τοὺς προσειληφότας ἔλυσε τῶν ἐγκλημάτων.

Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι. v. 17.

Ἔτι μὴν κἀκεῖνο φησὶ πολλὴν δείκνυσιν τὴν διαφοράν, ὅτι ἐκεῖ μὲν ὁ θάνατος, εἰσαχθεὶς τῇ τοῦ Ἀδὰμ ἁμαρτίᾳ καὶ κρατήσας ἐπὶ τῶν ἀνθρώπων, ἐδέξατο λύσιν· ἡ δέ γε τῆς δωρεᾶς ἀπόλαυσις διὰ τοῦ Χριστοῦ προσγενοῦια ἡμῖν δι' ἣν καὶ τῆς ἀναστάσεως τευξόμεθα καὶ ἐν δικαιο-

Digitized by Google

V. σύνῃ διατελέσομεν, ἁμαρτεῖν οὐκ ἐπιδεχόμενα, λύσιν οὐ δέξεται· διαμενοῦμεν γὰρ τῆς μελλούσης ζωῆς ἀθανάτως ἀπολαύοντες.

v. 18 Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος.

Ἀρκούντως ἐν τοῖς προκειμένοις τὴν διαφορὰν δείξας τῶν πραγμάτων, συλλογίζεται ἐνταῦθα τὸ πᾶν πρὸς τὸ, διὰ τοῦτο ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, ταῦτα ἀποδιδοὺς καὶ λέγων, ὅτι δέδεικται διὰ τούτων ἡμῖν ὅπως τοῦ Ἀδὰμ καὶ ἁμαρτήσαντος καὶ θανάτου αἰτίου γεγονότος, ὁ Χριστὸς καὶ τὴν λύσιν τῶν ἁμαρτημάτων ἡμῶν ἐχαρίσατο, καὶ τὴν ἀπαλλαγὴν τοῦ θανάτου τῇ τῆς ἀναςάσεως ἐλπίδι, καθ' ἣν ἔξω πάσης ἁμαρτίας πολιτευσόμεθα· τοῦτο γὰρ λέγει δικαίωσιν ζωῆς· καὶ ὥσπερ ἡ ἐκείνου, φησὶν, ἁμαρτία τοὺς λοιποὺς ἀνθρώπους θνητούς τε ἐποίησε, καὶ ἐπιφέρεῖς διὰ τούτου περὶ τὴν ἁμαρτίαν εἶναι, τοῦτο γὰρ λέγει τὸ ἁμαρτωλοὶ, οὕτως ὁ Χριστὸς τὴν ἀνάστασιν ἡμῖν ἐδωρήσατο, ὥστε ἐν ἀθανάτῳ τῇ φύσει καταστάντας, πάσης ἁμαρτίας διάγειν ἐλευθέρους, ἐν ἀκριβεῖ τῇ δικαιοσύνῃ πολιτευομένους· ἔδειξε δὲ κἀνταῦθα, ὅτι τὸ οἱ πολλοὶ, ἀντὶ τοῦ πάντες λέγει· εἰπὼν γὰρ τὸ εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς, ἐπήγαγεν ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ· ὥστε δῆλον ὅτι οἱ πολλοὶ, ἀντὶ τοῦ οἱ πάντες λέγει καὶ ἐν τοῖς ἀνωτέρεις κἀνταῦθα.

v. 21. Ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ.

Τῷ βασιλεῦσαι ἐν τῷ θανάτῳ τὴν ἁμαρτίαν οὕτως λέγει, μείζονα περὶ τὸ ἁμαρτάνειν ῥοπὴν θνητοὶ γεγονότες ἐσχήκαμεν· πολλὰ μὲν γὰρ ἀπὸ ἡδονῆς τῆς περί τε βρῶσιν καὶ πόσιν καὶ τὸν ἔξωθεν κόσμον καὶ μὴν καὶ τὰς τῶν

Digitized by Google

γυναικῶν ἐπιμιξίας ἐγγίνηται ἡμῖν πταίσματα, ἐφ' ἑκάστου V.
τούτων, οὐκ ἐπὶ τοῦ πρέποντος τῶν πολλῶν ἰσαμένων, ἀλλ'
εἰς ἀμετρίαν ἐκφερομένων· ταῦτα δὲ ἀθανάτῳ μὲν οὐκ ἄν
ποτε ἐγγένοιτο φύσει· πόθεν γὰρ ἡδονή, τίς δὲ φιλαργυρία
ἐπὶ τῆς ἀθανάτου χώραν ἔξει φύσεως; ἐπειδὴ δὲ θνητοὶ
γεγόναμέν τε καὶ ἐσμὲν τὴν φύσιν, ἅφατον μέν τινα ἀπὸ
τῶν πρεμνημένων παθῶν τὴν ἐνόχλησιν ὑπομένομεν, πολ-
λὴν δὲ τὴν περὶ τὸ ἁμαρτάνειν ῥοπὴν ἐντεῦθεν δεχόμεθα·
καλῶς οὖν ἔφη βασιλεῦσαι ἐν τῷ θανάτῳ τὴν ἁμαρτίαν,
μονονουχὶ κρατοῦσαν ἡμῶν διὰ τῆς ἐνούσης ἡμῖν ἐντεῦθεν
περὶ τὸ ἁμαρτάνειν ῥοπῆς· ὥσπερ οὖν τότε φησὶν ἡ ἁμαρ-
τία ἡμῶν ἐκράτει συνωθουμένων ἐπ' αὐτὴν, καὶ παρὰ γνώ-
μην πολλάκις, οὕτω δὴ ἡ τοῦ θεοῦ καθέξει φιλοτιμία,
ἀσάλευτον τὴν βασιλείαν ἔχουσα ἐν ἡμῖν, ἐπειδ' ἂν τῆς
αἰωνίου ζωῆς καταξιωθέντες διὰ τῆς ἀναστάσεως, ἐν ἀλη-
θινῇ καὶ βεβαίᾳ τῇ δικαιοσύνῃ διάγειν μέλλομεν, ἁμαρτεῖν
οὐκ ἐπιδεχόμενοι.

Ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν. Cap. VI.
v. 3.

Ἢ οὐκ ἴστε, φησὶν, ἐκεῖνο ὅτι τὸ βάπτισμα κενωνοὺς
ποιεῖ τοῦ θανάτου τοῦ Χριστοῦ; καὶ γὰρ ὥσπερ συνθάπτε-
σθαι δοκοῦμεν αὐτῷ βαπτιζόμενοι κατά γε τὸν τύπον· ὥστε
πρόσκειται ἡμᾶς, καθάπερ ὁ κύριος ἐκ νεκρῶν ἀναστὰς εἰς
ἑτέραν καινήν τινα κατέστη ζωὴν, οὕτως καὶ αὐτοὺς ἐν
καινῇ τινὶ ζωῇ καθεστάναι μετὰ τὸ βάπτισμα, λογιζομέ-
νους ἄξιον ἐπιδείκνυσθαι τὸν βίον τῆς ζωῆς ἐκείνης εἰς ἣν
διὰ τοῦ βαπτίσματος γεγενῆσθαι πιστεύσμεν.

Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι v. 5.
τοῦ θανάτου αὐτοῦ.

Δῆλον δὲ ἄρα κἀκεῖνο, φησὶν, ὡς οὐκ ἔνεστι τυπικῶς

VI, κοινωνήσαντας τῷ θανάτῳ μὴ καὶ τῆς ἀναστάσεως ἐπ' αὐτῷ τυχεῖν τῶν πραγμάτων· καλῶς δὲ εἶπε τὸ σύμφυτοι, περί τε νεκρώσεως καὶ ζωοποιήσεως διαλεγόμενος, ἐπειδὴ καὶ τῶν φυτῶν ἴδιόν ἐστι τὸ νεκρεῦσθαι μὲν ἐν τῇ φυτείᾳ, μεθίσθασθαι δὲ ἐπὶ τὸ κρεῖττον καὶ ἐνδοξότερον πολλῷ· καὶ εἰκότως ἀπὸ τῶν παρόντων τὰ μέλλοντα ἐπιστώσατο· ἐπειδὴ γὰρ ὄφλον ἦν ὡς πνεύματος μετεῖχον ἐν τῷ βαπτίσματι· τοῦτο δὲ ὑπ' αὐτῶν σαφῶς ἐδείκνυτο τῶν πραγμάτων, καλῶς ἀπὸ τοῦ φαινομένου, τότε τὸ μηδέπω ὄφλον αὐτοὺς ἐπιστώσατο.

v. 6. Τοῦτο γινώσκοντος ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος.

Λέγει καὶ τὸ πάθος τοῦ κυρίου ἐπί τισιν ἐγένετο, εἰς μείζονα πίστιν τῶν εἰρημένων· ἐπειδὴ γὰρ ὑπὸ τὴν ἀπόφασιν γενόμενοι τοῦ θανάτου, πλεῖστον ὅσον ἐπιῤῥεπέσερσι πρὸς τὸ ἁμαρτάνειν ὑπὸ τῆς θνητότητος ἐγινόμεθα, τῷ Χριστῷ φησὶν ἐσταυρωμένῳ, ὥσπερ ἅπασα ἡμῶν ἡ ὑπὸ τὴν θνητότητα κειμένη φύσις συνεσταυρώθη, ἐπειδὴ καὶ πᾶσα αὐτῷ συνανέστη, πάντων ἀνθρώπων αὐτῷ συμμετασχεῖν ἐλπιζόντων τῆς ἀναστάσεως· ὡς ἐντεῦθεν συναφανισθῆναι μὲν τὴν περὶ τὸ ἁμαρτάνειν ἡμῶν εὐκολίαν, διὰ τῆς ἐπὶ τὴν ἀθανασίαν τοῦ σώματος μεταστάσεως, γεννηθῆναι δὲ καὶ ἡμᾶς ἔξω καταστῆναι τῆς τοῦ ἁμαρτάνειν ἀνάγκης.

v. 12. Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι.

Λέγει μὲν ὅτι τούτων οὕτως ἐχόντων, δίκαιον ἡμᾶς μὴ ἁμαρτάνειν κατὰ τὸν παρόντα βίον· κἂν ἔτι θνητοὶ τὴν φύσιν ὄντες, πλείονα ἔχητε τὴν ἐπὶ τοῦτο ῥοπὴν· ἐπειδὴ δὲ τὸ βασιλεύειν ἐπὶ τῆς ἁμαρτίας τέθεικε, καλῶς εἶπε τὸ μὴ παριστάνετε τὰ μέλη ὑμῶν· παρεστάναι γὰρ τοῖς βασιλεῦ-

Digitized by Google

στην ἔθος τοὺς δορυφόρους· μὴ τσίνυν φησὶν ὡς βασιλίδι τῇ VI.
ἁμαρτίᾳ σπεύδοντες ὑπηρετεῖσθαι διαπράττεσθε ἃ μὴ δεῖ,
σπουδάσατε δὲ μᾶλλον ἑαυτοὺς ἀφορίσαι τῷ Θεῷ, κατὰ τοὺς
ἐκ νεκρῶν ἀναβιώσαντας, ἕλκει δι' ὅλων τὰ δικαιοσύνης ἔρ-
γα ποιεῖν ἐσπουδακότες· θαυμασιώτατον δὲ αὐτοῦ τὸ ὡσεὶ
ἐκ νεκρῶν ζῶντας, δεικνύντος ὅτι οὐ τὸ πρᾶγμα παρ' αὐ-
τῶν ἀπαιτεῖ, ἀλλὰ τὴν κατὰ τὸ δυνατὸν μίμησιν· ζῶντες
μὲν γὰρ ἐκ νεκρῶν τότε ἔσονται· νυνὶ δὲ ὡς ἐκ νεκρῶν ζῶν-
τες φησὶν, ἀντὶ τοῦ κατὰ τὸ δυνατὸν ἐκεῖνο μιμούμενοι·
καὶ καλῶς πείθων αὐτοὺς μὴ δεδεικέναι τὴν περὶ τὸ ἁμαρ-
τάνειν ῥοπὴν καὶ τὰς ἐντεῦθεν κινήσεις, εἰ τὰ τῆς γνώμης
ἀκέραια σώζοιτο, ἐπάγει· ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει·
ἐπειδὴ γὰρ ἀπὸ τῶν μελλόντων μὴ δεῖν αὐτοὺς ἁμαρτάνειν
ἔδειξεν, ἀκολούθως ἐπήγαγεν· ὅτι κρατῆσαι ὑμῶν καθόλου
τὴν ἁμαρτίαν, τῶν ἀδυνάτων· ἔσαι γὰρ καιρὸς ὁ μέλλων,
ἐν ᾧ πάσης ἁμαρτίας ἀπηλλαγμένοι πολιτεύσεσθε· ὥστε εἰ
νῦν τὰ τῆς γνώμης ὑμῶν ὑγιαίνει, ἅπαν εἶδος ἁμαρτίας
ἀποσρεφομένων, καὶ σπουδῇ τὰ καλὰ ποιεῖν ἐθελόντων, οὐ
δεῖ δεδρικέναι τὴν ἐπὶ τὸ χεῖρον ῥοπὴν· λήψεται γὰρ ἴασιν
τοῦτο πάντως ἐν καιρῷ τῷ προσήκοντι· καὶ οὐ χρεία τῶν
ἡμετέρων πρὸς τοῦτο πόνων· καὶ τὸ μεῖζον· οὐ γὰρ ἐστὲ
ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν· τοσοῦτον γὰρ ἀφέξετε τότε καί
τι τοιοῦτον δεδεικέναι, ὥστε οὐδὲ νόμων ὑμῖν δείσει τῶν
ὑποδεικνύντων ἃ πράττειν προσήκει, χάριτί τε καὶ φιλοτιμίᾳ
τοῦ δεδωκότος, τῆς τοῦ πνεύματος ἀπολαύσεται δωρεᾶς.

Τί οὖν; ἁμαρτήσομεν ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, v. 15.
ἀλλ' ὑπὸ χάριν;

Τοῦτο ἰουδαίοις μάλιστα λέγειν ἐνῆν, ὅτι νόμου φύσις
διαρίζει, τί μὲν πράττειν πρσήκει, τί δὲ μή· εἰ μὲν οὖν

Digitized by Google

VI. ἔξω νόμου τυγχάνομεν, οὐδὲν ἂν κωλύοι τὸ προσυχὸν ἅπαντας πράττειν· εἰ δὲ ἔστί τις πρακτέων καὶ μὴ τοιούτων διάκρισις, ὑπὸ νόμον πάλιν ἐσμὲν· καὶ σχῆμα ψιλὸν ἔχει τὰ λεγόμενα παρ' ὑμῶν· ταύτην τοίνυν ἀντιθεὶς ἑαυτῷ τὴν ἀντίῤῥησιν, λέγει μὲν πῶς ἁμαρτίας ἐκτὸς εἶναι προσῆκεν ἡμᾶς οὐχ' ὑπὸ νόμον ὄντας· ὅπως δὲ ἡ τῆς χάριτος ἀπόλαυσις, οὐκ ἄδειαν ἡμῖν τοῦ ἁμαρτάνειν παρέχεται· καὶ εὐθὺς μὲν ἐπάγει κατὰ τὸ σύνηθες αὐτῷ, μὴ γένοιτο τοῦ ἁμαρτάνειν, καὶ τὴν προσηγορίαν φευκτὴν εἶναι ἡγούμενος· τὴν δέ γε λύσιν τῆς ἀντιθέσεως οὕτω ποιεῖται· πᾶς ἄνθρωπος ὅτῳ περ ἂν ὑπακούειν ἕληται φησι, δοῦλον ἑαυτὸν ἐκείνου κατέστηκεν, εἰς τὸ πείθεσθαί τε αὐτῷ καὶ τὰ ἐκείνῳ δοκοῦντα πράττειν ἅπαντα· ἢ τοίνυν τῇ ἁμαρτίᾳ πείθεσθαι ἑλόμενοι, τὰ ἐκείνῃ δοκοῦντα ποιεῖν ἀνάγκην ἔχετε, τὸν ἐπιγινόμενον ἐντεῦθεν θάνατον ἐκδεχόμενοι, ἢ τῇ δικαιοσύνῃ προσνείμαντας ἑαυτοὺς, δεήσει πάντως τὸ ταύτης βούλημα πληροῦν τὰ ἐκεῖθεν ἀγαθὰ περιμένοντας.

v. 17. Χάρις δὲ τῷ θεῷ ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας.

Ἀναγκαιότατον μὲν οὖν καὶ τὸ χάρις δὲ τῷ θεῷ· ἔδει γὰρ ἀπὸ εὐχαριστίας ἄρξασθαι τόν γε τοσούτων ἀγαθῶν δόσιν παρὰ θεοῦ ὑπάρξασαν ἡμῖν ἐξηγεῖσθαι μέλλοντα· καιριώτατα δὲ τὸ εἰς ὃν παρεδόθητε τύπον διδαχῆς· οἱ γὰρ ἀπόστολοι διετέλουν ἁπανταχοῦ λέγοντες, ὅτι λέλυται τὰ παλαιὰ, πέπαυται θάνατος, ἔσβηται ἁμαρτία, ἔργῳ μὲν ὕστερον, ἐπαγγελίᾳ δὲ ἤδη· τύπον δέ τινα καὶ σύμβολα πληροῦμεν ἐκείνων ἐπὶ τοῦ βαπτίσματος διὰ τῆς δεδομένης ἡμῖν ἐν αὐτῷ τοῦ πνεύματος δωρεᾶς, ὥσπερ ἀναγεννώμενοι κατὰ μίμησιν τῶν ἐσομένων τότε· τοῦτο οὖν λέγει· ὅτι γνώμῃ τὴν ἡμετέραν διδασκαλίαν εἵλεσθε, δι' ἧς προσ-

Digitized by Google

πηγάγομεν ὑμᾶς, καὶ μονονουχὶ παρεδώκαμεν τῷ τύπῳ τῶν μελλόντων διὰ τοῦ βαπτίσματος· τούτοις δὴ πεισθέντας, ἀνάγκη σύμφωνα διαπράττεσθαι, μιμουμένους ἐκεῖνα τῷ βίῳ εἰς ἃ τῷ τύπῳ κατέστητε. VI.

Τίνα οὖν καρπὸν εἴχετε τότε; ἐφ' οἷς νῦν ἐπαισχύνεσθε. v. 21.

Κατ' ἐρώτησιν ἀναγνωσέον τίνα οὖν καρπὸν εἴχετε τότε, εἶτα κατὰ ἀπόκρισιν, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε· εἴδομεν γὰρ τὸ κέρδος, φησὶ, τῆς περὶ ἐκεῖνα σπουδῆς, ἃ καὶ λεγόντων ἑτέρων αἰσχύνεσθε.

Ὥστε ἀδελφοί μου καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ. Cap. VII. v. 4.

Δεικνὺς τῶν κατὰ Χριστὸν τὸ ὠφέλιμον, ἐπάγει· ἵνα καρποφορήσωμεν τῷ Θεῷ· οὐκ ἐπ' αἰτίας δὲ λέγει τὸ εἶναι, ἀλλὰ τὸ ἐπόμενον τῷ πράγματι, κατὰ τὸ σύνηθες αὐτῷ· βούλεται γὰρ εἰπεῖν, ὅτι ἐν ταύτῃ γενόμενοι τῇ ζωῇ, διηνεκεῖς ὦμεν τῆς δικαιοσύνης τῷ Θεῷ τοὺς καρποὺς τῆς κατὰ νόμον πολιτείας ἀπηλλαγμένοι· Θαυμασιώτατον δὲ αὐτοῦ τὸ μὴ εἰπεῖν ἐθανατώθητε διὰ τοῦ βαπτίσματος, ἀλλὰ διὰ τοῦ σώματος τοῦ Χριστοῦ· ἀρχὴ μὲν γὰρ τῆς παρούσης ζωῆς ὁ Ἀδὰμ πᾶσιν ἀνθρώποις ἐγένετο, τῆς δὲ μελλούσης ὁ Χριστὸς· ὥσπερ οὖν ἐπὶ τοῦ παρόντος βίου τὴν πρὸς τὸν Ἀδὰμ κοινότητα τῆς φύσεως ἔχομεν, οὕτως ἐπὶ τοῦ μέλλοντος τὴν πρὸς τὸν Χριστὸν ὁμοιότητα λαμβάνομεν, ἐκεῖθεν τὰς ἀφορμὰς τῆς ἀναστάσεως ἔχοντες· μέρος οὖν τοῦ σώματος λεγόμεθα τοῦ κυρίου, ἅτε δὴ τὴν πρὸς αὐτὸν κοινωνίαν δεχόμενοι· ὅθεν ἐπειδὴ τυπικῶς ἐν ἐκείνοις διὰ τοῦ βαπτίσματος γεγενῆσθαι πιστεύομεν, τοῦτο λέγει· ὅτι μέρος γενόμενοι τοῦ σώματος τοῦ Χριστοῦ διὰ τῆς κατὰ

Digitized by Google

VII. τὴν ἀνάστασιν κοινωνίας, ἧς ἐν τῷ βαπτίσματι πληροῦν τοὺς τύπους ἡγούμεθα, νεκρὸς μὲν εἶ τῷ παρόντι βίῳ λοιπὸν, ἔξω δὲ τῆς ὑπὸ τὸν νόμον πολιτείας καθέστηκας· οὐδὲ μίαν φέρων ἑαυτῷ διαβολὴν, εἰ μὴ κατὰ ταυτὸν πολιτεύοιο, ἐπειδὴ φύσις αὐτῷ τὸ κρατεῖν ἐπὶ τῶν τὴν παροῦσαν ζωὴν ζώντων ζωήν.

v. 5. Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου.

Ἡ θεία γραφὴ ποτὲ μὲν σάρκα λέγει τὴν φύσιν αὐτὴν, ποτὲ δὲ οὐ τὴν φύσιν ἁπλῶς, ἀλλ' ἀπὸ τῆς θνητότητος οὕτως αὐτὴν ὀνομάζει, ὡς ἂν οὐκέτι δυναμένην οὕτω καλεῖσθαι, εἰ δὴ ἀπώθοιτο τὸν θάνατον· ὡς ὅταν λέγῃ· τὸ σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται· ὡς ἂν οὐκέτι σαρκὸς οὔτε οὔσης οὔτε ὀνομάζεσθαι δυναμένης τῆς ἐπὶ τοῦ μέλλοντος αἰῶνος γεγονυίας ἀθανάτου· ἔστι δὲ ὅτε καὶ τὸ πάθος αὐτὸ σάρκα εἶδε καλεῖν· ὡς ὅταν λέγῃ· ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ· ἵνα εἴπῃ, ἐν τῷ καιρῷ τοῦ πάθους, ὅτε πρὸς αὐτῷ ἔμελλε γενέσθαι τῷ θανάτῳ· καὶ μὴν καὶ τὸ πρόσκαιρον καὶ ἐνδιάλυτον ἅπαν οἶδεν οὕτω καλεῖν, ὡς ἐν τῇ πρὸς Κορινθίους εἰπών· ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ θεὸς, ἵνα καταισχύνῃ τοὺς σοφοὺς· καὶ τὰ ἀσθενῆ, ἵνα καταισχύνῃ τὰ ἰσχυρὰ· καὶ τὰ ἐξουθενημένα καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ· ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ· καὶ τοί γε οὐ διαφόρων ζώων μνησθεὶς, ἀλλ' ἵνα εἴπῃ ὥστε πάντα τὰ προσκαιρα φανῆναι ἄτονα πρὸς τὴν τῆς εὐσεβείας ἐπίγνωσιν· οὕτω δὲ τοῦ μὲν ἀθανάτου ζῶντος ζωὴν, οὐδέ ποτε ταύτῃ καλουμένου τῇ φωνῇ· σαρκὸς δὲ ποτὲ μὲν τῆς φύσεως λεγομένης, ποτὲ δὲ τῆς προσπ-

Digitized by Google

γοριας οὐκ ἐπὶ τῆς φύσεως λαμβανομένης ἀλλ' ἐπὶ σημα- VII.
σίᾳ τῆς θνητότητος, ὑφ' ἣν εἶναι συμβέβηκεν ἡμᾶς· ποτὲ
δὲ τοῦ προσκαίρου παντὸς τὴν ὑπὸ τὸν ὅρον τοῦ θανάτου
κειμένην καλεῖ· ὡς τὸ, σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κλη-
ρονομῆσαι οὐ δύνανται· οὕτως λέγει τὸ, ὅτε ἦμεν θνητοὶ·
ἐν τῇ σαρκὶ λέγων εἶναι τὸ εἶναι θνητοὺς· τοὺς γὰρ πε-
πιστευκότας Χριστῷ, καὶ τὴν περὶ τῶν μελλόντων ἐπαγ-
γελίαν ἤδη κομισαμένους, καὶ μὴν καὶ τοῦ τύπου τῆς ἐν
τῷ βαπτίσματι χάριτος καταξιωθέντας, οὐκ ἔτι λογίζεται
εἶναι θνητούς· ὅθεν καὶ κοιμωμένους ἐν τῇ πρὸς Θεσσαλο-
νικεῖς καλεῖ τοὺς ἀποθνήσκοτας· τότε τοίνυν τὶ τὰ παθή-
ματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνεργεῖτο ἐν τοῖς μέ-
λεσιν ἡμῶν· ὥσπερ διάφορα πάθη τῷ σώματι τῷ ἡμετέρῳ
συμβαίνειν πέφυκεν, κἂν μὴ πάντα πᾶσι μηδὲ πάντοτε ἐγ-
γίνεται, οὕτω καὶ ἁμαρτιῶν διάφορα πάθη πέφυκεν ἡμῖν
ἐνοχλεῖν, κἂν μὴ πάντα παρὰ πάντων ἐπιτελῆται μὴ δὲ
πάντοτε· ὡς γὰρ κατὰ τὸ σῶμα ὃ μὲν ἧττον, ὃ δὲ μᾶλ-
λον τοῖς πάθεσι περιπίπτει, οὕτω καὶ ἐπὶ τῶν ἁμαρτημά-
των ὁ μὲν πλείονα, ὁ δὲ ἐλάττονα ἁμαρτάνει· ἐπειδὴ τοί-
νυν νόμῳ τινὶ τὰ ἁμαρτήματα κρίνεται, εἴτε κατὰ τὴν φυ-
σικὴν διάκρισιν, εἴτε κατὰ τὰς δεδομένας ἔξωθεν διατάξεις,
τοῦτο λέγει ὅτι πάντα τῶν ἁμαρτιῶν τὰ πάθη ὅσα περ νό-
μῳ τινὶ διακρινόμενα ἐγγίνεσθαι ἡμῖν συμβαίνει, ὅταν τι
παρὰ τὸ φαινόμενον ἡμῖν, ἢ διηγορευμένον καλὸν διαπρατ-
τώμεθα· ταῦτα δὴ πάντα καὶ ἐπράττετο παρ' ἡμῶν· ἵνα
εἴπῃ ὅτι θνητοὶ τὴν φύσιν ὄντες, καὶ περὶ τὸ ἁμαρτάνειν
πολλὴν διὰ τοῦτο τὴν ῥοπὴν ἔχοντες, ἅπαν εἶδος ἐπετε-
λοῦμεν ἁμαρτίας· καί τοι γε διαφόροις τοῖς νόμοις παιδευό-
μενοι, ὧν ἀπέχεσθαι προσῆκον ἦν ἡμᾶς, καὶ τί τὸ ἐντεῦ-

Digitized by Google

VII. θεν γενόμενον εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ· λέγει δὲ ὅτι ἐντεῦθεν ἡμῖν ἐπεσφίγγετο τοῦ θανάτου ἡ τιμωρία· ὡς γὰρ ὑπὸ τῆς θνητότητος μείζονα τοῦ ἁμαρτάνειν τὴν ἐνοχλησιν ὑπεμένομεν, οὕτως ἡ τιμωρία ὑπὸ τοῦ πταίειν ἡμῖν ἐπεσφίγγετο, καὶ ὁ νόμος οὐδὲν ἡμᾶς ὠφελεῖν ἠδύνατο· τοὐναντίον δὲ καὶ ἁμαρτημάτων ἐγίγνετο πρόξενος, ἐπειδὴ ταῖς διαγορεύσεσι τἀναντία διεπραττόμεθα.

v. 6. Νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου ἀποθανόντες, ἐν ᾧ κατειχόμεθα.

Ἀλλὰ πάντα νῦν, φησὶ, μεταβέβληται· τῷ γὰρ βίῳ τούτῳ νεκροὶ γεγόναμεν· ᾧ δὴ τυγχάνοντες, ὥσπερ ὑπό τινος ἀνάγκης κατειχόμεθα εἰς τὸ τῷ νόμῳ πολιτεύεσθαι· ὅθεν οὐδὲ ἔστί τις ἡμῖν κοινωνία βίου πρὸς αὐτὸν τοῦ λοιποῦ· ἀνακαινισθέντες γὰρ τῇ δυνάμει τοῦ πνεύματος, καὶ ἕτεροι μὲν ἀνθ' ἑτέρων γεγονότες, μεταστάντες δὲ εἰς ἄφθαρτον ζωὴν ἀπὸ τοῦ παρόντος βίου, οὐδὲ μίαν ἁμαρτημάτων ἐνόχλησιν ὑπομένομεν· οὐκοῦν οὐδὲ νόμων δεόμεθα καὶ γραμμάτων τῶν διδασκόντων ἡμᾶς τῆς κακοῦ τὴν ἀποχήν· ταῦτα γὰρ τοῖς ἐν τῇ τοῦ βίου τούτου παλαιότησι καθεζῶσι χρήσιμα εἶναι δύναται, οὐ τοῖς ὑπὸ τοῦ πνεύματος ἀνακαινισθεῖσι καὶ γεγονόσιν ἀφθάρτοις, οἷς νόμων οὐκέτι χρεία διὰ τὸ μηδὲ ἁμαρτάνειν ἐπιδέχεσθαι· οὕτω κρείττονα τὰ ἡμέτερα ἐκείνων φησὶ, καὶ πολλῷ μείζονα τὰ κατὰ Χριστὸν ὠφέλειαν ἔχοντα τῶν ὑπὸ τὸν νόμον παιδαγωγουμένων.

v. 7. Τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου.

Τί οὖν ἤθειν καὶ οὐκ ἔγνων; οὐ παντελοῦς ἀνοίας ἐνταῦθα δηλωτικά, ἀλλὰ τοῦτο λέγει, ὅτι ἀκριβεστέραν τῆς φυσικῆς διακρίσεως ἐδεξάμην γνῶσιν διὰ τοῦ νόμου.

Αἰσθόμενος ἀπό τε τοῦ τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ

Digitized by Google

διὰ τοῦ νόμου., καὶ ἀπὸ τοῦ νόμος δὲ παρεισῆλθεν ἵνα VII.
πλεονάσῃ τὸ παράπτωμα, καὶ ἑτέρων πλειόνων ὧν ἐν τοῖς
ἀνωτέροις εἰρήκει, διαβολὴν τινὰ ἐπιφυομένην τῷ νόμῳ ὡς
ἀναιτίῳ καὶ ποιητικῷ τῶν ἁμαρτημάτων, τρέπεται μὲν ἐπὶ
τὸν περὶ τούτων λόγον, ἄρχεται δὲ τῆς ἀντιθέσεως οὕτω
λέγων· τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; ἀλλ' ἄρα, φησὶ,
μὴ τοῦτο ἀπὸ τῶν ἡμετέρων δείκνυται ῥημάτων· ὅτι δὴ φαῦ-
λος καὶ ποιητικὸς ἁμαρτίας ὁ νόμος, μὴ γένοιτο· ἀλλὰ τὴν
ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου· τοὐναντίον οὐδ' ἂν
ἔγνων τὴν ἁμαρτίαν δι' ἧς ἐκκλίνειν προσήκει τὴν πρᾶξιν,
εἰ μὴ νόμος ἦν ὁ τῇ διακρίσει τοῦ τε καλοῦ καὶ τοῦ χει-
ρονος παιδεύων ἡμᾶς ἅ τε ποιεῖν καὶ ὧν ἀπέχεσθαι δεῖ·
ὥστε ὁ νόμος ἡμῖν τοῦ μίσους τῆς ἁμαρτίας ἐγένετο αἴ-
τιος, ὡς ὑπέδειξέν τε αὐτὴν καὶ ἀποφεύγειν προσέταξε· καὶ
σαφέστερον παῶν τὸ εἰρημένον, ἐπήγαγεν· τήν τε γὰρ ἐπι-
θυμίαν οὐκ ἤδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν οὐκ ἐπιθυμήσεις·
πολλῶν ἐπιθυμεῖν ἡμᾶς κατὰ τὸν παρόντα βίον συμβέβη-
κεν, οὐ βρωμάτων καὶ ποτάτων καὶ γαμικῆς κοινωνίας μό-
νον, ἀλλὰ καὶ δόξης καὶ χρημάτων· ὧν δὲ τὴν ἐπιθυμίαν
ἐνοῦσαν ἔχομεν, τούτων οὐκ ἄν ποτε εἶναί τι φαῦλον ἡγη-
σάμεθα, μὴ νόμου διδάσκοντος ἡμᾶς, ὧν ἐπιθυμοῦντας ἀπέ-
χεσθαι προσήκει· ὥσπερ οὖν καὶ τὸν λόγον ἕκαστον, ἀπα-
ραιτήτων τὴν εἰκείαν ἐκπληροῦν ἐπιθυμίαν ἐπείγεται, ἅτε
δὴ οὐδενὸς αὐτὰ πρὸς τοὐναντίον ἀνθέλκοντος, ὑφ' οὗ πρὸς
μάχην τῆς οἰκείας ὀρέξεως καταστήσεται· εἶτα ὑποδείγμα-
τι κέχρηται τοῖς περὶ τὸν Ἀδὰμ, εἰς μείζονα τοῦ γενομέ-
νου σαφήνειαν· νόμος γὰρ ἦν καὶ ἡ πρὸς ἐκεῖνον ἐντολὴ περὶ
τοῦ φυτοῦ γενομένη, καὶ συνεβάλλετο τὰ κατ' ἐκεῖνον εἰς
σύστασιν τῶν περὶ τοῦ νόμου λόγων.

Digitized by Google

VII. v. 8. Ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς.

Ὑποδείγματι κέχρηται τοῖς περὶ τὸν Ἀδὰμ, ἐπεὶ κἀκεῖνος προκειμένων ἐπὶ τοῦ παραδείσου τῶν φυτῶν, ἀδεῶς ἁπάντων μεταλαμβάνειν ἐδύνατο, εἰ μὴ νόμος αὐτῷ τις περὶ ἀποχῆς ἔτυχε δοθείς, καὶ οὐκ ἦν ἁμάρτημα τὸ μετὰ τῶν λοιπῶν βουληθέντα κἀκείνου φαγεῖν· ἐπειδὴ δὲ ἐντολὴν ἐδέξατο ἀποσχέσθαι τοῦ φυτοῦ τῆς βρώσεως, ἐπιθυμίας μέν τις ἐνῆν αὐτῷ τῆς μεταλήψεως ὡς εἰκὸς τοῦ καρποῦ, ἐκωλύετο δὲ ὅμως ὑπὸ τῆς ἐντολῆς, ἁμάρτημα εἶναι τὸ φαγεῖν τῶν ἀπηγορευμένων ἡγούμενος· ἐντεῦθεν ἡ ἁμαρτία πάροδον ἔσχεν, τῆς μὲν ἐντολῆς ἐπεχούσης τὴν βρῶσιν, τοῦ δὲ Ἀδὰμ οὐ πρὸς τὴν ἀξιοπιστίαν τῆς ἐντολῆς βουληθέντος ἰδεῖν, ἀλλὰ πιστωθέντος μὲν τοῦ ἐπιβούλου τοῖς λόγοις, ἥλου δὲ τῆς ἐπιθυμίας τοῦ φαγεῖν γεγενότος· καὶ οὐ μόνον ἀφορμὴ τῆς ἁμαρτίας ἐντεῦθεν ἐγένετο· ἀλλὰ γὰρ ἔτι κἀκεῖνο ἐμάθομεν, ὡς οὐκ ἀπάτη ταῖς ἐπιθυμίαις προσῆκεν ἕπεσθαι ἡμᾶς, δοκιμάζοντες δὲ ἃ χρὴ ποιεῖν τῶν ἑτέρων ἀπέχεσθαι· οἷς οὐκ ἐμμένοντες, δῆλοι πάντως ἐσμὲν ἁμαρτάνοντες· ὥστε οὐ κατ' ἐκεῖνο μόνον ἡ ἁμαρτία τὴν πάροδον ἔσχε διὰ τῆς ἐντολῆς, καθὸ τοῦ φυτοῦ μετειλήφαμεν, ἀλλὰ γὰρ καὶ ὅτι μὴ πάσαις ἕπεσθαι ταῖς ἐπιθυμίαις ἁπλῶς ἐντεῦθεν μανθάνοντες ἡμαρτάνομεν, τὰ τῆς ἐπιθυμίας παρὰ τὸ δέον πληροῦν ἐπειγόμενοι· τοῦτο γὰρ λέγει τὸ κατηργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν, ἀντὶ τοῦ παντὸς ἁμαρτήματος ἀπό τινος ἐπιθυμίας τικτομένου· ἐντεῦθεν ἡ ἀρχὴ γέγονεν ἡμῖν, ἅτε δὴ τῆς διακρίσεως τὰς ἀφορμὰς δεξαμένης ἐντεῦθεν· οὕτω καὶ ἐν τοῖς ἀνωτέροις τὸ τὴν ἐπιθυμίαν οὐκ ἤδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν οὐκ ἐπιθυμήσεις, ἀντὶ τοῦ οὐκ ἂν ἤδειν ὡς οὐ δεῖ τί ποιεῖν τῶν

Digitized by Google

ἐν ἐπιθυμίᾳ κειμένων, εἰ μὴ νόμος ἦν ὁ τοῦτο διερίζων VII.
ἡμῖν· καὶ γὰρ τὸ ἐν ἐμοὶ ὅτε λέγει, τὸ κοινὸν λέγει τῶν
ἀνθρώπων, καὶ τοῖς τοῦ Ἀδὰμ εἰς ἀπόδειξιν κέχρηται τῶν
κοινῶν· ὅθεν ἐπὶ τοῦ οἰκείου κἀκεῖνο λέγει πρόσωπου, διὰ
πάντων δεῖξαι βουλόμενος, ὅτι ἀναγκαίως μὲν κατὰ τὸν
παρόντα βίον, νόμοις πολιτευόμεθα· ὑφ' ὧν ἡ ἔμφυτος ἀνα-
κινεῖται διάκρισις, παιδευομένων ὧν τε ἀπέχεσθαι καὶ ἃ
ποιεῖν προσήκει· ὥστε καὶ τὸ λογικὸν ἐν ἡμῖν ἐνεργὸν εἶναι·
χρεία δὲ τῆς μελλούσης ἡμῖν καταστάσεως, ἐν ᾗ γεγο-
νότες, τὰ φαινόμενα ἡμῖν καλὰ, ταῦτα καὶ ποιῆσαι δυνη-
σόμεθα ῥᾳδίως· ὅθεν τῆς οἰκείας ἐχόμενος ἀκολουθίας,
καὶ τοῦ δεικνύναι ὡς οὐδ' ἄν τις ἦν ἐν ἡμῖν διάκρισις τοῦ
τε καλοῦ καὶ τοῦ χείρονος, οὐδὲ ἁμαρτίας ἐπίγνωσις εἰ μὴ
νόμῳ ταῦτα διώριζο παρ' ἡμῖν, ἐλέγων δὲ δίκην τὸ προσ-
τυχὸν ποιεῖν ἅπαν ἐμέλλομεν, ἐπάγει· χωρὶς γὰρ νόμου
ἁμαρτία νεκρὰ· οὐδ' ἂν ἐνεργηθείη φησὶν ἁμάρτημα, μὴ νό-
μῳ διωρισμένου· διὰ τί; ὅτι οὐχ' ἡ πρᾶξις ἁμάρτημα ἁπλῶς,
ἀλλὰ τὸ εἰδότα ὧν ἀπέχεσθαι προσήκει, ποιεῖν τί παρὰ
τὰ ἐγνωσμένα καλῶς ἔχειν.

Πάλιν ἐπὶ τὸ παράδειγμα χωρεῖ εἰς τὴν τοῦ προκειμέ- v. 9.
νου πίστωσιν, καὶ φησὶν· ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ·
περὶ τοῦ Ἀδὰμ λέγων· ὡς ἂν ὅτε εὐθὺς ἐγένετο ἔξω νό-
μου τυγχάνοντος, πρὶν ἢ δέξασθαι παρὰ τοῦ Θεοῦ τῆς ἀπο-
χῆς τοῦ φυτοῦ τὸ ἐπίταγμα· δῆλον γὰρ ὡς ἐγένετο πρό-
τερον, εἶτα τὴν ἐντολὴν ἐδέξατο ὕστερον· ὅθεν ἐπάγει· ἐλ-
θούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν· ἐγὼ δὲ ἀπέ-
θανον· καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν, αὕτη εἰς θά-
νατον· ἐπειδὴ δὲ, φησὶν, ὁ Θεὸς τὸν περὶ τοῦ φυτοῦ δέδω-
κε νόμον, καὶ διάκρισις ἐγένετο δύο πραγμάτων· ἡ μὲν ἁμαρ-

Digitized by Google

VII. τίνα παρείσδυσιν ἔσχεν· ἐγὼ δέ με τἀναντία ποιήσας τῆς τῷ Θεῷ δεδογμένης θανάτῳ κατεκρίθην· γέγονέ τε ἡμῖν λοιπὸν θανάτου παρεκτικὸς ὁ παρὰ τοῦ Θεοῦ τεθεὶς νόμος, ἐπὶ τῷ ζῆσαι πεισθέντας αὐτῷ· ὁ γάρ τοι μακάριος Παῦλος, ἐλήλυθε μὲν εἰσὶ τούτους ἀπὸ τοῦ νόμου τοὺς λόγους, δεῖξαι βουλόμενος ὡς οὐ φαῦλον αὐτὸν ἡγεῖται· καινῶς δὲ λοιπὸν περὶ τῆς τοῦ νόμου φύσεως διαλέγεται, τὸ
v. 12. χρειῶδες αὐτοῦ καὶ ὠφέλιμον διδάσκων· ἔθεν καὶ τῆς πρὸς τὸν Ἀδὰμ μέμνηται ἐντολῆς, ἐπειδὴ ἀρχὴ νόμου τοῖς ἀνθρώποις ἐκεῖνος ἐγένετο· καὶ συμπλέκων ἀμφότερα, ἐπάγει· ὥστε ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή· ἵνα εἴπῃ, ὅτι ἀμφότερα τοίνυν ἄγαν ὠφέλιμα· καλῶς δὲ ἐπὶ τῆς ἐντολῆς πλείοσιν ἐχρήσατο τοῖς ἐπαίνοις, ἅτε δὴ καὶ τῆς δόσεως οὐκ ἐπ' ἀνάγκαίοις κατὰ τὸ πρέχειρον δοξάσης δεδόσθαι, καὶ θανάτου παρεκτικῆς ἅπασι γενομένης· ἐκάλεσε δὲ αὐτὴν ἁγίαν μὲν ὡς τὰς ἁφορμὰς παρέχουσαν τῆς τε τοῦ καλοῦ καὶ τοῦ κακοῦ διακρίσεως, καὶ τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος ἀφορίζουσαν· δικαίαν δὲ ὡς ἀναγκαίως μετὰ τὸ δεῖξαι τὸ καλὸν, ἐπάγουσαν τῷ παραβάτῃ τὴν τιμωρίαν· ἀλλὰ καὶ ἀγαθὴν, ὡς καλῶν παρεκτικὴν, τό τε παρέχειν τὴν διάγνωσιν, καὶ τὸ μείζονα πειθομένοις ὑπισχνεῖσθαι καλά.

v. 14. Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν.

Τὸ πνευματικὸς, ἀντὶ τοῦ ὠφελεῖν καὶ παιδεύειν ἃ δεῖ δυνάμενος τὴν ψυχήν· τὸ δὲ σαρκικὸς, ἀντὶ τοῦ θνητὸς, καὶ διὰ τοῦτο πολλὴν περὶ τὸ ἁμαρτάνειν ἔχων ῥοπήν· τοῦτο γὰρ λέγει τὸ πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν, ἐπειδήπερ ἡ πρᾶσις, δοῦλον πάντως ποιεῖ τὸν πεπραμένον ὑπὸ τὴν τῆς ὑπηρεσίας καθιζάμενον ἀνάγκην· ὡς ἂν οὕτω καὶ ἡμῶν διὰ

Digitized by Google

τῆς θνητότητος, εἰς τὴν τοῦ ἁμαρτάνειν ἑτοιμότητα κατα- VII.
ζάντων· βούλεται γὰρ εἰπεῖν ὅτι καλὸς μὲν ὁ νόμος· παι-
δεύει γὰρ τὴν ψυχὴν, τίνα μὲν ἀγαθὰν, τίνα δὲ ἀποστρέφεσθαι προσήκει, καὶ τὸ πάντων πρετιμᾶν τῶν θείων τὸ βούλημα· ὄφελος δὲ ἐμοὶ πρὸς τὸ ἀπηλλάχθαι τῆς ἁμαρτίας, ἐντεῦθεν οὐ γίνεται· θνητὸς γὰρ ὢν τὴν φύσιν, καὶ πολλὴν διὰ τοῦτο περὶ τὸ ἁμαρτάνειν τὴν εὐκολίαν δεξάμενος, ἀπηλλάχθαι τοῦ πταίειν οὐ δύναμαι, κἂν μυριάκις ἃ προσήκει διὰ τοῦ νόμου παιδευόμεν τὴν ψυχήν.

Καὶ τοῦτο μὲν νόμου φησὶ τὸ χρήσιμον δείκνυται, ἀφ' v. 18.
ὧν οὐδενὶ τῶν πραττομένων ἀρέσκομαι· ὁμολογῶ γὰρ ἄτοπα εἶναι κἂν μυριάκις αὐτὰ διαπράττωμαι, τὸ πεπαιδεῦσθαι τοῦτο ὑπὸ τοῦ νόμου· φαίνεται δὲ ἡ τῆς ἁμαρτίας ἰσχὺς οὕτω μου διὰ τὴν θνητότητα κρατοῦσα, ὡς καὶ ἄκοντα πολλάκις ἐπὶ τὴν τῶν ἀτόπων καταφέρεσθαι πρᾶξιν· καὶ τὸ αὐτὸ πάλιν· οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τοὐτέστιν ἐν τῇ σαρκί μου, τὸ ἀγαθόν· καὶ γὰρ ἐπίσαμαι, φησὶν, ὅτι ὅσον ἐπὶ τῇ σαρκὶ, θνητὴν ἐχούσῃ τὴν φύσιν, οὐδὲν τῶν εἰς ἀρετὴν συντελούντων ωραχθῆναι δύναται· ἡ μὲν γὰρ θνητότης τῶν παρόντων ἐφίεσθαι μόνον ἡμῶν παρασκευάζει· ἐκ δὲ τῆς περὶ ταῦτα σπουδῆς, ἁμαρτήματα τίκτεται μᾶλλον· κατορθῶσαι δὲ ἀρετὴν εἰς ἄκρον οὐδαμῶς οἷόν τε μὴ τῶν ωαρόντων ὑπερορῶντα, κρείττονι λογισμῷ ἀθανάτων ἐφιέμενον πραγμάτων.

Ἐπιμένων τοῖς αὐτοῖς, οὐ γὰρ ὃ θέλω φησὶ ποιῶ ἀγα- v. 19.
θὸν, ἀλλ' ὃ οὐ θέλω κακὸν, τοῦτο πράσσω· εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία· τὸ γὰρ αὐτὸ κἀνταῦθα λέγει ὅτι τῇ μὲν ψυχῇ αἱροῦμαι τὸ καλὸν, ὑπὸ τοῦ νόμου παιδευόμε-

Digitized by Google

VII. νος ἃ δεῖ· πειῶ δὲ οὐχ ἃ βούλομαι πολλάκις, ἀλλὰ ἃ μὴ βούλομαι μᾶλλον· βούλομαι μὲν γὰρ τὰ τοῖς θείοις νόμοις ἀκόλουθα· πράττω δὲ τἀναντία, ὧν ἐπίσαμαί τε καὶ βούλομαι καλῶν· ὡς ἐντεῦθεν τῆς ἁμαρτίας φαίνεσθαι τὴν ἰσχὺν, ἣν κατ' ἐμοῦ διὰ τῆς θνητότητος ἐπεκτήσατο, εἴπερ δὴ καὶ παρὰ γνώμην ἐπὶ τὴν οἰκείαν με καθέλκειν δύναται πρᾶξιν· τὸ γὰρ οὐκ ἐγὼ κατεργάζομαι ἀνωτέρω, κἀνταῦθα λέγει τὸ παρὰ γνώμην· διὰ πάντων δὲ τούτων, ἀπὸ τοῦ εἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστι, βούλεται εἰπεῖν, ὅτι καλὸς μὲν ὁ νόμος παιδεύων ἃ δεῖ τὴν ψυχὴν, καὶ τούτου γε ἕνεκεν σφόδρα χρήσιμος, ἐγὼ δὲ διὰ τῆς θνητότητος πολλὴν περὶ τὸ ἁμαρτάνειν τὴν εὐβουλίαν δεξάμενος, ἀπηλλάχθαι τοῦ πταίειν διὰ τῆς τοῦ λόγου διδασκαλίας οὐ δύναμαι· πολλὴν μὲν γὰρ ἔχει τὴν ἰσχὺν ὁ νόμος ἐν τῇ τῆς ψυχῆς διδασκαλίᾳ· καὶ τοῦτο δῆλον ἐξ ὧν ἀκριβὴς ἔγκειται ἡμῖν ἥ τε τοῦ καλοῦ καὶ τοῦ κακοῦ διάκρισις· οὐδὲ πώποτε γοῦν ὑπὸ τοῦ πλήθους τῶν ἁμαρτημάτων, τὸ εἰδέναι τοῦτο ἀπεβάλομεν, τοὐναντίον δὲ καὶ μυρία πταίοντες· τοῦ γοῦν εἰδέναι τῆς ἁμαρτίας τὴν φαυλότητα ἐκτὸς οὐ γεγόναμεν· οὐ μὴν ἀφελεῖν ἡμῶν τὸ ἁμαρτάνειν δεδύνηται, τῆς θνητότητος πολλὴν τούτου τὴν εὐκολίαν ἡμῖν ἐργασαμένης· ἀλλὰ κἂν σφόδρα διὰ τῆς οἰκείας διδασκαλίας πολλὴν τοῦ προσήκοντος ἐνεργάσηται τὴν διάθεσιν, ἄκοντες καὶ ὡς οὐκ ἴσμεν πολλάκις εἰς τὴν τῶν ἀτόπων ὑποφερόμεθα πρᾶξιν.

v. 21. Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν καλὸν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται.

Κατὰ διαίρεσιν ἀναγνωστέον, εὑρίσκω ἄρα τὸν νόμον ἐμοὶ τῷ θέλοντι ποιεῖν τὸ καλὸν, εἶτα ἐξῆς ὅτι ἐμοὶ τὸ

Digitized by Google

κακὸν παράκειται· ἔκαζον γὰρ αὐτῶν ἰδίᾳ τελείαν καὶ ἀπηρ- VII.
τισμένην ἔχει τὴν ἔννοιαν, τὸ μὲν τῷ θέλοντι ἐμοὶ κατὰ
τὴν ψυχὴν λέγοντος, τὸ δὲ ὅτι ἐμοὶ τὸ κακὸν παράκειται
κατὰ τὴν σάρκα· λέγει γὰρ ὅτι κατὰ μὲν τὴν ψυχὴν, χρή-
σιμος ὁ νόμος, παιδεύων αὐτὴν ἐφίεσθαι τοῦ καλοῦ, ἀπο-
στρέφεσθαι δὲ τὸ κακὸν· τὴν περὶ τὸ ἁμαρτάνειν δὲ ἡμῶν
εὐκολίαν σὺδαμῶς δύναται ἀφελεῖν, ἤ τις ἀπὸ τῆς θνη-
τότητος ἐνεγένετο.

Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ θεοῦ. v. 22.

Σφόδρα μὲν γὰρ ἐπὶ τοῖς τοῦ θεοῦ νόμοις ἥδομαι φησὶ
τὴν ψυχὴν, ἐπαινῶν τε αὐτοὺς, καὶ περὶ πολλοῦ ποιούμε-
νος· ἀντιπράττουσα δὲ ἁμαρτία τῷ βουλήματι τῆς ψυχῆς,
διὰ πάντων ὡς εἰπεῖν τῶν μελῶν ἐπὶ τὴν ἑαυτῆς μεθέλ-
κει πρᾶξιν· καὶ καλῶς εἶπεν ἐν τοῖς μέλεσιν, ἐπειδὴ πο-
λύτροπος ἡ ἁμαρτία διὰ πάντων ἐπιτηδεύεσθαι φύσιν ἔχου-
σα τῶν μελῶν· τὰ μὲν γὰρ δι' ὀφθαλμῶν, τὰ δὲ διὰ γλώτ-
της, τὰ δὲ ἑτέρως ἁμαρτάνομεν· θαυμάσαι δὲ ἄξιον ἐν-
ταῦθα τοὺς διαπορήσαντας, πότερον τρεῖς ἢ τέσσαρας νό-
μους ὁ ἀπόστολος βούλεται λέγειν, θήλης οὔσης καὶ ἀπο-
λύτου τῆς διανοίας· ἀντὶ γὰρ τοῦ εἰπεῖν τὴν ἁμαρτίαν, νό-
μον εἶπεν ἁμαρτίας, οὐδὲν ἀλλοιότερον λέγων, κατά τι δὲ
αὐτὸ οἰκεῖον τεθεικὼς ἰδίωμα· οὕτω καὶ ἐν τοῖς ἀνωτέρω λέ-
γει, ὁ διὰ νόμου πίστεως· καὶ μετὰ βραχέα δὲ· ὁ γὰρ νό-
μος τοῦ πνεύματος τῆς ζωῆς, ἀντὶ τοῦ εἰπεῖν τὸ πνεῦμα
τῆς ζωῆς· ἐπειδὴ γὰρ σκοπὸς ἔχει νόμου παντὸς, ἰδίως ἐφ'
ἑκάστου τὸ τοῦ νόμου προσίθησιν ὄνομα· ἵνα εἴπῃ τὸν σκο-
πὸν τοῦ πράγματος, περὶ οὗπερ ἂν λέγῃ, αὐτὸ τὸ πρᾶγ-
μα καὶ οὐχ' ἕτερον λέγων.

Digitized by Google

VII. v. 25. Τῷ μὲν νοὶ δουλεύω νόμῳ Θεοῦ.

Τῇ μὲν γὰρ ψυχῇ, φησὶν, αἱροῦμαι τὰ θεσπίζοντα τῷ νόμῳ τοῦ Θεοῦ, ὑπὸ δὲ τῆς θνητότητος ἐπὶ τὴν ἁμαρτίαν καθέλκομαι· ἀλλ' ἀπηλλάγμεθα τούτων ἁπάντων, καὶ τιμωρίας ἁπάσης κατέσημεν ἐκτὸς, αἱ διὰ τῆς ἐπὶ τὸν Χριστὸν πίστεως, ἔξω γενόμενοι τῆς θνητότητος καὶ τοῦ κατ' αὐτὴν ζῆν· τοῖς γὰρ θνητοῖς, καὶ τὴν ἐπὶ τὸ χεῖρον ῥοπὴν δεχομένοις, ἀναγκαῖος ὁ νόμος, ἀπάργων τοῦ χείρονος· ἀθανάτοις δὲ καὶ ἀτρέπτοις γεγονόσι, περιττὸς ἐξ ἀνάγκης καθέστηκεν.

Cap. VIII. v. 2. Ὁ γὰρ νόμος τοῦ πνεύματος.

Τῇ τοῦ πνεύματος μετουσίᾳ τὴν ἀνάστασιν γίνεσθαι ὁ ἀπόστολός φησι· σπείρεται γὰρ φησὶ σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικὸν, ὡς ἂν αὐτοῦ τότε κρατοῦντος ἡμᾶς ἐν ἀφθαρσίᾳ τε καὶ ἀτρεπτότητι· πνεῦμα οὖν αὐτὸ ζωῆς καλεῖ, ὡς ἂν τῆς ἀθανάτου ζωῆς παρεκτικὸν ἧς τότε τευξόμεθα· τὸ τοίνυν πνεῦμα, φησὶ, τὸ ἐπ' ἐλπίδι τῆς ἀθανασίας ἡμῖν δεδομένον, οὗ τὴν ἀπόλαυσιν ἡ ἐπὶ τὸν Χριστὸν πίστις παρέσχηκεν ἡμῖν, ἀπήλλαξέ με τοῦ τε θανάτου καὶ τῆς ἁμαρτίας· δῆλον δὲ ὅτι ἀπὸ τῶν μελλόντων ἐστὶ τὴν ἀπόδειξιν τῶν διὰ Χριστοῦ παρασχεθέντων ἡμῖν, ὅτε ἐπὶ τῶν πραγμάτων τὴν ἔκβασιν λήψεται· ἐπεὶ καὶ ἡ τοῦ θανάτου ἐλευθερία τότε ἡμῖν προσγενήσεται, οὐκ ἀνισαμένοις μόνον, ἀλλὰ γὰρ καὶ ἀθανάτου ζωῆς ἀξιωμένοις· τότε δὲ καὶ τῆς ἁμαρτίας ἀπαλλαττόμεθα· τότε ἄτρεπτοι γεγονότες τῇ τοῦ πνεύματος χάριτι, ἁμαρτεῖν οὐκ ἐπιδεχόμεθα· κατὰ γάρ τι τὸν παρόντα βίον πρόθυμον ὡς θνητοί τε ἐσμὲν, καὶ ὑπὸ τὴν τῆς ἁμαρτίας ἐνόχλησιν κείμεθα.

Digitized by Google

Τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός. VIII. v. 3.

Ὁ μὲν οὖν νόμος, εἰ καὶ τὴν ψυχὴν ὠφελεῖ, φησὶν, ἀλλὰ τῇ κατορθώσει τῆς ἀρετῆς ἀτονῶν ἐφαίνετο, ἀντιπραττούσης αὐτῷ τῆς θνητότητος, καὶ πολλὴν τῆς ἁμαρτίας τὴν ἐνόχλησιν ἡμῖν ἐνεργαζομένης· ὁ δέ γε υἱὸς τοῦ Θεοῦ ἐν ταύτῃ γεγονὼς τῇ φύσει τῇ θνητῇ, καὶ ἁμαρτίαις ὑποκειμένῃ, οὐχ' ἑτέρου ἕνεκεν, ἀλλ' ἢ ὥστε ἀφελεῖν αὐτῆς τὴν ἁμαρτίαν, ἀνεῖλε τὸ ἐνεῖναι δοκοῦν αὐτῇ κῦρος τῆς ἁμαρτίας, ἀφελὼν μὲν αὐτῆς τὴν θνητότητα, συνανελὼν δὲ αὐτῇ καὶ τῆς ἁμαρτίας τὴν ἐνόχλησιν· ὡς λοιπὸν τοῦ νόμου τὸν σκοπὸν καὶ τὸ βούλημα ἐν ἡμῖν πληροῦσθαι τοῖς ἀπηλλαγμένοις μὲν τῆς θνητότητος, ἐν ἀθανασίᾳ δὲ καθεστῶσιν· ὃ γὰρ οὐκ ἴσχυσε ποιεῖν ἐν ἡμῖν ὁ νόμος ὅτε ἔτι θνητοὶ τὴν φύσιν ὦμεν, καί τα γε πλεῖστα περὶ τοῦ μὴ δεῖν ἁμαρτάνειν διαλεγόμενος, τοῦτο ἡμῖν ἐν τῇ τῆς θνητότητος ἀφαιρέσει προσεγένετο, οὐδὲ μίαν ἐνόχλησιν ἁμαρτίας δυναμένοις ὑπομένειν, ἐπειδὰν ἅπαξ τὴν φύσιν ἀθάνατοι γενώμεθα.

Ἀπεντεῦθεν λοιπὸν διὰ πλειόνων λέγει, ὅτι τοῖς μὲν θνητοῖς, τὸ ἁμαρτάνειν ἕπεται πάντως· ἀθάνατοι δὲ γεγονότες, ἀπηλλάγμεθα τούτου· ὥστε κατὰ παράθεσιν φανῆναι τὰ κατὰ Χριστὸν πλεῖστον ὑπερέχοντα τοῦ νόμου, εἴπερ ἐκεῖνος μὲν ἀφελεῖν τὸν θάνατον οὐκ ἠδύνατο, καὶ ἀνάγκη πᾶσα ἦν κρατεῖν ἐν ἡμῖν τὴν ἁμαρτίαν, κἂν μυριάκις ἐπαιδεύετο ἡ ψυχὴ τὸ δέον· ὁ δέ γε Χριστὸς τόν τε θάνατον ἀφεῖλε, καὶ τὴν ἐνοῦσαν ἡμῖν τῆς ἁμαρτίας ἐνόχλησιν συνανεῖλε τῷ θανάτῳ· ἤρξατο μὲν οὖν ἀπὸ τοῦ, δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν v. 4.

Digitized by Google

VIII. διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῶν διὰ τοῦ Χριστοῦ παρασχεθέντων ἡμῖν ἐξηγεῖσθαι τὸ μέγεθος σὺν πολλοῖς ἑτέροις, παραθέσει τῇ πρὸς τὸν νόμον δείξας αὐτῶν τὴν ὑπεροχήν· ἐπειδὴ δὲ εἰς τὴν τῶν ἀνακυπτόντων ζητημάτων ἐτράπη λύσιν, ἀπολογησάμενος ὑπὲρ αὐτῶν, ὡς ἐν τοῖς προκειμένοις δέδεικται ἡμῖν σαφέστερον· καὶ δὴ καὶ ὑπὲρ τοῦ ἁμαρτίας ποιητικὸν λέγειν τὸν νόμον, ἔδειξε μὲν αὐτοῦ τὸ χρήσιμον ἀναγκαίως· καὶ τοῦτο δὲ ἐν τοῖς ἀρτίως ἑρμηνευθεῖσι σαφέστερον δεδηλώκαμεν· πάλιν δὲ κατὰ παράθεσιν τοῦ νόμου λέγων τῶν διὰ τοῦ Χριστοῦ τὸ μέγεθος, ἐπὶ τὸν τῶν πρώτων ζητημάτων ἀνατρέχει λόγον, καὶ τὸ δεικνύναι ὡς μεγίστων ἡμῖν ἀγαθῶν ὁ Χριστὸς ἐγένετο πρόξενος· οὗπερ ἕνεκεν κἀνταῦθα βούλεται διὰ πολλῶν δεικνύναι, ὅτι τῇ μὲν θνητότητι τὸ ἁμαρτάνειν ἕπεται· ἀθάνατοι δὲ γεγονότες, ἀπηλλάγμεθα τούτου· διό φησιν, εἰ γὰρ κατὰ σάρκα ὄντες, τὰ τῆς σαρκὸς φρονοῦσι, καὶ τὰ ἑξῆς· τοῦτο λέγει ὅτι οἱ μὲν θνητοὶ τὴν φύσιν, ἀναγκαίως πλείστην τοῦ ἁμαρτάνειν τὴν ἐνόχλησιν ὑπομένουσι· τί γὰρ ἂν καὶ βουλεύσαιτο ἀθάνατον φύσις θνητή; εἰ δὲ καί τις ἐστὶν ἐν ἡμῖν ἀρετή, οὐ τῆς σαρκός ἐστιν αὕτη, ἀλλὰ τοῦ φρονήματος τῆς ψυχῆς, ἐπειδὰν ἀνωτέρα γένηται τῶν παρόντων· εἰ μέν τοι τοῦ πνεύματος ἤδη μετεσχηκότες, κρείττονα τούτων ἔχουσι τὸν λογισμόν, ἀθάνατοι γεγονότες τὴν φύσιν, καὶ πάσης τῆς ἀπὸ τῶν χειρόνων ἐνοχλήσεως ἀπηλλαγμένοι· τοῦτο γὰρ λέγει τὸ εἰρήνην· ἐπειδὴ ἐν τοῖς ἀνωτέρις παρὰ τοῖς τὴν φύσιν θνητοῖς πόλεμον εἶναι ἔφη, τῆς ἁμαρτίας ἀντιπραττούσης τῷ βουλήματι τῆς ψυχῆς· εἰρήνην ἐνταῦθα λέγων τὸ ἀφαιρῆσθαι τῆς ἁμαρτίας τὴν ἐνόχλησιν.

Digitized by Google

Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Χριστὸν Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν. VIII. v. 11.

Προειπὼν πνεῦμα Χριστοῦ, πάλιν φησὶ τὸ πνεῦμα τοῦ ἐγείραντος Χριστὸν οἰκεῖ ἐν ὑμῖν, ἐπαναγαγὼν ἀπὸ τοῦ Χριστοῦ ἐπὶ τὸν πατέρα· οὐδὲν ἕτερον, ἀλλ' ἢ σαφῶς διδάσκων, ὅτι ἐκ τοῦ υἱοῦ καὶ τὸ πνεῦμα (1) οὐκ ἀλλότριον τῆς πατρικῆς θεότητός ἐστι· καὶ εἷς μία ἡ ἐνέργεια, τούτοις πάντως καὶ ἡ οὐσία τῷ πατρὶ συναΐδιος· ἀκολούθως μέν τοι ἐνικήσαντος πνεύματος ἁγίου καὶ τῆς ἁμαρτίας νεκρωθείσης, ἕπεσθαι τοῖς ἀγωνιζομένοις τὰ ἔπαθλα φησὶν, ὧν πρῶτον καὶ μέγιστον ἦν ἡ ἐκ νεκρῶν ἀνάστασις.

Ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται, οὗτοι εἰσὶν υἱοὶ θεοῦ. v. 14.

Δῆλον οὖν ὅτι εἰ τοιοῦτοι τὴν μακαρίαν ζωὴν παρὰ τῷ ἑαυτῶν πατρὶ ζήσονται.

Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας. v. 15.

Τὸ πάλιν ὡς πρὸς τὸ δουλείας ἀπέδωκεν· ἀναγνωστέον οὖν οὕτως· οὐ γὰρ ἐλάβετε πνεῦμα· εἶτα διαζήσαντα ἐπαγαγεῖν χρὴ, δουλείας πάλιν εἰς φόβον· περὶ γὰρ τῶν ἐν νόμῳ λέγει καὶ ἐν τῇ πρὸς Γαλάτας, ὅτι μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα δούλους τοὺς ἐν νόμῳ, παραθέσει τῶν τοῦ μέλλοντος αἰῶνος καλῶν, ἐπειδὴ οὗτοι μὲν ὑπὸ προστάγματα ὄντες, ἢ παραβαίνοντες ἐτιμωροῦντο, ἢ φυλάττοντες ἐπαινοῦντο, ὅπερ οὖν τῶν δούλων ἴδιον εἶναι συμβέβηκεν· ἐκεῖνοι δὲ χάριτι τοῦ δεσπότου τῶν μελλόντων

(1) Animadverte testimonium satis, ut spero, evidens de processione Spiritus sancti etiam a Filio, praesertim si conferas aliud Nysseni a me editum Script. vet. T. VII. p. 6.

Digitized by Google

VIII. ἀγαθῶν κομιζόμενοι τὴν ἀπόλαυσιν, οὐδὲ μίαν ἔτι μεταβολὴν ὑφορῶνται, ἅπερ οὖν ὑπάρχει τοῖς τέκνοις ἐκ τῶν πατέρων ἔθος· ὥσπερ γὰρ ἐν τῇ πρὸς Τιμόθεον λέγει· οὐ γὰρ ἐλάβετε πνεῦμα δειλίας· οὐχ' ὡς ὄντος δειλίας πνεῦμα, ἀλλ' ἀντὶ τοῦ ταῦτα ἐμποιεῖν τὸ πνεῦμα φύσιν ἔχει· οὕτως ἐνταῦθα· οὐ γὰρ ἐλάβετε πνεῦμα δειλίας, πάλιν εἰς φόβον, ἀντὶ τοῦ πνεύματος μετεσχήκατε, οὐχ' ἵνα πάλιν ὑπὸ δουλείαν ἦτε καὶ φόβον κατὰ τοὺς ἐν νόμῳ· ταῦτα γὰρ ἐνεῖναι τοῖς παντελῶς τοῦ πνεύματος δεξαμένοις τὴν χάριν οὐχ' οἷόν τε· ἐλάβετε πνεῦμα υἱοὺς ἐργαζόμενον θεοῦ, ὅθεν καλεῖν πατέρα τὸν θεὸν προαγόμεθα· δῆλον γὰρ ὅτι κατὰ τὴν τοῦ κυρίου παράδοσιν, τὴν πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἐκάλουν πατέρα τὸν θεὸν οἱ τοῦ βαπτίσματος ἠξιωμένοι· καλῶς δὲ τὸ ἀββᾶ ὁ πατὴρ, ἐπειδὴ τῶν νηπίων ἴδιόν ἐστι τὸ ἀββᾶ καλεῖν τοὺς πατέρας· νήπιοι δὲ ἦτε κατὰ τὸν παρόντα βίον ἦσαν, οἱ διὰ τοῦ βαπτίσματος ἠξιωμένοι τῆς υἱότητος, τὴν τελείαν καὶ ἀληθῆ ἐπὶ τοῦ μέλλοντος προσδοκῶντες αἰῶνος· τὸ οὖν ἀββᾶ ὁ πατὴρ τίθεται, τὸ μὲν εἰς μίμησιν τῆς προσδεχομένης τελειότητος, τὸ δὲ σύμβολον τῆς παρούσης καταστάσεως, ἐν ᾗ νηπίων δίκην, οὐχ' ὁλοτελῆ τῆς μετουσίας τῶν ἀγαθῶν κομισάμενοι τὴν ἀπόλαυσιν περιέμενον, τὸ ποτὲ αὐτοῖς προσέσεσθαι κἀκεῖνα ταῖς νῦν ἐπαγγελίαις ἀκολούθως.

v. 16. Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν.

Αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι πνευματικῶς διάγομεν· διὸ καὶ ἐσμὲν τέκνα πνεῦμα θεοῦ· ἐὰν οὖν συμπάσχωμεν τῷ Χριστῷ, τουτέστιν ἐὰν τὰ αὐτὰ πάσχειν αἱρησώμεθα, ἅπερ ὁ Χριστὸς τὴν ἀληθειαν πρεσβεύων ἔπαθεν ἑκών, ἐὰν διωκόμενοι καρτερῶμεν,

Digitized by Google

καὶ ὅσα ὁμοια πάσχωμεν ὑπὲρ εὐσεβείας, συνδεξασθησό- VIII.
μεθα αὐ ᾧ ἐν τῷ γενέσθαι τέκνα θεοῦ καὶ συγκληρονόμοι
Χριστοῦ· τίς δὲ ἡ κληρονομία, προείρηται ὀπίσω, ἔνθα ὁ
λόγος ἦν περὶ τοῦ, εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκέ-
νωται ἡ πίστις.

Τὸ λογίζομαι ἀντὶ τοῦ λογισμῷ προσήκοντι πέπεισμαι v. 18.
τοῦτο οὕτως ἔχειν· ὡς τὸ, λογιζόμεθα οὖν πίστει δικαιοῦ-
σθαι ἄνθρωπον χωρὶς ἔργων νόμου.

Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως. v. 19.

Καραδοκεῖν λέγεται τὸ ἐλπίζειν, ἀποκαραδοκεῖν δὲ τὸ
ἀπελπίζειν· ὃ τοίνυν λέγει, τοιοῦτόν ἐστιν· ἓν σῶμα τὴν
σύμπασαν κτίσιν ἐποίησεν ὁ θεὸς, ὅθεν καὶ κόσμος λέ-
γεται πάντα, εἴτε ὁρατὰ, εἴτε ἀόρατα· ὡς ἐν τῇ πρὸς
Κορινθίους ἐπιστολῇ φησὶν, ὅτι θέατρον ἐγενήθημεν τῷ κό-
σμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις· ἐπειδὴ τοίνυν διαφορά τίς
ἐστιν ἐν αὐτοῖς, τὸ τὰ μὲν εἶναι ὁρατὰ, τὰ δὲ ἀόρατα,
βουλόμενος εἰς ἓν τὰ πάντα συνῆφθαι, πεποίηκε τὸν ἄν-
θρωπον, ἐξ ὁρατοῦ μὲν συγκείμενον τοῦ σώματος καὶ συγ-
γενοῦς τῇ φαινομένῃ κτίσει, ἐκ γῆς γὰρ σύγκειται καὶ ἀέ-
ρος καὶ ὕδατος καὶ πυρὸς, ἀοράτου δὲ τῆς ψυχῆς· καὶ δὴ
πεποίηκεν αὐτὸν ὥσπερ τι φιλίας ἐνέχυρον τοῖς πᾶσι· χρή-
σιμα μὲν γὰρ αὐτῷ τὰ φαινόμενα, ὡς αὐτῇ τῇ πείρᾳ μαν-
θάνομεν· ἐφεστᾶσι δὲ αὐτοῖς αἱ νοηταὶ φύσεις, πρὸς τὸ
ἡμῖν ὠφέλιμον αὐτὰ κινοῦσαι· καὶ τούτου μάρτυς ὁ ἀπόσο-
λος περὶ τῆς ἐναντίας λέγων δυνάμεως· κατὰ τὸν ἄρχον-
τα τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ πνεύματος, τοῦ νῦν ἐνερ-
γοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθίας· ὡς εἶναι δῆλον ἡμῖν,
ὅτι πρὸ τῆς παραβάσεως, εἰς τοὺς ἐφεστῶτας τῇ τοῦ ἀέ-
ρος κινήσει ὁ διάβολος συνετέλει· καὶ μὴν καὶ τοῖς πρὸς δι-

Digitized by Google

VIII. δασκαλίαν τῆς εὐσεβείας εἰς ἡμετέραν ὠφέλειαν ὑπηρετεῖσθαι σύνηθες αὐτοῖς· ὡς ὁ ἀπόστολός φησιν· οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; ἐντεῦθεν τίνυν αἱ ἀόρατοι φύσεις εἰς οἰκεῖα τίθενται τὰ καθ' ἡμᾶς εὐφραινόμεναι· εἰ δὴ ποτὲ πρὸς τὸ κρεῖττον ῥέπειν ἡμᾶς συμβαίνει, καὶ τοῦτο ἡμᾶς ὁ κύριος διδάσκει λέγων ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι καὶ ἀγγέλους χαίρειν ἐν οὐρανοῖς· δῆλον δὲ ὅτι καὶ λύπην αὐταῖς προξενεῖ τὰ καθ' ἡμᾶς ἐπὶ τὸ χεῖρον διακείμενα· οὐδὲ γὰρ ἂν εὐφραίνοντο ἡμῶν ἀφισταμένων τῆς τῶν ἀτόπων πράξεως, εἰ μὴ καὶ λύπην αὐταῖς ἐκίνει τὸ μένειν ἡμᾶς ἐπ' ἐκείνων· οὕτω δὴ γνώμης ἔχουσαι περὶ ἡμᾶς, ὡς ἅτε δὴ οἰκεῖον ζῶον καὶ συγγενὲς αὐταῖς, ἡνίκα γεγενῶς ὁ Ἀδὰμ ἐδέξατο τοῦ θεοῦ τὸ ἐπίταγμα, ὁμοῦ κἀκεῖνο ἀκούσας, ὡς παραβὰς ἀποθανεῖται, ἐσκόπουν ἤν τινα ἄρα τὰ κατ' αὐτὸν τὴν ἔκβασιν λήψεται· καὶ ἐπειδὴ παραβὰς θνητὸς ἐγένετο διὰ τῆς ἀποφάσεως, ἐχωρίζετό τε ὡς εἰκὸς ἡ ψυχὴ τοῦ σώματος, καὶ ὁ μηχανηθεὶς διὰ τοῦ ἀνθρώπου σύνδεσμος τῆς κτίσεως διελύετο, τούτῳ τῷ τρόπῳ ἐσκυθρώπαζον αἱ νοηταὶ φύσεις ἐπὶ τοῖς γιγνομένοις, περὶ ἡμᾶς τε οὐκ εἶχον οἰκείως, ὡς ἂν τοιούτων γεγενότων αἰτίους κακῶν· ὡς δὲ καὶ τοῦ χρόνου προϊόντος, οἱ καθ' ἑξῆς ἄνθρωποι μειζόνως ἐπὶ τὸ χεῖρον προβαίνοντες ἐπέσφιγγον ἑαυτοῖς τοῦ θανάτου τὴν ἀπόφασιν, πάντα μὲν τὰ καθ' ἡμᾶς ἀπεγίνωσκον, μεῖζον δὲ καθ' ἡμῶν ἀνεδέχοντο τὸ μῖσος· ὅθεν οὐδὲ πράττειν ὑπὲρ ἡμῶν ἐβούλοντό τε λοιπὸν, τοῦτο μὲν ὡς ἀλλοτρίους ἑαυτῶν ἀποστρεφόμεναι· τί οὖν ἐπὶ τούτοις ἐγένετο; ἔφησεν αὐτοῖς ὁ κύριος ὡς ποιήσει τὴν καθ' ἡμᾶς διόρθωσιν, ἀναστήσας

Digitized by Google

τε ἡμᾶς καὶ ἀθανάτους ἐργασάμενος, ὡς μηκέτι δεδεκιέ- VIII.
ναι μηδὲ μίαν πάλιν μεταβολὴν καὶ διάλυσιν τοῦ κοινοῦ συν-
δέσμου τῆς κτίσεως· ταύτην δεξάμενοι τὴν ὑπόσχεσιν ἡδέ-
ως μαθόντες ὡς ἡ θεία χάρις τῶν ἡμῖν ἐπταισμένων
πεισήσεται τὴν διόρθωσιν, καὶ φιλοτιμίᾳ πάντα ἡμῖν ἀπο-
δώσει, ὧν ἡμεῖς ἑαυτοὺς διὰ μοχθηρίαν ἀπεζερήσαμεν τρό-
που· καὶ μὲν ὁ καθόλου σύνδεσμος διάλυσιν οὐδὲ μίαν ἐπι-
δεχόμενος τοῦ λοιποῦ· μενεῖ δὲ ἄῤῥηκτος καὶ τῇ κτίσει πρὸς
ἑαυτὴν ἡ φιλία· ἐντεῦθεν καὶ πράττειν ἅπαντα ὑπὲρ ἡμῶν
οὐκ ὤκνουν, καί τοι γε ἐν τοῖς χείροσιν ἐξεταζομένων τῇ
τῶν μελλόντων ἐλπίδι διὰ τὴν τοῦ θεοῦ ἐπαγγελίαν κρα-
τύμενοι· τοῦτο οὖν λέγει, ὅτι ἡ κτίσις τό γε ἐφ' ἡμῖν πολ-
λάκις τὰ καθ' ἡμᾶς ἀπελπίσασα, ταύτην ἀπεκδέχεται τῶν
ἀῳάντων διόρθωσιν, τὴν προσδοκίαν τῶν μελλόντων· ὅτι
ἀναζησόμεθα πάντες εἰς τὸ εἶναι ἀθάνατοι· τὴν γὰρ ἀπο-
κάλυψιν τῶν υἱῶν τοῦ θεοῦ λέγει τὴν ἀνάστασιν, καθόλου
υἱοθεσίαν τὴν ἀθανασίαν καλῶν, ἐπειδὴ υἱῶν εἶναι νομίζει
θεοῦ τὸ ἀθανάτους εἶναι· ὅθεν καὶ ὁ Δαβὶδ λέγει· ἐγὼ εἶ-
πα, θεοὶ ἐστὲ καὶ υἱοὶ ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄν-
θρωποι ἀποθνήσκετε· ὡς ἂν οὐκ ἔχοντος λόγου τὸ ἀποθνή-
σκειν τοὺς υἱοὺς τοῦ θεοῦ χρηματίσαντας.

Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη. v. 20.

Ἀμέλει φησὶν, οὐδὲν ἔτι ποιεῖν ὑπὲρ ἡμῶν οἱ ἄγγελοι
ἀνεχόμενοι διὰ τὴν ἐπαγγελίαν ταύτην εἵλαντο πάντα ποιεῖν·
καί τοι γε περὶ τὰ μάταια ἡμῶν ἀσχολουμένων, τοῦτο κατὰ
τὴν τοῦ θεοῦ ἐπαγγελίαν ἀπεκδεχόμενοι, τὸ πάντα ἀπαλ-
λαγῆναι φθορᾶς, καὶ μεταβολῶν καὶ τροπῆς· ἐπειδὰν καὶ
ἡμεῖς ἀξιωθέντες τῆς ἀναστάσεως, ἀθάνατοι τῇ τοῦ θεοῦ
δυνάμει γενώμεθα.

Digitized by Google

VIII. v. 21. Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς.

Ἀπαλλάττονται γὰρ φησὶ, τότε καὶ αὐτοὶ τοῦ ὑπηρετεῖσθαι φθορίμαίοις πράγμασιν, ἐπειδὰν ἡμεῖς ἀθάνατοι γενώμεθα, καὶ τὰ πάντα ἀπαλλαγῇ τοῦ τρέπεσθαι· ἐπεὶ μηδὲ ἔστι τοῦ λοιποῦ τὸ συναναγκάζον αὐτοὺς πρὸς τὴν τούτων ὑπηρετεῖσθαι κίνησιν.

v. 22. Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν.

Καλῶς οὐκ εἶπεν στενάζει καὶ ὠδίνει, ἀλλὰ συστενάζει καὶ συνωδίνει, ἐπειδὴ καὶ τὸ πᾶσα ἡ κτίσις ἐνταῦθα προσέθηκεν, ἄνω ἡ κτίσις εἰρηκὼς μόνον· βούλεται δὲ εἰπεῖν ὅτι συμφώνως ἐπιδείκνυται τοῦτο πᾶσα ἡ κτίσις· ἵνα καὶ τὸ παρὰ πάσης τὸ αὐτὸ γίνεσθαι ὁμοίως, παιδεύσῃ τούτους τὴν πρὸς ἅπαντας κοινωνίαν αἱρεῖσθαι τῇ τῶν λυπηρῶν καρτερίᾳ· πῶς δὲ πᾶσαν ἔφη τοῦτο ὑπομένειν τὴν κτίσιν; τὰς μὲν ἀοράτους ὡς εἰκὸς, ἅτε δὴ λογικὰς καὶ τῶν γιγνομένων ἐχούσας τὴν αἴσθησιν· τὰς δὲ ὁρατὰς, τῇ κοινωνίᾳ τοῦ πράγματος.

Τῇ γαρ ἐλπίδι ἐσώθημεν.

v. 24. Οὐδέπω γάρ φησι τῆς ἀναστάσεως τετυχήκαμεν, ἀλλὰ δεξάμενοι τὴν ὑπόσχεσιν ταῖς ἐλπίσι ψυχαγωγούμεθα.

Σωτηρίαν καλεῖ τὴν παντελῆ τῶν κακῶν ἀπαλλαγὴν, ἣ τις αὐτοῖς ἐπὶ τοῦ μέλλοντος αἰῶνος προσγίνεσθαι ἔμελλε· ταῦτα τοίνυν φησὶ βεβαίως ἐλπίζειν, ὅτι πρόσεστι ἡμῖν ἐπὶ τοῦ παρόντος εἰλήφαμεν βίου.

Ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς.

Εἰ μὲν γὰρ ἀπελαύομεν ἤδη τῶν προσδοκωμένων φησὶν, ὑπ' ὄψιν ἔκειτο πάντως τὴν ἡμετέραν· περὶ δὲ τῶν φα-

Digitized by Google

νομένων ἐλπίζειν οὐδαμῶς ἐδεόμεθα· ἐπειδὴ δὲ ἐλαίζομεν VIII.
περὶ αὐτῶν ὡς οὐ φαινομένων, εἰκότως ἀνάγκη ἅπασαν τὴν
ἔκβασιν αὐτῶν περιμένοντας, ὑπομένειν ἅπαν ὅτι ἂν καὶ
παθεῖν ὑπὲρ ἐκείνων δέοι.

Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται. v. 26.

Σχηματισμός ἐστι κατὰ τὸ σύνηθες τῇ θείᾳ γραφῇ τὸ
εἰρημένον· ὡς ἑτέρου φαίνεσθαι τῷ προχείρῳ μᾶλλον, ἢ ὃ
βούλεται λέγειν· λέγει μὲν γὰρ ὅτι ἡμεῖς οὐδὲ προσδοκᾶν
ἐκεῖνα κατά γε τὴν τῆς φύσεως ἀκολουθίαν δυνάμεθα, ἀλλ'
ἡ τοῦ πνεύματος χάρις, ἧς τὴν ἀπαρχὴν ἐνταῦθα εἰλή-
φαμεν, ἀναμφιβόλως ἡμῖν ἐγγυᾶται τὴν μετουσίαν ἐκείνων·
ἐσχημάτισε δὲ οὕτως· ἃ προσδοκῶμεν, ταῦτα καὶ αἰτοῦ-
μεν παρὰ θεοῦ· ἃ δὲ μὴ δυνατὸν ἐλπίσαι λαβεῖν, ταῦτα
οὐδ' ἂν αἰτήσαι ποτὲ ἀνασχοίμεθα· τὸ οὖν μὴ δύνασθαι
προσδοκᾶν ἐκεῖνα, τὸ μὴ εἰδέναι καθ' ὃ δεῖ προσεύξασθαι
περὶ αὐτῶν ἐκάλεσεν, ἐπειδὴ ὡς ἔφην ταῦτα οὐδ' ἂν αἰτή-
σαιέν τε ἃ μηδενὶ λόγῳ δύναται προσδοκᾶν· τὸ δὲ τῇ τοῦ
πνεύματος δυνάμει πάντως αὐτοῖς αὐτὰ περιέσεσθαι ἐλπί-
ζειν τὸ πνεῦμα ἐντυγχάνειν ἔφη· ἐπειδὴ γὰρ ἀρχὴ πολλάσις
λαμβάνομεν ἐκεῖνα, ἃ μηδαμῶς ἑαυτοῖς πεμπεῖσαι δυνάμε-
θα, ἐνετίθη δὲ αὐτοῖς καὶ τὸ πιστεύειν περὶ τῶν μελλόν-
των, ἡ ἐπὶ τοῦ παρόντος βίου τοῦ πνεύματος δόσις, αὐτό
φησι τὸ πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν· ἵνα εἴπῃ ὅτι τοῦ-
το ἡμῖν ἐκείνων αἴτιον, ὃ ὥσπερ ἐν ἀῤῥαβῶνος τάξει κατὰ
τὸν παρόντα βίον ἡμῖν δοθὲν ἀναγκαίως καὶ περὶ τοῦ τε-
λείου πιστεύειν ποιεῖ· ὅθεν ἵνα μὴ νομίσῃς περὶ εὐχῆς λέ-
γειν αὐτὸν, ἀληθῶς ἐπήγαγε στεναγμοῖς ἀλαλήτοις, ἵνα
εἴπῃ· ὅτι ἀπορρήτῳ τρόπῳ ἐκεῖνα ἐφέλκεται· τὸ γὰρ ἐπὶ
ταῖς μελλούσαις ἐπαγγελίαις κατά γε τὸν παρόντα βίον δε-

Digitized by Google

VIII. δομένου ἡμῖν παρέχεται πάντως ἡμῖν ἐκεῖνα· καὶ τὸ στεναγμοῖς δὲ ἀκολούθως τῷ σχηματισμῷ ὡς ἐπὶ εὐχῆς ἔφη· ἐπειδή πως μετὰ στεναγμῶν εὐχόμενοι, ἀκούεσθαι νομίζονται μᾶλλον, ὡς ἂν συντονώτερον ποιούμενοι τὰς δεήσεις· οὕτω καὶ ἀνωτέρω περὶ τῆς κτίσεως ἔφη τὸ στενάζειν καὶ περὶ ἡμῶν ὅτι στενάζομεν στεναγμὸν ἀπανταχοῦ τὴν προσδοκίαν ἐκείνων καλέσας· ὥσπερ οὖν κἀνταῦθα ἔφη τὸ πνεῦμα μετὰ στεναγμῶν ἐντυγχάνειν, ὡς ἂν παρέχον ἡμῖν ἐκεῖνα, καὶ προσδοκᾶν ἃ τῶν παρασκευαζόντων τὴν ἔκβασιν.

v. 27. Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα
τοῦ πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει
ὑπὲρ ἁγίων.

Ἐνταῦθα βούλεται εἰπεῖν, ὅτι ταῦτα ἡμῖν παρασχεθήσεται ὑπὸ τοῦ πνεύματος γνώμῃ Θεοῦ, ὃς ἐπειδὴ ἠβουλήθη τὴν ἀπαρχὴν ἡμᾶς τοῦ πνεύματος ἐπὶ τοῦ παρόντος κομίσασθαι βίου, ἀναγκαίως παρέξει κἀκεῖνα, ὧν ἐπ' ἐλπίδι ταύτην ἐκομισάμεθα· ἐπεὶ δὲ ἐσχημάτισεν ὡς ἐπὶ εὐχῆς τὸ διὰ τῆς ἐνταῦθα ἀπαρχῆς τοῦ πνεύματος, ἀναγκαίως ἡμᾶς προσδοκᾶν καὶ τὰ μέλλοντα, ἀναγκαίως ἐπήγαγεν, ὅτι καὶ ὁ Θεὸς εἰδὼς τὸ βούλημα τοῦ πνεύματος, καὶ ὅτι κατὰ γνώμην αὐτοῦ τὰς αἰτήσεις ποιεῖται, ἐπινεύει τῇ προσευχῇ· καλῶς δὲ καὶ τὸ ὑπὲρ ἁγίων, ἵνα εἴπῃ τῶν πρὸς τοῦτο ἀφωρισμένων, καὶ μετεσχηκότων ἤδη τοῦ πνεύματος· ἐντυγχάνειν δὲ τὸ πνεῦμα τὸ χάρισμα, λέγει τὸ ἐπὶ τοῦ παρόντος ἡμῖν δεδομένον βίου, ὃ καὶ ἀπαρχὴν τοῦ πνεύματος, οὐ τῆς ὑποστάσεως αὐτῶν καλεῖ, ἀλλὰ τῆς τότε ἡμῖν εἰς παντελῆ μετουσίαν τῶν ἀγαθῶν προσδοκωμένης δοθήσεσθαι χάριτος· ὅτι μέν τοι σύνηθες τῇ θείᾳ γραφῇ σχηματίζειν τάδε ἀπὸ τῶν παρὰ τῷ μακαρίῳ Δαβὶδ συνεχῶς

Digitized by Google

τὰ τοιαῦτα λέγειν εἰωθότι, γνόφον ἔχοντα ὑπὸ τοὺς πό- VIII.
δας, καὶ ὅσα κατ' ἐκεῖνο τὸ μέρος φησὶν· οὐδὲ γὰρ τοῦ παρόντος ἅπαντα λέγειν ἐστὶ καιροῦ, ἐν τῷ εἰκοστῷ τρίτῳ πρός τε τὰς πύλας φωνὴν σχηματίζειν, ὡς ἂν ἀνοιχθῆναι ὀφειλούσας, καὶ παρ' αὐτῶν ἀπόκρισιν· τούτων γὰρ οὐδὲν μέν, ὡς εἴρηται, νοεῖσθαι δύναται, ἕτερα δέ τινα ἐστὶ τὰ ἀπ' αὐτῶν ἐμφαινόμενα· ἐγὼ μέν τι τέθεικα καὶ τοῦτο, ὥστε μηδένα καινόν τι νομίζειν λέγεσθαι παρ' ἡμῶν, τὸ κατὰ σχηματισμὸν εἰρῆσθαι τὸ ἀποστόλῳ τὰ προκείμενα.

Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα
συνεργεῖ εἰς ἀγαθὸν τοῖς κατὰ πρόθεσιν v. 28.
κλητοῖς οὖσιν.

Οὐ δεῖ θαυμάζειν, φησὶν, εἰ ταιαῦτα μὲν τότε προσδοκῶμεν ἡμῖν ἀγαθὰ περιέσεσθαι, ἐν ἀνηκέστοις δὲ ἄγαν κακοῖς κατὰ τὸ παρὸν εὑρισκόμεθα, πάνυ γε εἰδότας ὡς διὰ πάντων εὐεργετεῖν ἔθος τῷ Θεῷ τοὺς ἀγαπῶντας αὐτὸν, ἄφθονον αὐτοῖς τῶν ἀγαθῶν τὴν χορηγίαν παρεχόμενος· ὥστε καὶ ἀπὸ τῶν δοκούντων εἶναι λυπηρῶν, μείζονας αὐτοῖς τοὺς αἰωνίους προξενεῖσθαι μισθοὺς· καλῶς δὲ τοῦτο εἴδαμεν· ἐπειδὴ σφόδρα ὡμολογημένον ἔφη πρᾶγμα, παντὸς οὐ τινοσοῦν παύγε συνθησομένου ὅτι τοῖς ἀγαπῶσιν αὐτὸν ἀγαθῶν πρόξενος γίνεται Θεὸς, ὅπου γε καὶ πλημμελούντων ἀνέχεται ἡλίου τε ἀνατολὴν καὶ ὑετῶν χορηγίαν αὐτοῖς χαριζόμενος· εἶτα καὶ ἀποδείξεων ὅπερ ἔφην πιστούμενος τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσι· τούτων γὰρ ἤδει καὶ πάλαι ὁ Θεὸς τὴν περὶ αὐτῶν πρόθεσιν, οἵά τις ἔσται· ἔθεν αὐτοὺς καὶ ἐκάλεσεν ἐπὶ τῷ τῆς εἰκείας ἀξίωσε τιμῆσαι προαιρέσεως.

Digitized by Google

VIII. v. 37. Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.

Δεικνὺς ὅτι μηδὲ τὴν βαρύτητα δεδιέναι προσήκει τῶν ἐπαγομένων κακῶν, εἰκότως ἐπήγαγεν· ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς· παρ' αὐτοῦ γὰρ ἡμῖν καὶ τὸ δοκεῖν εἶναι βαρὺ τῶν θλίψεων ἐπαισυρίζεται, ἀνεπαίσθητον τῇ παρ' αὐτοῦ συνεργείᾳ τῶν λυπηρῶν ἐργαζομένου τὴν πεῖραν.

v. 38. Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωή.

Καλῶς τὸ πέπεισμαι εἶπεν, ὡς ἂν οὐκ ἔτι τῇ εἰκείᾳ δυνάμει, τῇ δὲ τοῦ Χριστοῦ συνεργείᾳ τὸ πᾶν ἐπιτρέψας· τὸ μὲν οὖν οὔτε θάνατος οὔτε ζωὴ, ἀντὶ τοῦ οὔτε τὰ λυπηρὰ οὔτε τὰ ἄγαν ἡδέα· τὸ δὲ οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, δῆλον μὲν ὅτι τὰς ἀσωμάτους λέγει φύσεις· ἐβουλήθη δὲ καὶ ἀπὸ τῆς ἐκείνων ἀξιοπιστίας δεῖξαι, ὅτι πάντα ἐλάττονα εἶναι τῆς εὐσεβείας νενόμικεν· τὸ μέν τοι οὔτε ὕψωμα οὔτε βάθος, τοῦτ' ἔστιν οὔτε τὰ ἄγαν ἄδοξα οὔτε μὴν τὰ ἄγαν ἐπίδοξα· θαυμασιώτερον δὲ, ἁπάντων γὰρ τῆς τῶν μελλόντων προσδοκίας ἕνεκεν ἅπαντα διαπραττομένων, ὥστε ἐκλῦναι μὲν τὴν ἐπαγομένην τότε τοῖς ἀσεβέσι παρὰ τοῦ Θεοῦ τιμωρίαν, ἀπολαῦσαι δὲ τῶν ἠτιμασμένων τοῖς ἀγαπῶσιν αὐτὸν ἀγαθῶν, αὐτὸς μὴ δὲ ὑπ' ἐκείνων λέγει τῆς εὐσεβείας ἐξίεσθαι εἰκότως, ὡς ἂν οὐ μισθῷ μετιὼν τὴν εὐσέβειαν, ἀλλὰ ἀγάπῃ τῇ περὶ τὸν Χριστὸν τοσούτων αἴτιον γεγονότα τοῖς ἀνθρώποις κακῶν, ἅπαντα καὶ ποιεῖν καὶ πάσχειν αἱρούμενος· τοιαύτη γὰρ ἡ τῆς ἀγάπης φύσις, οὐδαμοῦ τῶν καθ' ἑαυτὸν φροντίζειν τὸν ἀγαπῶντα ποιοῦσα, ἀλλὰ πάντα ποιεῖν καὶ ὑπομένειν παρασκευάζουσα, ἀφ' ὧν ἂν ὠφελεῖσθαί τι νομίζῃ τὸν ἀγαπώ-

Digitized by Google

μενον· πάντα μὲν οὖν μεγάλα τὰ προαρημένα καὶ πρέπον- VIII.
τα τῇ περὶ τὸν Χριστὸν ἀγάπῃ τοῦ μακαρίου Παύλου· ὑπὲρ
ἅπαντα δὲ τὸ οὔτέ τις κτίσις ἑτέρα τοῖς λοιποῖς ἐπηρμέ-
νον· ἐπειδὴ γὰρ ἅπαντα ἐπεξῆλθεν τὰ ὅπως ποτὲ ὄντα τε
καὶ φαινόμενα, προστεθεικὼς καὶ τὰς ἀοράτους δυνάμεις,
καὶ μὴν καὶ τὰ προσδοκώμενα ἔσεσθαι, τελευταῖον ἐπήγα-
γεν τὸ οὔτε τις κτίσις ἑτέρα, δεικνὺς ὅτι οὕτως ἅπαντα
ταῦτα εἶναι ἀντίῤῥοπα τῆς περὶ τὸν Χριστὸν ἀγάπης νενόμι-
κεν οὐδαμῶς, ὅτι κἂν εἰ ἕτερα σὺν τούτοις γένοιντο, τὸ μη-
δὲν εἶναι αὐτὰ πρὸς παράθεσιν ἥγεῖται τῆς ἀγάπης ἐκείνου.

Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Cap. IX.
ὑπὲρ τῶν ἀδελφῶν μου. v. 3.

Ὁρῶ πιστοῦται τὸν λόγον· ἐπειδὴ γὰρ εἶπεν ὅτι οὐκ
ἔστιν ὃ δύναται αὐτὸν χωρίσαι τῆς ἀγάπης τοῦ Χριστοῦ,
ἐπάγει ὅτι μόνον τῆς συγγενείας αὐτοῦ ἥττᾶται· περὶ πάν-
των δὲ τῶν ἐξ Ἰσραὴλ φησὶ· ἡδέως οὖν φησὶ καὶ σῶμα καὶ
ψυχὴν δίδωμι, ἵνα ὧν ἀπιστώσασι, ταῦτα πάλιν ἀνα-
καλέσωνται πιστεύσαντες εἰς Χριστόν· τί γὰρ τῶν καλῶν
οὐκ ἰουδαίων ἦν, ἐφ' οἷς νῦν τὰ ἔθνη σεμνύνεται ἡ δόξα;
ἡ διαθήκη, καὶ τὸ δὴ μέγιστον, ἐξ αὐτῶν καὶ ὁ Χριστὸς
τὸ κατὰ σάρκα, ὃς ἐστι θεὸς σὺ μόνον αὐτῶν ἀλλὰ κοι-
νῇ πάντων· ἵνα οὖν ταῦτα ἀνακτήσωνται, ἡδέως ἐγὼ ὑπὲρ
αὐτῶν ἀνάθεμα ἐγενόμην· τὸ δὲ ἀνάθεμα τὸν ἀλλότριον δη-
λοῖ· ἐπειδὴ τὸ ἀνατεθέν, τοῦ ἀνατεθέντος ἀλλότριον.

Ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα v. 10.
Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν.

Τί οὖν, φησὶν, εἴποιτε ἂν περὶ τοῦ κατὰ τὸν Ἡσαῦ καὶ
τὸν Ἰακὼβ; ὅπου καὶ πατὴρ εἷς καὶ μητὴρ μία καὶ σύλ-
ληψις ἡ αὐτὴ· τὸ γὰρ ἐξ ἑνὸς κοίτην ἔχουσα, τοῦτο λέγει,

Digitized by Google

IX. τὸ τὴν αὐτὴν ἐκ τοῦ αὐτοῦ μὴ κατὰ διαφόρους τεκεῖν συλλήψεις· καὶ οὕτω κατὰ πάντα καὶ προγόνων εἰκειότητι καὶ τακετῷ συνημμένων αὐτῶν, ὅμως ὁ Θεὸς πρὶν γεννηθῆναι αὐτοὺς καί τι ποιῆσαι καλὸν ἢ κακὸν, προλαβὼν οὐ μόνον διεῖλεν αὐτοὺς, ἀλλὰ καὶ ἀνέτρεψεν· εἰ δεῖ τἀληθὲς σκαπτεῖν τῆς φύσεως τὴν ἀκολουθίαν τὸν μείζονα δουλεύσειν ἀποφηνάμενος τῷ ἐλάττονι· εἰδὼς μὲν αὐτοὺς ὁποῖοί τινες ἔσονται, οὐκ ἀκαμεινας δὲ ἀπὸ τῶν οἰκείων διαγνωσθῆναι τρόπων, ἀλλὰ πόρρωθεν αὐτοὺς διελὼν, ὥστε διὰ πάντων φανερὰν γενέσθαι τῆς ἐκλογῆς τὴν χάριν, ἣ καὶ φύσεως καὶ πάντων ἐστὶν προτιμοτέρα· εὐκαιρότατα μὲν οὖν πρὸς τὰ παρόντα, καὶ τὸ μήπω γὰρ γεννηθέντων· οὕτω γὰρ διαψευσάσθαι φησὶ οὐχ οἷόν τε Θεὸν, ἕτερα μὲν ὑπισχνούμενον, ἕτερα δὲ ποιοῦντα· ὅτι καὶ πρὸ τῆς γεννήσεως τὸν ἑκάστου τρόπον εἰδὼς ἐκλέγεται οὓς ἂν ἀξίους εἶναι νομίσῃ· τίς ἂν οὖν γένοιτο ἐπὶ τοῦ τοιούτου διαμαρτία, ὥστε τοῦτο κατὰ τὸν τῶν ἰδεῶν νομίζειν λόγον; δεικνὺς δὲ ὅτι ἀκολούθησεν τῇ κατὰ χάριν ἐκλογῇ καὶ τὰ πράγματα, ἐπάγει, καθὼς γέγραπται, τὸν Ἰακὼβ ἠγάπησα τὸν δὲ Ἡσαῦ ἐμίσησα· διὰ πάντων μέν τοι σαφῶς ἀπέφηνεν ὅτι μὴ φύσεως ἀκολουθίᾳ δουλεύειν οἶδεν Θεὸς, χάριτι δὲ καὶ φιλοτιμίᾳ τούτους ἐκλέγεται, οὓς ἂν ἀξίους εἶναι τῆς ἐκλογῆς νομίσῃ, οἵ τινες τῆς παρ' αὐτοῦ πρότερον ἀξιωθέντες χάριτος, τότε τὰ παρ' ἑαυτῶν συνεισφέρειν δύνανται, ἀνάλογον τῇ χάριτι τὴν οἰκείαν ἐπιδεικνύντες προαίρεσιν.

v. 14. Τί οὖν ἐροῦμεν, φησὶ; μὴ ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο· ἀλλ' ἐμοὶ μὲν εἴρηται ταῦτα φησὶ βουλομένῳ δεῖξαι τὸν Θεὸν οὐκ ἀκολουθίᾳ φύσεως ἑπόμενον, χάριτι δὲ καὶ φιλοτιμίᾳ ἐκλεγόμενον οὓς ἂν ἀξίους εἶναι τῆς ἐκλογῆς νο-

Digitized by Google

μίζῃ τῆς ἑαυτοῦ· οἰέσθω δὲ μηδεὶς ἄδικον εἶναι λέγειν ἡμᾶς IX.
τοῦ Θεοῦ τὴν ἐκλογήν, εἰκῇ καὶ ἄνευ κρίσεως τοὺς μὲν ὠφε-
λεῖν τοὺς δὲ βλάπτειν ἐσπουδακότος· μὴ γὰρ γένοιτο τοῦτο
ποτὲ παρ' ἡμῶν φανῆναι λεγόμενον· εἶτα καὶ ἐξεργαστικώ-
τερον τῶν ἐναντίων τιθεὶς, τῷ γὰρ Μωϋσεῖ λέγει ἐλεήσω
ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω· καὶ μετὰ τὴν
μαρτυρίαν ἐπισυλλογίζεται ἐκ τοῦ ἐκείνων προσώπου· ἄρα
οὖν οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦν-
τος Θεοῦ· καὶ γραφικὴν ἑτέραν φωνὴν τεθεικώς· λέγει γὰρ
ἡ γραφὴ τῷ Φαραώ· ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως
ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ
ὄνομά μου ἐν πάσῃ τῇ γῇ· συλλογίζεται πάλιν· ἄρα οὖν
ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει· ταῦτα μὲν οὖν ἅπαν-
τα ὡς ἀπὸ τοῦ ἑτέρων ἔφη προσώπου· τὰς τε γραφικὰς μαρ-
τυρίας οὕτως εἰπών, ὡς ἂν ἐκείνων αὐτὰς εἰς σύγκλησιν τοῦ
οἰκείου λόγου προβαλλέσθαι εἰωθότων, καὶ τοὺς συλλογι-
σμοὺς ἀκολούθως ἀπὸ τοῦ ἐκείνων ἐπαγαγὼν προσώπου· δύο
δέ ἐστι τὰ ἐν τοῖς εἰρημένοις στρεφόμενα· εἰ θεὸς ἀγαθούς
τε εἶναι ποιεῖ καὶ κακοὺς τὴν γνώμην οὓς βούλεται, ἢ παρ'
ἡμῖν ἡ τῆς αἱρέσεως ταύτης ἐξουσία; καὶ πότερον αὐτὸς
κολάζει τε οὓς θέλει, καὶ πάλιν ἐνεργετεῖ κατὰ τὸ δοκοῦν
αὐτῷ, ἢ παρ' ἡμῖν τοῦ πείθεσθαι τούτων τε κἀκείνων ἐστὶν
ἡ αἰτία; ἔχεται δὲ τοῦ πρώτου τὸ δεύτερον· ὁμολογουμέ-
νου μὲν γὰρ τοῦ παρ' ἡμῖν εἶναι τὴν ἐξουσίαν τῆς τε τῶν
καλῶν καὶ τῶν χειρόνων αἱρέσεως, συναπελέγχετο καὶ τὸ
τὰ περὶ ἡμᾶς γινόμενα, ἀπὸ τῆς ἡμετέρας συμβαίνειν αἰ-
τίας· τῆς δέ γε τοῦ ποιεῖν ἐξουσίας ἅπερ ἂν βουλώμεθα ἐν
ἡμῖν οὐκ οὔσης, οὐδὲ τὰ περὶ ἡμᾶς γινόμενα ἐφαίνετο, ἀλλ'
ἢ κατὰ τὸ δοκοῦν τῷ ποιοῦντι θεῷ· κάλλιστα δὴ καὶ ὁ μα-

Digitized by Google

IX. κάριος Παῦλος διαιρεῖ μὲν τὴν ἀπόκρισιν· ὥσπερ δὲ ἐν τῷ πρώτῳ τοῦ παντὸς γρεφομένου, ἐκεῖνο πρότερον μετ' ἰσχυρᾶς τῆς ἀποδείξεως λύειν πειρᾶται, καὶ μετ' ἐκεῖνο ὡς ἂν ἀπόλουθον ἐπισυνάπτει τοῦ δευτέρου τὴν λύσιν· ἐπάγει δὴ πάλιν μετὰ τὰ προτεθέντα ἀπὸ τοῦ ἐκείνων προσώπου, ὅπερ ἀπόλουθον ἦν τοῖς εἰρημένοις, ἐρεῖς οὖν μοι τί ἔτι μέμφεται; τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν; ἀντὶ τοῦ θαρρήσας δὲ ταῖς γραφικαῖς μαρτυρίαις ὡς ἂν σύμφωνα οἷς λέγεις αὐτὸς διδασκούσαις ἡμᾶς, ἐρεῖς ὡς οὔτε μέμψεως οὔτε τιμωρίας ἄξιος εἴ τινος, γνώμῃ μὲν ἀκεία πράττων οὐδέν, ἀνάγκῃ δὲ εἴκων τοῖς δοκοῦσιν αὐτῷ, καὶ οὐδὲ αἱρεῖσθαι παρ' ἐκεῖνα δυνάμενος ἕτερα· καὶ συντόμως τοῦ εἰρημένου τὴν ἀτοπίαν ἐλέγχων· μενοῦν γε ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ θεῷ; θαυμασιώτατα ἀπὸ τῆς ἐκείνων ἀποκρίσεως τοῦ λεγομένου δεικνὺς τὸ εὔηθες· οὐ γὰρ ἐπιτιμῶν ὥς τινες ᾠήθησαν τοῦτο ἐπήγαγεν, ἐπείπερ σφόδρα ἀλλότριον τοῦ μακαρίου Παύλου τὸ πρόσωπον τῶν ἐναντίων τιθέντα, ἐπιτίμησιν ἐπάγειν πρὸ τῆς τοῦ ζητουμένου λύσεως· ἐχρῆν δὲ τοὺς τοῦτο οἰηθέντας, καὶ πρὸς ἐκεῖνο ἰδεῖν, ὅτι ἐπὶ λύσεως τὸ μενοῦνγε ἔθος κεχρῆσθαι τῷ ἀποστόλῳ ἀντὶ τοῦ καὶ μὴν τὸ μενοῦν γε λέγουσι· καὶ τοῦτο μετ' οὐ πολὺ τὶς εὑρήσει· προτείνας γὰρ ἑαυτῷ, ἀλλά γε λέγω μὴ οὐκ ἤκουσαν; ἐπάγει, μενοῦν γε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν· σαφῶς ἐπὶ λύσει τοῦ προτεθέντος τὴν ἐπαγωγὴν ποιησάμενος· οὕτω καὶ ταῦθα λύων τὸ μὴ ἐν αὐτοῖς εἶναι ποιεῖν ἅπερ ἂν βούλωνται, ἐπήγαγεν, μενοῦν γε ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ θεῷ; λέγεις, φησίν, ὡς οὐκ ἄξιος εἶ μέμψεως· οὐδὲ γὰρ ἐν σοὶ τὸ ποιεῖν ἃ βούλει· καὶ μὴν οὐχ ἑτέρωθεν τοῦ

Digitized by Google

λεγομένου συνερῶ τὴν εὐήθειαν, ἀλλ' ἀπὸ τῆς σῆς ἀπο- IX.
κρίσεως· εἰπέ γάρ μοι ὦ ἄνθρωπε ὅστις ποτ' ἂν εἶης ὁ τού-
τοις πρὸς θεὸν κεχρημένος τοῖς ῥήμασιν, τίνα εἶναι βού-
λεις τε καὶ κακοῦ διάγνωσιν ὡς φῆς εὐδεμίαν ἔχειν δυ-
άμενον; οὐδὲ ἐκλέγειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος εἰδότα,
ἀνάγκη δὲ ποιοῦντα τὸ δοκεῖν τῷ θεῷ, καὶ πρὸς τοῦτο βέ-
ποντα, καὶ τούτῳ ἡδόμενον, εἴτε καλὸν εἶναι εἴτε κακὸν αὐ-
τὸ συμβαίνει· καὶ πῶς οὐ τοῦτο ἐπὶ τὸν σαυτοῦ δεικνύεις ῥη-
μάτων; τοὐναντίον μὲν οὖν ἔοικας ἀφ' ὧν ἀντιφθέγγῃ τῷ
θεῷ ἀκριβῶς εἰδέναι τοῦ καλοῦ καὶ τοῦ χείρονος τὴν διά-
κρισιν· ὅπου γε καὶ λόγους περὶ ἑκατέρου τούτων ποιῇ, καὶ
τὴν αἰτίαν τῶν γιγνομένων ἐπὶ θεὸν ἀναφέρειν ἐσπούδακας,
ἑαυτὸν ἀπολύων τῆς ἐπὶ τοῖς πεφραγμένοις αἰτιάσεως· ἢ
οὐχὶ ταῦτα καὶ εἰδότος ἐστὶν τοῦ τε καλοῦ καὶ τοῦ χεί-
ρονος τὴν φύσιν, καὶ ἐκλέγειν ἑκάτερον αὐτῶν ἀπὸ τοῦ ἑτέ-
ρου δυναμένου σαφῶς; καιριώτατα μέν τι καὶ τὰς ῥήσεις
ἀντέκρουσεν εἰς μέζονα ἔμφασιν τοῦ λεγομένου τῆς ἀτοπίας·
εἰρηκὼς γὰρ ἐκ τοῦ τῶν ἐναντίων προσώπου, τῷ γὰρ βου-
λήματι αὐτοῦ τίς ἀνθέστηκεν, ἀντεπήγαγεν, σὺ τίς εἶ ὁ
ἀνταποκρινόμενος τῷ θεῷ; σαφῶς ἐναντίον ὂν τῷ εἰρημένῳ·
εἰ γὰρ ἀνταποκρίνεται, δῆλον ὅτι ἀνθέστηκεν· ὥστε τὸ μὴ
ἀνθεστάναι, ψεῦδος· ἔστι τοίνυν τοιουτότροπός τις ὡς ἐν
συντόμῳ τοῦ ζητουμένου ἡ λύσις, οὐδὲν πράττεις οἰκεία τῇ
γνώμῃ, ἅπαντα δὲ κατὰ τὸ δοκοῦν τῷ θεῷ· ἐπειδὴ ἀνθε-
στάναι τοῖς αὐτῷ δοκοῦσιν οὐδενὶ φῆς εἶναι δυνατόν· πῶς
οὖν ἀνταποκρίνῃ, δῆλον ὅτι καὶ ἀνθέστηκας; οὐκ ἄρα τοῖς
αὐτῷ δοκοῦσιν ἐπιμένων ἅπαντα πράττεις, ἀλλ' οἰκείᾳ τῇ
γνώμῃ, ὡς ἂν αὐτῷ σοι φαίνηται καλῶς ἔχειν αἱρούμενος,
εἶτα καὶ ἀπὸ τοῦ καθόλου· μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλά-

Digitized by Google

IX. σαντι, τί με ἐποίησας οὕτως; οὐδὲ γὰρ εἶόν τε τὸ γεγονὸς ὑπὸ τοῦ τὸν δημιουργὸν αἰτιάσασθαι ἐπὶ τῇ κατασκευῇ τῆς εἰκείας φύσεως· χαίρει γὰρ τῷ κατὰ φύσιν ἕκαστον ὅπως ἂν ἔχῃ· πῶς οὖν αἰτιάσεται ἐπὶ τούτῳ ὃ δὴ μάλιστα πάντων αὐτῷ καθ' ἡδονὴν εἶναι συμβέβηκεν; καὶ παραδείγματι τὸ εἰρημένον πιστούμενος, ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν; ἀπίδωμεν γὰρ εἰ δεκτὸν πρὸς τὴν τῶν κεραμέων ἐργασίαν, ὅπως ἐκ τοῦ αὐτοῦ πηλοῦ μετὰ πολλῆς τῆς ἐξουσίας ἕκαστον τῶν σκευῶν πρὸς ὅ τι ἂν βούλωνται ποιοῦσιν· καὶ οὐδὲν αὐτοῖς ἵσταται ἐμποδών, τὰ μὲν ἐπί τι χρήσιμον βουλομένοις ποιεῖν, τὰ δὲ ἐπὶ τὴν τῶν ἀτίμων χρῆσιν· τίς ἀκήκοεν ποτὲ, τῶν ἐπὶ τὰ ἀτιμότερα γεγονότων σκευῶν αἰτιασαμένων τῆς ἐργασίας τὸν κεραμέα, καὶ ὅτι μὴ μᾶλλον ἐπὶ τὸ κρεῖττον αὐτὰ κατεσκεύασεν; οὐ γὰρ ἔχει φύσιν τὸ πρᾶγμα· εἰ δὴ κατὰ τὸν αὐτὸν ἦσθα τρόπον, καὶ αὐτὸς ὑπὸ τοῦ Θεοῦ γεγονὼς, ὥστε ἀλογία τε καὶ ἀγνωσία τοῦ προσήκοντος φυσικῇ τινὶ τῇ κατασκευῇ πρὸς τὸ χεῖρον ἐκδεδόσθαι κατὰ τῶν σκευῶν καὶ τοῦ κεραμέως ὁμοιότητα, οὐτ' ἂν διάκρισις ἐνοῦσά τις ὀφθῇ σοι τοῦ τε καλοῦ καὶ τοῦ χείρονος· οὐτ' ἂν ἐσπούδασας ἐνεγκεῖν ἐπὶ τὸν Θεὸν τοῦ γεγονέναι τὴν αἰτίαν, σαυτὸν ἀπολύων τῆς μέμψεως, χαίρων δὲ διετέλεις τῷ κατὰ φύσιν πάντως· νυνὶ δὲ καὶ οἶδας ἀκριβῶς τὸ δέον, καὶ λόγους περὶ τούτου ποιῇ· καὶ ὅτι μέμψεως ἄξιον τὸ γεγονόμενον, κἂν ἁμαρτάνῃς, οὕτως ἐπίσασαι, ὥστε καὶ ἀπολύσεις σαυτὸν τῶν ἐγκλημάτων, καὶ μεταφέρεις ἐφ' ἕτερον τὴν αἰτίαν τοῦ πταίσματος, διὰ πάντων σαφέστατον γνώρισμα τῆς ἐνούσης σοι τοῦ λογικοῦ δυνάμεως παρεχόμενος,

Digitized by Google

καθ' ἣν καὶ διακρίνειν ἐπίστασαι τὸ καλὸν ἀπὸ τοῦ χείρο- IX.
νος, καὶ αἱρεῖσθαι μετὰ πολλῆς ὁ βούλει δύνῃ τῆς εὐμα-
ρείας· εἰ μὲν οὖν Θεός σοι πρὸς ὅπερ ἐβούλετο κατεσκεύα-
σεν τὴν φύσιν, χαίρειν ἦν σε ἀνάγκη καὶ τῷ κακῷ γεγο-
νότα πρὸς τοῦτο· εἰ δὲ λόγους ποιῇ περί τε καλοῦ καὶ κα-
κοῦ διακρίσεως, τὴν τῶν ἀτόπων ἐργασίαν σαφῶς αἰτιώμε-
νος, εὔδηλος εἶ πρὸς τοῦτο γεγονὼς ὑπὸ τοῦ Θεοῦ, οἰκείᾳ
δὲ γνώμῃ τὸ δοκοῦν αἱρούμενος· οὕτω τοὺς περὶ τοῦ αὐτε-
ξουσίου γυμνάσας λόγους, λέγει καὶ περὶ τῶν εἴτε τιμω-
ρίαις ὑποβαλλομένων, εἴτε καὶ ἐν κρείττοσιν ἐξεταζομένων
κατὰ γνώμην Θεοῦ.

Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργήν. v. 22.

Ὅτι μὴ κάλλους ἐπιμελεῖσθαι ἐσπούδακεν φράσεως, καὶ
ἐν τοῖς ἀνωτέροις εἰρήκαμεν, καὶ ὅτι πολλὰ μέν ἐστιν ἃ
κατ' ἔλλειψιν λέγει, μάλιστα μὲν τῇ ὑπερβολῇ τῆς συντο-
μίας, ἢ κατά τι οἰκεῖον ἰδίωμα κεχρῆσθαι ἔθος αὐτῷ ἀσά-
φειαν τοῖς ῥητοῖς ἐνεργάζεται· τοιοῦτο δή τι καὶ ἐπὶ τῆς
παρούσης ἔνεστι λέξεως εὑρεῖν τοῦ ἀποστόλου, εἰ δὲ, ἀντὶ
ὁλοτελοῦς τεθειικότος διανοίας· δείξας γὰρ αὐτοὺς τῶν προσ-
ηκόντων τὴν διάγνωσιν ἔχοντας, καὶ τὸ δοκοῦν δυναμένους
αἱρεῖσθαι, ἀντὶ τοῦ εἰπεῖν, εἰ δὲ τοῦτο πυνθάνει τίνος ἕνε-
κεν ὀλίγοι μὲν τῶν κακῶν οἱ δίκας διδόντες, τῶν λοιπῶν ἐν
εὐθηνίαις ἐξεταζομένων, ὀλίγοι δὲ τῶν ἀγαθῶν εὐδόκιμοι κα-
τὰ τόνδε γίνονται τὸν βίον, τὸ δὲ πλεῖστον αὐτῶν οὐδενὸς
ἀπολαύει κατά γε τὸ παρὸν ἀγαθοῦ, τὸ εἰ δὲ, τέθεικε
μόνον, ὡς ἂν ἐκ τῶν προειρημένων δήλου τοῖς ἐντυγχάνου-
σι τοῦ ζητήματος ὄντος, πειραττόν τι νομίζων αὐτοῦ τὴν
ἐπανάληψιν· εἶτα ἐπισυνάπτει τοῦ ζητήματος τὴν λύσιν,
θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργήν, καὶ τὰ ἑξῆς· ὁ δὲ

Digitized by Google

IX. λέγει, ταυτόν ἐστιν· τὸν παρόντα βίον ἀγώνων οὐκ ἀνταποδόσεως εἶναι πεποίηκεν ὁ Θεὸς, συγχωρῶν καὶ τοὺς φαύλους καὶ τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων ἔν τε ταῖς καλαῖς καὶ τοῖς χείροσιν ἐξετάζεσθαι ὁμοίως, ὥστε βάσανον ἀκριβῆ τῆς ἁπάντων γενέσθαι προαιρέσεως· καὶ τοὺς μὲν ἀγαθοὺς φανῆναι διαθέσει τὴν ἀρετὴν μετιόντας, ὅτ' ἂν ἐν ἑκατέραις τοῦ βίου ταῖς μεταβολαῖς τὰ ὅμοια ἐπιτηδεύοντες φαίνωνται, οὔτε ἐν εὐθηνίαις καυχώμενοι, οὔτε ἐν δυσπραγίαις δυσανασχετεῖν ἀναγκαζόμενοι· τοὺς δέ γε κακοὺς διὰ πάντων ἐραστὰς ἐλέγχεσθαι τῶν χειρόνων, ἔν τε τῇ ἀπολαύσει τῶν ἀγαθῶν ἀγνωμόνως περὶ τὸν αἴτιον διατιθεμένους, καὶ ἐν τῇ πείρᾳ τῶν λυπηρῶν ἐπιτείνοντας τοῦ τρόπου τὴν μοχθηρίαν· ἀποδίδωσι δὲ ἑκάστῳ τὸ κατ' ἀξίαν ἐπὶ τοῦ μέλλοντος αἰῶνος· ὥστε τεύνυν μὴ ἀπιστεῖσθαι τούτων τὴν ἔκβασιν, αἰνίγματα αὐτῶν ἐπὶ τοῦ παρόντος βίου διὰ τὴν ἁπάντων παρέχεται διόρθωσιν· καὶ τιμωρεῖται μὲν ἐνίους τῶν φαύλων εἰς σωφρονισμὸν τῶν ἐπιτηδεύειν τὰ ἄτοπα βουλομένων· εὐδαίμους δὲ ἐνίους ἐργάζεται τῶν καλῶν εἰς προτροπὴν τῶν ἐναρέτου βίου μετιέναι ἐσπουδακότων· θέλων οὖν, φησὶν, ὁ Θεὸς ἐνδεῖξαι τὴν ὀργὴν καὶ τὸ δυνατὸν, ἵνα εἴπῃ ὅπως ἅπαντας τιμωρεῖται τοὺς τὰ ἄτοπα διαπραττομένους, ἀνέχεται πολλάκις κακῶν, συγχωρῶν αὐτοὺς καὶ αὔξειν ἐπιδιδόναι κατὰ τόνδε τὸν βίον, ὥσπερ οὖν πεποίηκεν καὶ ἐπὶ τοῦ Φαραώ· εἶτα καταφανεῖς ἐπὶ τῇ ἑαυτῶν κακίᾳ παρὰ πᾶσι γεγονότας τιμωρεῖται δικαίως· σαφέστερον γνώρισμα παρεχόμενος ἅπασι τοῦ μὴ ἀτιμώρητα παίειν τοὺς ἁμαρτάνοντας· ταυτὸ δὴ τοῦτο καὶ ἐπὶ τῶν ἀγαθῶν διαπράττεται πάλιν, καὶ ἐξ ἀδόξων αὐτοὺς παρὰ πᾶσαν ἐλπίδα περιφανεῖς ἐργασάμενος· τοῦτο δὲ ἐπί τε τοῦ Μωϋ-

Digitized by Google

σέως καὶ ἑτέρων πολλῶν κατὰ διαφόρους πεποίηκε τοὺς καιρούς, τῆς ἐσομένης ἐπὶ τοῦ μέλλοντος αἰῶνος τοῖς ἐναρέτοις δόξης παρέχεται τὴν ἀπόδειξιν· συμπεράνας τὴν πρὸς τὰ ζητήματα ἀπόκρισιν ἐν τούτοις, ἀναλαμβάνει τοῦ λόγου τὴν ἀκολουθίαν· προὔκειτο μὲν γὰρ αὐτῷ δεῖξαι ὅτι Θεὸς οὐ πρὸς φύσιν βλέπει, χάριτι δὲ οἰκείᾳ τοὺς ἀξίους ἐκλέγεται, ἀποδοκιμάζων τοὺς ἀτόπους τῶν ἀνθρώπων· ἐπειδὴ δὲ ζητήματα ἀπὸ τῶν ῥηθέντων ἀνέκυψεν, λύσιν αὐτῶν ποησάμενος τὴν προστάσουσαν, ἐπὶ τὸ προκείμενον ἀνατρέχει· καὶ φησὶν, οὓς καὶ ἐκάλεσεν ἡμᾶς οὐ μόνον ἐξ ἰουδαίων ἀλλὰ καὶ ἐξ ἐθνῶν· τοῦτο λέγων ὅτι τὴν οἰκείαν καὶ νῦν χρηστότητα συνήθως ἐπιδεικνύμενος ὁ Θεὸς, ἐξελέξατο ἡμᾶς χάριτι τοὺς μὲν ἀπὸ ἰουδαίων, τοὺς δὲ ἀπὸ ἐθνῶν ἑκατέρωθεν οὓς ἀξίους ἡγήσατο, τούτους ἐπὶ τὴν εὐσέβειαν καλέσας, οὐ πρὸς φύσιν ἀποβλέψας οὐδὲ ταύτῃ διακρίνας ἡμᾶς ἀπὸ τῶν ἑτέρων, δοκιμασίᾳ δὲ τρόπου τοὺς μὲν ἀποβάλλων, τοὺς δὲ εἰσδεξάμενος. IX.

Ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει· καλέσω τὸν οὐ λαόν μου, λαόν μου. v. 25.

Οὐχ ὡς περὶ τῶν ἐθνῶν εἰρημένῃ προφητικῶς, οἵ τινες ἐσώθησαν, ὁ ἀπόστολος ἐπὶ τοῦ παρόντος ἐχρήσατο τῇ μαρτυρίᾳ τοῦ Ὡσηὲ· εἴρηται γὰρ περὶ ἰουδαίων σαφῶς, ἀλλ' ὡς δυναμένῃ δεικνύναι ὅτι φύσιν οὐκ αἰδεῖται Θεὸς, δοκιμασίαν δὲ τρόπου ποιεῖσθαι εἴωθεν, ὅπου γε καὶ ἰουδαίους ἀπεποιήσατό τε μοχθηροὺς ὄντας τὴν γνώμην, οὐχ ἑλόμενος τιμῆσαι διὰ τὴν φύσιν, καὶ εἰκειώσατο πάλιν αὐτοὺς μεταβαλομένους τὸν τρόπον· τοῦτο γὰρ ἐπὶ τῆς παρούσης δείκνυται μαρτυρίας, ὅθεν καὶ δι' ἑτέρας τὸ αὐτὸ πιστούμενος ἐπάγει, Ἡσαΐας δὲ κράζει καὶ τὰ ἑξῆς.

Digitized by Google

IX. v. 27. Καὶ δι' ἑτέρας μαρτυρίας τὸ αὐτὸ πιστοῦται· λέγει γὰρ ὁ προφήτης, ὅτι κἂν κατὰ τὴν ἄμμον τῆς θαλάσσης ὦσιν εἰ ἰσραηλῖται πλήθει, ὀλίγοι σωθήσονται ἀπ' αὐτῶν οἱ ἄξιοι τῶν κρειττόνων· καὶ τὴν γεγενημένην παρὰ τοὺς πατέρας ἐπαγγελίαν περὶ τῶν καταγόντων ἐκεῖθεν τὸ γένος συντεμῶν, εἰς ὀλίγους ἐν αὐτοῖς πληρώσει μετὰ τοῦ δικαίου τῶν ὑποσχέσεων τὴν ἀλήθειαν.

v. 30. Λέγει λοιπὸν τὴν αἰτίαν ἀφ' ἧς ἰουδαίων μὲν οἱ πλεῖστοι τῆς οἰκειότητος ἔξω τοῦ θεοῦ γεγόνασιν, ἑλλήνων δὲ οὐκ εὐαριθμήτοις παρὰ πᾶσαν ἐλπίδα ταύτης τυχεῖν ἐνεγένετο· καὶ γὰρ ἦν ἀκόλουθον τὸν εἰρηκότα τῶν μὲν τὴν ἀποβολήν, τῶν δὲ τὴν οἰκείωσιν προσθῆναι τὴν ἑκατέρου τούτων αἰτίαν· διὸ φησί· τί οὖν ἐροῦμεν ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην; καὶ τὰ ἑξῆς· τί τοίνυν εἴποιμεν ἂν φησιν, ὅτι ἑλλήνων μὲν οὐκ ὀλίγα τῆς δικαιώσεως ἔτυχον, προσεληλυθότες τῇ περὶ Χριστοῦ διδασκαλίᾳ, καί τοι γε οὐδέποτε εὐσεβείας ἐπιμεληθέντες· πῶς γάρ; οἵ γε τοῖς εἰδώλοις προσεῖχον· ἰουδαίων ἔξω ταύτης ἐγένοντο οἱ πλεῖστοι ἄνδρες, ἀεὶ τῷ νόμῳ προσέχειν ἐπ' ἐλπίδι τῆς δικαιώσεως ὑπισχνούμενοι· τὸ μὲν γὰρ, διώκων νόμον δικαιοσύνης, περὶ τοῦ μωσαϊκοῦ λέγει, βουλόμενος εἰπεῖν ὅτι μετήεσαν νόμον δικαιοσύνην ὑπισχνούμενον εἴ τις αὐτὸν φυλάττοι· τὸ δὲ εἰς νόμον δικαιοσύνης, τὸν κατὰ τὸ οἰκεῖον ἰδίωμα νόμον δικαιοσύνης τὴν δικαιοσύνην καλῶν, ὡς καὶ νόμον πίστεως τὴν πίστιν· τινὲς δὲ οὕτως διελόντες ἀνέγνωσαν· τί οὖν ἐροῦμεν κατὰ ἐρώτησιν, εἶτα κατὰ ἀπόκρισιν ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην καὶ τὰ ἑξῆς, σφόδρα ἀποσφαλέντες τοῦ προσήκοντος, καὶ συνιδεῖν τὴν ἀποστολικὴν οὐ δυνηθέντες διάνοιαν· συναπτέον γὰρ ἐπὶ τῆς ἀναγνώσεως κα-

Digitized by Google

τὰ τὴν προκειμένην ἡμῖν ἑρμηνείαν· τί οὖν ἐροῦμεν ὅτι ἔθνη IX.
τὰ μὴ διώκοντα δικαιοσύνην, καὶ τὰ ἑξῆς· τοῦτο τοῦ ἀπο-
στόλου λέγοντος, ὅτι τί εἴποιμεν ἂν περὶ τούτου καινοῦ τε
ὄντος ἄγαν καὶ παρὰ πᾶσαν συμβεβηκότος ἐλπίδα, τοῦ τυ-
χεῖν μὲν τοὺς οὐδένα λόγον ποιουμένους τοῦ πράγματος, μὴ
τυχεῖν δὲ τοὺς τὴν πᾶσαν σπουδὴν περὶ τοῦτο ἔχοντας;

Ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου.

Δικαιωθῆναι ἀπὸ τῶν ἔργων τοῦ νόμου, τῶν ἀδυνάτων· v. 32.
δεῖ γὰρ μηδέποτε ἁμαρτεῖν, ἔστιν δὲ ἄγαν ἀμήχανον ἐπ'
ἀνθρώπων κρινόμενον· ἡμαρτηκότα δὲ, ἀνάγκη ὑπὸ τὴν ἀπό-
φασιν γενέσθαι τοῦ νόμου· τεσσοῦτον ἀποδεῖ τοῦ δικαιώσεως
τῆς ἀπὸ τοῦ νόμου τυχεῖν, ὁ δὲ διὰ τῆς κατ' αὐτὸν πολι-
τείας ἀπολαῦσαι ταύτης ἐλπίζων, χάριτι δὲ ταύτην δεδώ-
ρηται ὁ Θεὸς τοῖς ἀνθρώποις, πᾶσαν ἡμῶν τὴν περὶ τοῦ
ἁμαρτάνειν ῥᾳθυμίαν ἀφελεῖν ὑποσχόμενος, ἐπειδ' ἂν ἀναστή-
σας ἀθανάτους ἐργάσηται· τούτων δὲ ἔνεστιν τὰς ἐπαγγε-
λίας λαβεῖν, διὰ τῆς ἐπὶ τὸν Χριστὸν κομίσασθαι πίστεως·
οὕτοι τοίνυν τῆς μὲν κατὰ χάριν ἐλπιζομένης ἡμῖν διὰ πί-
στεως προσέσεσθαι δικαίως οὐδένα ποιησάμενοι λόγον, ἀπὸ
δὲ τῶν ἔργων τοῦ νόμου δικαιωθῆναι ἐλπίσαντες, ὅπερ ἀδύ-
νατον, ἐκείνης τε οὐκ ἔτυχον, καὶ ταύτην οὐδαμῶς περι-
ποιῆσαι ἑαυτοῖς δεδύνηνται· προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ
προσκόμματος, ὅπερ θαυμασιώτατα ἐπήγαγεν· ὥστε δεῖξαι
ὅτι οὐ τὰ πρότερα αὐτῶν, ἀλλὰ τὰ νῦν αἰτιᾶται· ἔτρεχον
οὖν φησὶ πρὸ τούτου τῆς κατὰ νόμον δικαιοσύνης τὸν δρό-
μον, καὶ ἦν αὐτοῖς οὐδαμῶς μέμψιν τινὰ ἐπαγαγεῖν ὑπὲρ
τῶν προτέρων, ἀλλ' ὥσπερ λίθῳ τινὶ τῷ κυρίῳ διὰ τῆς ἀπι-
στίας προσκρούσαντες, καὶ βαρὺ τὸ κατάπτωμα ὑπομείναν-
τες, μάταιον ἅπαντα τὸν ἐν τοῖς προειλημμένοις ἀπέφηναν

Digitized by Google

IX. δρόμον· καὶ μαρτυρίαν ἐπάγει οὐ τοῖς εἰρημένοις μόνον κατάλληλον, ἀλλὰ καὶ πρὸς ἅπαν ὁμοῦ τὸ νόημα συμβαλλομένην, καθὼς γέγραπται· ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου, καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται· κατάλληλον μὲν γὰρ τὸ προσέκοψαν τῷ λίθῳ τοῦ προσκόμματος, τῷ ἰδοὺ τίθημι λίθον προσκόμματος· πρὸς ἅπαν δὲ αὐτῷ συνεβάλλετο ὡς ἔφην τὸ νόημα, τὸ πᾶς ὁ πιστεύων οὐ καταισχυνθήσεται, βουλομένῳ δεῖξαι μέγα τι τὴν πίστιν καὶ ἱκανὴν, τοὺς μὲν οἰκείους, τοὺς δὲ ἀλλοτρίους ἐργάσασθαι· εἴπερ δὴ καὶ παρὰ τοῖς προφήταις εἴρηται τὸ τὴν πίστιν ἱκανὴν εἶναι πάντα ὅν τινα οὖν τῶν παρὰ θεοῦ πληρῶσαι καλῶν· καὶ ἐπειδήπερ οὐ τὴν ἀποβολὴν ἔφη τῶν ἰουδαίων μόνον ἀλλὰ καὶ τῆς ἀποβολῆς τὴν αἰτίαν, πιστοῦται πάλιν τὸ μηδὲν ἀπεχθείᾳ λέγειν τῇ πρὸς αὐτοὺς, καὶ φησὶ τὸ ἑξῆς.

Cap. X. v. 2. Μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν.

Θαυμάσαι ἄξιον ὅσης πικρίας νόημα γέμον, συνετώτατα τῇ εἰρωνείᾳ κατεκάλυψεν, τῇ τοῦ μαρτυρῶ προσθήκῃ, τὸ βαρὺ κολάσας τοῦ ῥήματος· δοκεῖ μὲν γὰρ αὐτοῖς κατὰ τὸ πρόχειρον καί τι καὶ μαρτυρεῖν ἀγαθὸν· φαίνεται δὲ προσποίησιν μὲν εἶναι λέγων τοῦ θεοῦ τὸν ζῆλον, ἀγνωσίαν ἐπιμέμφεται, ἐπείπερ οὐδὲ ἐγκλημάτων ἄξιον τὸ τοιοῦτον· ἰουδαῖοι γὰρ ἐξὸν αὐτοῖς μετὰ τῶν λαιπῶν ἐπιγνῶναι τὸ θεῖον, ἑκουσίᾳ τῇ γνώμῃ τὴν μάθησιν αὐτοῦ παρελίμπανον· τοῦτο γοῦν φησὶν, ὅτι τὴν μὲν παρὰ τοῦ θεοῦ ἐπαγγελθεῖσαν ἡμῖν δικαίωσιν παρεῖδον· οἰηθέντες δὲ ἀπὸ τῶν οἰκείων ἔργων ἀκολούθως τῷ νόμῳ πολιτευόμενοι, τοῦτο ἑαυτοῦ περιποιῆσαι δύνασθαι, οὐδὲ μίαν ἔθεντο σπουδὴν τοῦ πιστεῦ-

Digitized by Google

σαι Χριστῷ, καὶ τὴν ἐκεῖθεν ἡμῖν κατὰ χάριν ἐπαγγελ- X.
θεῖσαν δικαίωσιν δέξασθαι.

Τί γὰρ δὴ καὶ φασὶν, ὅτι νόμῳ πολιτεύεσθαι ἐσπουδάκασιν, ἵνα ἡ δικαίωσις αὐτοῖς προσγένηται· ἀλλ' αὐτὸ τοῦτο μετὰ πάσης εὐμαρείας διὰ τῆς ἐπὶ τὸν Χριστὸν πίστεως κομίσασθαι ἔξεστιν, καὶ ὅπερ αὐτοῖς παρασχεῖν μὲν ὁ νόμος ἐσπούδακεν, οὐκ ἰσχύει δὲ διὰ τὸ ἡμῶν ἀσθενὲς· καὶ ὅτι μὴ ῥᾴδιον ἡμῖν ἅπαντα κατορθοῦν ὡς βούλεται, τοῦτο ἡμῖν ὁ Χριστὸς πεπιστευκόσιν ἐπ' αὐτὸν ὑπισχνεῖ παρέξειν οἰκείᾳ τῇ χάριτι πόνων ἐκτὸς, ὥστε ὁ νόμου πληροῦται σκοπὸς ἐν ἡμῖν.

Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; v. 14.

Τοῦ νόμου καὶ τῆς κατ' αὐτὸν ἀγωγῆς τὸ χρήσιμον, ἐν τούτοις βούλεται συστῆσαι τοῖς ῥητοῖς ἀπόστολος· καὶ ἐπειδὴ τὰ ἀνωτέρω αὐτῷ προκείμενα συνεπλήρωσεν εἰς τὸ πᾶς γὰρ ὃς ἐὰν ἐπικαλέσηται τὸ ὄνομα κυρίου σωθήσεται, ἐντεῦθεν τοῦ ἑξῆς λόγου τὴν ἀρχὴν ἐποιήσατο, τὸ πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν εἰρηκὼς· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· πρόσθεν ἡμῖν φησὶν ἐκ τῶν θείων γραφῶν, ὅτι παντὶ τῷ ἐπικαλουμένῳ ἡ σωτηρία προσγίνεται· ὡς μὴ δὲ τοὺς ἀπὸ ἐθνῶν κωλύεσθαι τοῦ τυχεῖν, εἰ δὴ βούλοιντο· ἀλλὰ πῶς ἂν αὐτὸν ἐπικαλέσοιντο, ζητεῖν ἄξιον· πιστεῦσαι προσήκει πρότερον, οὐ γὰρ οἷόν τε ἐπικαλεῖσθαι μὴ πιστεύοντα πρῶτον· ἡ δὲ πίστις, πόθεν ἂν γένοιτο; ἀπὸ ἀκοῆς καὶ μαθήσεως· ἀλλὰ μὴ ὄντος τοῦ διδάξοντος, μαθεῖν οὐχ οἷόν τε· καὶ τοὺς διδάξοντας δὲ οὐκ ἑτέρως φανῆναι δυνατὸν, ἀλλ' ἢ τῆς θείας χάριτος αὐτοὺς προβαλούσης, ἧς δὴ μόνης ἐστὶν εἰδέναι ὅπως ἐκλέγειν προσήκει τοὺς τοιούτους· οὐκοῦν πρὸ πάντων χρεία τούτων, εἰ πρὸς

X. διδαχὴν ἐκλεγέντες ἀσφαλήσονται τῆς οἰκουμένης κήρυκες· δι' ὧν δυνατὸν καὶ μαθεῖν τὴν εὐσέβειαν, καὶ πιστεῦσαι μαθόντας, καὶ πιστεύσαντας ἐπικαλεῖσθαι λαιτὸν, ἐλπίδι τοῦ τὴν ἐκ τῆς ἐπικλήσεως σωτηρίαν λαβεῖν· ὅλλὰ τούτους οὐχ ἑτέρωθεν ἐξελέξατο ἡ χάρις ἐπιτηδείους εἶναι νομίσασα, ἀλλ' ἢ ἀπὸ τῶν ὑπὸ τὸν νόμον καὶ τὴν τούτου γεγονότων παιδαγωγίαν, οἳ μακρῷ τῷ χρόνῳ ταῖς τῶν προφητῶν προαγορεύσεσιν τὸ περιμένειν τοῦ Χριστοῦ τὴν παρουσίαν ἐπὶ πολλῶν ἀγαθῶν αἰτία βεβαίως εἰλήφεισαν, ὡς μὴ δὲ τὸν τόσων ἄθλον εἶναι αὐτοῖς ὅθεν φανήσεσθαι ἔμελλεν, ὥστε τῆς ἐν νόμῳ παιδαγωγίας ἤρτηται ἡ διὰ Χριστοῦ τῶν ἀνθρώπων σωτηρία, τῷ τε ἐκεῖθεν φανῆναι παρ' οἷς καὶ ἠλπίζετο, καὶ τῷ τοὺς πρώτους πεπιστευκότας ἐκεῖθεν γενέσθαι, οἳ τῆς ἄνωθεν ἀξιωθέντες χάριτος ἱκανοὶ πρὸς τὴν ἁπάντων διδασκαλίαν εἶναι ἐκρίθησαν· οἰκοῦν εἰ ὁ Χριστὸς ἐκεῖθεν φησὶ καὶ οἱ ἀπάντων διδάσκαλοι οἱ ἀπόστολοι, μεγάλη τις ἡ κατὰ νόμον οἰκονομία τοῦ θεοῦ, πάντων ἐμπερειλημμένην αὐτῷ τὴν σωτηρίαν ἔχουσα· οὕτω γὰρ ὑπῆρξεν τοῖς ἀνθρώποις μαθεῖν τε ἃ προσῆκε, καὶ μαθοῦσι πιστεῦσαι, πιστεύσασί τε ἐπικαλεσαμένοις δὲ τὴν ἐκ τῆς ἐπικλήσεως σωτηρίαν λαβεῖν· καὶ ἐπειδὴ πάντα τῆς τῶν ἀποστόλων ἀπήρτησεν διδαχῆς, ὥσε δεῖξαι τοῦ νόμου τὸ χρήσιμον, εἴγε τοὺς ἁπάντων ἀνέδειξεν διδασκάλους ἀποστόλους, ἐπάγει καθὼς γέγραπται, ὡς ὡραῖοι οἱ πόδες, καὶ τὰ ἑξῆς· εἴρηται δὲ ταῦτα οὐ περὶ τῶν ἀποστόλων τῷ προφήτῃ, ἀλλὰ περὶ τῶν μελλόντων μηνύειν τὰ περὶ ἰουδαίους ἐσόμενα ἀγαθὰ· εἰ δὲ οἱ μηνυταὶ ἐκείνων φησὶ οὕτω νομίζονται θαύματος ἄξιοι, ἤ που γε ἀναγκαῖόν τι πρᾶγμα καὶ λυσιτελέσατον ἅπασι δεῖ νομίζειν τῶν ἀποστόλων τὴν διδαχήν.

Digitized by Google

X. v. 16.

Το ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ, κατὰ ἐρώτησιν ἀναγνωστέον, ἀντιθέσεως μέρει παρὰ τοῦ ἀποστόλου τεθὲν, ἀντὶ τοῦ ἀλλ' ἐρεῖς ὅτι μὴ πάντες ἐπίστευσαν· θαυμαστὸν οὐδὲν, πόρρωθεν γὰρ εἴρηται τῷ Ἡσαΐᾳ τῶν πειθομένων τὸ σπάνιον· οὕτω γοῦν ἐν ἀπόρῳ τίθεται τὸ πρᾶγμα ὡς λέγειν, τίς ἄρα ἔσται ὁ δεξόμενος ταῦτα; ἅπερ οὖν ἡμεῖς ὑπὸ τῆς θείας χάριτος μεμαθηκότες κηρύττομεν· οὐκοῦν οὐδὲ νῦν γεγένηταί τι καινὸν, καὶ λύσας τῇ μαρτυρίᾳ τὴν ἀντίθεσιν, ἀπ' αὐτῆς ἐπισυλλογίζεται τὰ πρὸ τῆς ἀντιθέσεως, τὸ πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν καὶ τὰ ἑξῆς· καὶ φησὶν· ἄρα ἡ πίστις ἐξ ἀκοῆς· ἡ δὲ ἀκοὴ, διὰ ῥήματος Θεοῦ· πρόδηλον δὲ ἡμῖν φησὶν ἀπὸ τῆς τοῦ προφήτου φωνῆς κἀκεῖνο ὅπερ ἐλέγομεν ὅτι πίστις μαθήσεως ἐκτὸς οὐκ ἄν ποτε γένοιτο, καὶ μάθησις εὐσεβείας οὐκ ἂν συνέστη, μὴ Θεοῦ τ' ἀληθὲς δεικνύντος· ὅπερ οὖν καὶ νῦν διὰ τῶν ὑπὸ τῷ νόμῳ παιδαγωγουμένων ἐγένετο, οὓς ἐν μακρῷ τῷ χρόνῳ διὰ τῶν προφητῶν ἀναμένειν ταῦτα παιδεύσας Θεὸς, ἐν καιρῷ τῷ προσήκοντι διδασκάλους τῆς ἀληθείας ἅπασιν ἀνθρώποις ἀνέδειξεν.

v. 18.

Τὸ μενοῦν γε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, πρόδηλον ὅτι μὴ ὡς προφητικῶς περὶ αὐτῶν εἰρημένον τίθεικεν, ἀλλ' ὡς ἁρμόττειν τῆς παροῦσιν δυναμένον πράγμασι· κἀκεῖνο δὲ ἰσέον ἐντεῦθεν, ὅτι τὸ μενοῦνγε ἐπὶ λύσει κέχρηται, ὡς μὴ εἶναι ἄδηλον ὅτι καὶ ὅτ' ἂν λέγῃ μενοῦνγε ὦ ἄνθρωπε σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ, λύων τὸ ζητούμενον οὐκ ἐπιτιμῶν, ὥς τινες οἴονται, λέγει.

v. 19.

Πάλιν ἑτέραν ἀντίθεσιν ἐπάγει, ἀλλὰ λέγω μὴ Ἰσραὴλ οὐκ ἔγνω; ἀντὶ τοῦ, ἀλλὰ μὴ τοῦτο ἐρεῖς ὅτι καινὸν αὐτοῖς τὸ πρᾶγμα νενόμισαι τὸ τοὺς ἐξ ἐθνῶν προσειλῆφθαι

Digitized by Google

X. εἰς τὴν εὐσέβειαν, καὶ διὰ τοῦτο ὡς ἐπὶ καινῷ ταραττόμενοι τὸ δόγμα διαμάχονται τὸ ἡμέτερον· καὶ μὴν εὐθὺς Μωϋσῆς ὁ τὸν νόμον αὐτοῖς δεδωκὼς, φαίνεται πόρρωθεν ἐκ τοῦ Θεοῦ διαμαρτυρόμενος· ὅτι δὴ τούτων πρὸς τὸ χεῖρον νευσάντων, καὶ αὐτὸς ἐκλέξεται τὰ ἔθνη πρὸ τούτων, κἀκείνους τῆς οἰκείας ἀξιώσει προνοίας, ὥσε αἴσθησιν αὐτοὺς ἀπὸ τῶν πραγμάτων πραγμάτων λαβεῖν.

Cap. XI. v. 1. Καὶ γὰρ ἐγὼ ἰσραηλίτης εἰμὶ, ἐκ σπέρματος Ἀβραὰμ, φυλῆς Βενιαμίν.

Ἐπειδὴ τοῦ τε νόμου τὸ χρήσιμον ἀπὸ τῶν πεπιστευκότων ἔδειξεν, καὶ τῇ πρὸς τὰς ἀντιρρήσεις ἀποκρίσει τὴν κατὰ τῶν ἠπιστηκότων κατηγορίαν ἐπέτειλεν, ὡς οὐδὲ μίαν τῇ ἑαυτῶν κακίᾳ διαβολὴν τῷ νόμῳ φερόντων, ἀπολογεῖται λοιπὸν καὶ περὶ τοῦ μηδὲν ἐπὶ διαβολῇ τῆς τοῦ Ἀβραὰμ συγγενείας εἰρηκέναι, διὰ τῆς κατὰ τῶν ἠπιστηκότων μέμψεως· ἆρα γάρ φησιν τοῦ μὲν νόμου τὴν οἰκονομίαν θαυμαστήν τινα εἶναι νενόμικα, τὴν συγγένειαν δὲ τοῦ Ἀβραὰμ ἐν τοῖς λόγοις ἀδόκιμον οὖσαν δείκνυμι; μὴ γένοιτο· τίς δὲ τοῦ μὴ ταῦτα λέγειν ἡ ἀπόδειξις; καὶ γὰρ ἐγώ φησι ἰσραηλίτης εἰμὶ καὶ τὰ ἑξῆς· εἶχεν μὲν εἰπεῖν πολλοὺς ἐκ τοῦ γένους πεπιστευκότας Χριστῷ, ἀλλὰ πρὸς τὸ λέγω οὖν τοῦτο ἦν οἰκειότερον τὸ καθ' ἑαυτὸν εἰπεῖν· πῶς γὰρ οἷόν τε ἦν ἐπὶ τῇ πίστει σεμνυνόμενον, καὶ περὶ ταύτης διδάσκειν ὑπισχνούμενον ἑτέρους; καλῶς δὲ οὐ τὸν προπάτορα μόνον εἶπεν, ἀλλὰ καὶ τὸν φύλαρχον, ὥσε δεῖξαι ὅτι οὐ πλάττεται τὴν οἰκειότητα.

v. 2. Ἢ οὐκ οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή;

Ἐπιλέλησθε φησὶ τῶν κατὰ τὸν Ἠλίαν, ὡς ἔοικεν, ὅπως ὁ μὲν ἠτιᾶτο τὸν Ἰσραὴλ τῆς εἰς τὸ χεῖρον ἐκτροπῆς,

Digitized by Google

ἐκνῶν ἀποξέλλεσθαι ἔτι πρὸς τοὺς οὕτως ἀγνώμονας· ἀπε- XI.
κρίνατο δὲ αὐτῷ ὁ Θεὸς ἑπτακισχιλίους ἔχειν, τοὺς ἔτι τῆς
αὐτοῦ γνώσεως ἐπιμελουμένους, καὶ μὴ πρὸς τὸ χεῖρον νεύ-
σαντας· διὰ τούτου προτρέπων αὐτὸν ἔχεσθαι τοῦ τῆς δι-
δασκαλίας ἔργου, ὡς ἂν οὐκ εἰς μάτην πονοῦντα τοῦ λοι-
ποῦ· καὶ ὅτι Θεὸς ἀρκεῖν ἡγήσατο, εἰ ἀπὸ παντὸς τοῦ δή-
μου τῶν ἰουδαίων ἑπτακισχίλιοι τῇ τῶν προφητῶν διδασκα-
λίᾳ ἐπὶ τῆς εὐσεβείας μένοιεν· ὥστε οὐδὲν ἀπεικὸς, πλείο-
νας εἶναι καὶ νῦν τοὺς οὐ βουλομένους τοῖς περὶ τῆς εὐ-
σεβείας λεγομένοις πείθεσθαι· οὐ μὴν ταῖς περὶ τὸ γένος
ἐπαγγελίαις τοῦ Θεοῦ διαβολήν τινα φέρει τὸ γιγνόμενον· τοῦ
μὲν γὰρ τὸ χρήσιμον ἐν τοῖς πιστεύουσι διαδείκνυται, ἡ δέ
γε τῶν λοιπῶν ἀπιστία ἔλεγχον ἔχει τῆς αὐτῶν κακίας, εἰ
μηδὲν ὄφελος ἀπὸ τῆς τοσαύτης κηδεμονίας ἐδέξαντο.

Τινὲς ὑπὸ πολλῆς τῆς ἀνοίας οὕτως ἀνέγνωσαν· τί οὖν v. 7.
ἐπιζητεῖ Ἰσραὴλ; συνάψαντες τούτῳ τὸ ὃ οὐκ ἐπέτυχεν,
ἔτι καὶ τὰς λέξεις τὰς ἀποστολικὰς ἀφανίσαντες, ἵνα τὴν
ἑαυτῶν ἱστάναι δόξωσιν ἄνεσιν, καὶ τὸ ὃ ὅπερ κεῖται πρὸ
τοῦ ἐπιζητεῖ Ἰσραὴλ ἀφελόντες, καὶ τεθεικότες τὸ τοῦτο
ὃ οὐκ ἐπέτυχεν, ὡς ἂν τοῦ ἀποστόλου λέγοντος, τί ποτε
οὖν ἆρά ἐστιν τὸ παρὰ τοῦ Ἰσραὴλ ἐπιζητούμενον; τοῦτο
δὴ ὅπερ οὐκ ἐπέτυχεν, γελοιότατά γε οἰηθέντες τὸν ἀπό-
στολον δεικνύναι σπουδάζειν τὸ παρὰ τοῦ Ἰσραὴλ ἐπιζη-
τούμενον, τί ποτε ἄρα ἐστὶν· καὶ οὐ συνεωρακότες, ὅτι ἀπὸ
τῶν προειρημένων κατὰ συλλογισμὸν αὐτὸ ἐπήγαγεν· ἀνα-
γνωστέον οὖν οὕτως· τί οὖν, ἀντὶ τοῦ τί τοίνυν τὸ ἐκ τῶν
προειρημένων ἡμῖν συναγόμενον, τῶν τε ἠπιστηκότων κατ-
ηγορήσαμεν, καὶ τοὺς πεπιστευκότας δικαιότατα τὴν τῶν
δογμάτων ἀλήθειαν προτετιμηκότας ἐδείξαμεν, ὃ ἐπιζητεῖ

Digitized by Google

XI. Ἰσραὴλ, τοῦτ' οὐκ ἐπέτυχεν· ὅτι τοῖς ἰσραηλίταις τυχεῖν οὐκ ἐγένετο τούτου, ὁ δὴ ζητεῖν ἔσκοπουν· ἵνα εἴπῃ τῆς δικαιοσύνης· ὅμοιον γὰρ ἐστι τῷ, Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασεν· λείπει δὲ τὸ πάντες, ἵνα ᾖ τούτου πάντες οὐκ ἐπέτυχον· ἐπάγει γὰρ, ἡ δὲ ἐκλογὴ ἐπέτυχεν· οἱ δὲ λοιποὶ ἐπωρώθησαν· ἵνα εἴπῃ ὅτι ἔτυχον μὲν τῆς δικαιώσεως οἱ τῆς ἐκλογῆς ἀπὸ τοῦ οἰκείου τρόπου νομισθέντες ἄξιοι, οἱ δὲ λοιποὶ πάντες ἀπεβλήθησαν διὰ τὴν ἑαυτῶν κακίαν.

v. 9. Καὶ Δαβὶδ λέγει, γενηθήτω ἡ τράπεζα αὐτῶν
εἰς παγίδα.

Οὐχ ὡς προφητικῶς εἰρημέναις ἐχρήσατο τοῖς φωναῖς, ἀλλ' ὡς ἁρμοττούσαις αὐτοῖς ἀπὸ τῶν πραγμάτων τῷ καὶ περὶ ἰουδαίων αὐτὰς εἰρῆσθαι· ὁμοῦ κἀκεῖνο δεικνὺς ὅτι μηδὲν καινὸν ἐγένετο νῦν, παρόμοια δὲ τοῖς τότε ὑπομεμενήκασιν, προτετιμηκότες τοῦ κρείττονος τὸ χεῖρον· ἐπειδὴ γὰρ ἀπὸ τῆς ἑαυτῶν ἀπιβολῆς ἐπειρῶντο τὸ χριστιανικὸν δόγμα διασύρειν ἰουδαῖοι, ἀναγκαίως διὰ πλειόνων ὁ ἀπόστολος δείκνυσι πάντοτε τοιούτους αὐτοὺς περὶ τὴν εὐσέβειαν γεγονέναι.

v. 11. Λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσι;

Ἀλλὰ μὴ τοῦτο φαμὲν ὅτι σφαλέντες περὶ τὴν εὐσέβειαν καὶ μὴ πιστεύσαντες τῷ Χριστῷ παντελῆ τὴν ἀποβολὴν ὑπέμειναν, ὡς μὴ δὲ μίαν αὐτοῖς ἐλπίδα σωτηρίας περιλειφθῆναι, κἂν εἰ βούλοιντό ποτε πρὸς τὸ κρεῖττον ἰδεῖν; μὴ γένοιτο· τοὐναντίον γὰρ μέμνηται εἰρηκὼς, ὅτι κἂν εἰς τοὺς πλείστους αὐτῶν διὰ τὴν ἀπιστίαν αὐτῶν ἀποβληθῆναι συνέβη, ἀλλ' οὖν γε οἱ πεπιστευκότες ἐξ αὐτῶν καί τοι γε ἄγαν ὄντες εὐαρίθμητοι, πᾶσι τοῖς ἐξ ἐθνῶν σω-

Digitized by Google

τηρίας ἐγένοντο πράξεναι· ἐπείπερ ἅπαντες οὗτοι τοῦ τῆς εὐ- XI.
σεβείας μαθημάτος τὰς ἀφορμὰς ἐκεῖθεν ἐδέξαντο· ὥςτε ἔξε-
στιν καὶ τοῖς νῦν ἀπιστοῦσι τῶν ἰουδαίων, τοὺς ἐξ αὐτῶν
πεπιστευκότας ἤδη μιμήσασθαι, ζήλῳ τε ἀγαθῷ τῆς πρὸς
τὸ κρεῖττον ἐπιθυμῆσαι ῥοπῆς· ὁ γὰρ ἐκείνους πεπιστευκό-
τας οὐκ εἰσδεξάμενος μόνον, ἀλλὰ καὶ διδασκάλους ἀπο-
φήνας τῆς οἰκουμένης, δῆλον ὡς οὐδὲ τούτους πιςεῦσαι βου-
ληθέντας εἰς αὐτὸν ἀδοκίμους ἡγήσεται· τὸ γὰρ εἰς τὸ πα-
ραζηλῶσαι αὐτοὺς οὐ τοὺς ἐξ ἐθνῶν ὥς τινες ᾠήθησαν λέ-
γει, ἀλλὰ τοὺς ἐξ αὐτῶν· εἰς ἀπόδειξιν αὐτὸ εἰρηκὼς τοῦ
ἐξεῖναι εἰσδεχθῆναι καὶ τούτους, εἰ δὴ πιστεῦσαι βούλοιν-
το· τὸ μέν τοι εἰς τὸ παραζηλῶσαι αὐτοὺς οὐκ ἐπὶ αἰ-
τίας λέγει, ἀλλὰ τὸ ἑπόμενον ἑαυτῷ συνήθως· ἀντὶ τοῦ
εἰ ἐκεῖνοι πιςεῦσαι βουληθέντες εἰσεδέχθησαν καὶ διδάσκα-
λοι τῶν ἐξ ἐθνῶν ἐγένοντο, πρόδηλον ὡς ἔξεστι καὶ τού-
τους κατὰ μίμησιν ἐκείνων τῆς εἰς τὴν πίστιν εἰσόδου τυ-
χεῖν· εἶτα καὶ ποδεωὴν αὐτῶν τὴν ἐπιστροφὴν ἐργαζόμε-
νος ἐπάγει καὶ φησίν· εἰ γὰρ ἐν ὀλίγοις φησὶ καὶ ἄγαν εὐα-
ριθμήτοις τοσαύτης ἐνεγένετο τοῖς κατὰ τὴν οἰκουμένην ἀν-
θρώποις τυχεῖν ἀφθονίας ἀγαθῶν, τί ποτε δεῖ ἄρα δεῖ νο-
μίζειν ἔσεσθαι, εἰ πάντας αὐτοὺς συμφώνως ὑποδέξασθαι
τὸν Χριστὸν συνέβη;

Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου, v. 15.
τίς ἡ πρόσληψις εἰ μὴ ζωὴ ἐκ νεκρῶν;

Τίνος ἕνεκεν τῇ πάντων διορθώσει τὴν ἀνάστασιν ἡγεῖ-
ται ὁ ἀπόστολος ἕψεσθαι πάντων; ἀναγκαῖον εἰπεῖν, τοῖς
μὲν ἀλόγοις φυσικῶς ἅπαντα πρόσεστιν, καὶ οἷά τε ἐστὶν
τὸ κακὸν ἀπὸ τοῦ καλοῦ διακρίνοντα, ἐξουσίᾳ γνώμης τὸ δο-
κοῦν ἑλέσθαι· ἀνάγκη δὲ πᾶσα τοῖς ὅρις ἐμμένειν τῆς φύ-

Digitized by Google

IX. v. 27. Καὶ δι' ἑτέρας μαρτυρίας τὸ αὐτὸ πιστοῦται· λέγει γὰρ ὁ προφήτης, ὅτι κἂν κατὰ τὴν ἄμμον τῆς θαλάσσης ὦσιν οἱ ἰσραηλῖται πλήθει, ὀλίγοι σωθήσονται ἀπ' αὐτῶν οἱ ἄξιοι τῶν κρειττόνων· καὶ τὴν γεγενημένην πρὸς τοὺς πατέρας ἐπαγγελίαν περὶ τῶν καταγόντων ἐκεῖθεν τὸ γένος συντεμὼν, εἰς ὀλίγους ἐν αὐτοῖς πληρώσει μετὰ τοῦ δικαίου τῶν ὑποσχέσεων τὴν ἀλήθειαν.

v. 30. Λέγει λοιπὸν τὴν αἰτίαν ἀφ' ἧς ἰουδαίων μὲν οἱ πλεῖστοι τῆς οἰκειότητος ἔξω τοῦ θεοῦ γεγόνασιν, ἑλλήνων δὲ οὐκ εὐαριθμήτοις παρὰ πᾶσαν ἐλπίδα ταύτης τυχεῖν ἐνεγένετο· καὶ γὰρ ἦν ἀκόλουθον τὸν εἰρηκότα τῶν μὲν τὴν ἀποβολὴν, τῶν δὲ τὴν οἰκείωσιν προσθῆναι τὴν ἑκατέρου τούτων αἰτίαν· διὸ φησὶ· τί οὖν ἐροῦμεν ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην; καὶ τὰ ἑξῆς· τί τοίνυν εἴποιμεν ἂν φησιν, ὅτι ἑλλήνων μὲν οὐκ ὀλίγα τῆς δικαιώσεως ἔτυχον, προσεληλυθότες τῇ περὶ Χριστοῦ διδασκαλίᾳ, καί τοι γε οὐδέποτε εὐσεβείας ἐπιμεληθέντες· πῶς γάρ; οἵ γε τοῖς εἰδώλοις προσεῖχον· ἰουδαίων ἔξω ταύτης ἐγένοντο οἱ πλεῖστοι ἄνδρες, ἀεὶ τῷ νόμῳ προσέχειν ἐπ' ἐλπίδι τῆς δικαιώσεως ὑπισχνούμενοι· τὸ μὲν γὰρ, διώκων νόμον δικαιοσύνης, περὶ τοῦ μωσαϊκοῦ λέγει, βουλόμενος εἰπεῖν ὅτι μετήεσαν νόμον δικαιοσύνην ὑπισχνούμενον εἴ τις αὐτὸν φυλάττοι· τὸ δὲ εἰς νόμον δικαιοσύνης, τὸν κατὰ τὸ οἰκεῖον ἰδίωμα νόμον δικαιοσύνης τὴν δικαιοσύνην καλῶν, ὡς καὶ νόμον πίστεως τὴν πίστιν· τινὲς δὲ οὕτως διελόντες ἀνέγνωσαν· τί οὖν ἐροῦμεν κατὰ ἐρώτησιν, εἶτα κατὰ ἀπόκρισιν ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην καὶ τὰ ἑξῆς, σφόδρα ἀποσφαλέντες τοῦ προσήκοντος, καὶ συνιδεῖν τὴν ἀποστολικὴν οὐ δυνηθέντες διάνοιαν· συναπτέον γὰρ ἐπὶ τῆς ἀναγνώσεως κα-

Digitized by Google

τὰ τὴν πρακειμένην ἡμῖν ἑρμηνείαν· τί οὖν ἐροῦμεν ὅτι ἔθνη IX.
τὰ μὴ διώκοντα δικαιοσύνην, καὶ τὰ ἑξῆς· τοῦτο τοῦ ἀπο-
στόλου λέγοντος, ὅτι τί εἴποιμεν ἂν περὶ τούτου καινοῦ τε
ὄντος ἄγαν καὶ παρὰ πᾶσαν συμβεβηκότος ἐλπίδα, τοῦ τυ-
χεῖν μὲν τοὺς οὐδένα λόγον ποιουμένους τοῦ πράγματος, μὴ
τυχεῖν δὲ τοὺς τὴν πᾶσαν σπουδὴν περὶ τοῦτο ἔχοντας;

Ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου.

Δικαιωθῆναι ἀπὸ τῶν ἔργων τοῦ νόμου, τῶν ἀδυνάτων· v. 32.
δεῖ γὰρ μηδέποτε ἁμαρτεῖν, ἔστιν δὲ ἄγαν ἀμήχανον ἐπ'
ἀνθρώπων κρινόμενον· ἡμαρτηκότα δὲ, ἀνάγκη ὑπὸ τὴν ἀπό-
φασιν γενέσθαι τοῦ νόμου· τεσοῦτον ἀποδεῖ τοῦ δικαιώσεως
τῆς ἀπὸ τοῦ νόμου τυχεῖν, ὁ δι' αὐτὸν πολι-
τείας ἀπολαῦσαι ταύτης ἐλπίζων, χάριτι δὲ ταύτην δεδώ-
ρηται ὁ θεὸς τοῖς ἀνθρώποις, πᾶσαν ἡμῶν τὴν περὶ τοῦ
ἁμαρτάνειν ῥοπὴν ἀφελεῖν ὑποσχόμενος, ἐπειδ' ἂν ἀναστή-
σας ἀθανάτους ἐργάσηται· τούτων δὲ ἔνεστιν τὰς ἐπαγγε-
λίας λαβεῖν, διὰ τῆς ἐπὶ τὸν Χριστὸν κομίσασθαι πίστεως·
οὕτοι τοίνυν τῆς μὲν κατὰ χάριν ἐλπιζομένης ἡμῖν διὰ πί-
στεως προσέσεσθαι δικαίως οὐδένα ποιησάμενοι λόγον, ἀπὸ
δὲ τῶν ἔργων τοῦ νόμου δικαιωθῆναι ἐλπίσαντες, ὅπερ ἀδύ-
νατον, ἐκείνης τε οὐκ ἔτυχον, καὶ ταύτην σὺδαμῶς περι-
ποιῆσαι ἑαυτοῖς δεδύνηνται· προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ
προσκόμματος, ὅπερ θαυμασιώτατα ἐπήγαγεν· ὥστε δεῖξαι
ὅτι οὐ τὰ πρότερα αὐτῶν, ἀλλὰ τὰ νῦν αἰτιᾶται· ἔτρεχον
οὖν φησὶ πρὸ τούτου τῆς κατὰ νόμον δικαιοσύνης τὸν δρό-
μον, καὶ ἦν αὐτοῖς οὐδαμῶς μέμψιν τινὰ ἐπαγαγεῖν ὑπὲρ
τῶν προτέρων, ἀλλ' ὥσπερ λίθῳ τινὶ τῷ κυρίῳ διὰ τῆς ἀπι-
στίας προσκρούσαντες, καὶ βαρὺ τὸ κατάπτωμα ὑπομείναν-
τες, μάταιον ἅπαντα τὸν ἐν τοῖς προειληφόσιν ἀπέφηναν

Digitized by Google

IX. δρόμον· καὶ μαρτυρίαν ἐπάγει οὐ τοῖς εἰρημένοις μόνον κατ-
ἀλλήλων, ἀλλὰ καὶ πρὸς ἅπαν ὁμοῦ τὸ νόημα συμβαλλο-
μένην, καθὼς γέγραπται· ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσ-
κόμματος καὶ πέτραν σκανδάλου, καὶ πᾶς ὁ πιστεύων ἐπ'
αὐτῷ οὐ καταισχυνθήσεται· κατάλληλον μὲν γὰρ τὸ προσέ-
κοψαν τῷ λίθῳ τοῦ προσκόμματος, τῷ ἰδοὺ τίθημι λίθον
προσκόμματος· πρὸς ἅπασαν δὲ αὐτῷ συνεβάλλετο ὡς ἔφην
τὸ νόημα, τὸ πᾶς ὁ πιστεύων οὐ καταισχυνθήσεται, βου-
λομένῳ δεῖξαι μέγα τι τὴν πίστιν καὶ ἱκανὸν, τοὺς μὲν οἰ-
κείους, τοὺς δὲ ἀλλοτρίους ἐργάσασθαι· εἴπερ δὴ καὶ παρὰ
τοῖς προφήταις εἴρηται τὸ τὴν πίστιν ἱκανὴν εἶναι πάντα
ὅν τινα οὖν τῶν παρὰ θεοῦ πληρῶσαι καλῶν· καὶ ἐπειδή-
περ οὐ τὴν ἀποβολὴν ἔφη τῶν ἰουδαίων μόνον ἀλλὰ καὶ τῆς
ἀποβολῆς τὴν αἰτίαν, πιστοῦται πάλιν τὸ μηδὲν ἀπεχθείᾳ
λέγειν τῇ πρὸς αὐτοὺς, καὶ φησὶ τὸ ἑξῆς.

Cap. X. v. 2. Μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον θεοῦ ἔχουσιν,
ἀλλ' οὐ κατ' ἐπίγνωσιν.

Θαυμάσαι ἄξιον ὅσης πικρίας νόημα γέμον, συνετώτατα
τῇ εἰρωνείᾳ κατεκάλυψεν, τῇ τοῦ μαρτυρῶ προσθήκῃ, τὸ
βαρὺ κολάσας τοῦ ῥήματος· δοκεῖ μὲν γὰρ αὐτοῖς κατὰ τὸ
πρόχειρον καί τι καὶ μαρτυρεῖν ἀγαθὸν· φαίνεται δὲ προσ-
ποίησιν μὲν εἶναι λέγων τοῦ θεοῦ τὸν ζῆλον, ἀγνωσίαν ἐπι-
μέμφεται, ἐπείπερ οὐδὲ ἐγκλημάτων ἄξιον τὸ τοιοῦτον· ἰου-
δαίοις γὰρ ἐξὸν αὐτοῖς μετὰ τῶν λαιπῶν ἐπιγνῶναι τὸ δέον,
ἐκουσίᾳ τῇ γνώμῃ τὴν μάθησιν αὐτοῦ παρελίμπανον· τοῦ-
το γοῦν φησὶν, ὅτι τὴν μὲν παρὰ τοῦ θεοῦ ἐπαγγελθεῖσαν
ἡμῖν δικαίωσιν παρεῖδον· οἰηθέντες δὲ ἀπὸ τῶν οἰκείων ἔρ-
γων ἀκολούθως τῷ νόμῳ πολιτευόμενοι, τοῦτο ἑαυτοῖς περι-
ποιῆσαι δύνασθαι, οὐδὲ μίαν ἔθεντο σπουδὴν τοῦ πιστεύ-

Digitized by Google

σαι Χριστῷ, καὶ τὴν ἐκεῖθεν ἡμῖν κατὰ χάριν ἐπαγγελ- X.
θεῖσαν δικαίωσιν δέξασθαι.

Τί γὰρ δὴ καὶ φασὶν, ὅτι νόμῳ πολιτεύεσθαι ἐσπουδάκασιν, ἵνα ἡ δικαίωσις αὐτοῖς προσγένηται· ἀλλ' αὐτὸ τοῦτο μετὰ πάσης εὐμαρείας διὰ τῆς ἐπὶ τὸν Χριστὸν πίστεως κομίσασθαι ἔξεστιν, καὶ ὅπερ αὐτοῖς παρασχεῖν μὲν ὁ νόμος ἐσπούδακεν, οὐκ ἰσχύει δὲ διὰ τὸ ἡμῶν ἀσθενές· καὶ ὅτι μὴ ῥᾴδιον ἡμῖν ἅπαντα κατορθοῦν ὡς βούλεται, τοῦτο ἡμῖν ὁ Χριστὸς πεπιστευκόσιν ἐπ' αὐτὸν ὑπισχνεῖ παρέξειν οἰκείᾳ τῇ χάριτι πόνων ἐκτὸς, ὥστε ὁ νόμου πληροῦται σκοπὸς ἐν ἡμῖν.

Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; v. 14.

Τοῦ νόμου καὶ τῆς κατ' αὐτὸν ἀγωγῆς τὸ χρήσιμον, ἐν τούτοις βούλεται συστῆσαι τοῖς ῥητοῖς ἀπόστολος· καὶ ἐπειδὴ τὰ ἀνωτέρω αὐτῷ προκείμενα συνεπλήρωσεν εἰς τὸ πᾶς γὰρ ὃς ἐὰν ἐπικαλέσηται τὸ ὄνομα κυρίου σωθήσεται, ἐντεῦθεν τοῦ ἑξῆς λόγου τὴν ἀρχὴν ἐποιήσατο, τὸ πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν εἰρηκώς· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· πρόδηλον ἡμῖν φησὶν ἐκ τῶν θείων γραφῶν, ὅτι παντὶ τῷ ἐπικαλουμένῳ ἡ σωτηρία προσγίνεται· ὡς μὴ δὲ τοὺς ἀπὸ ἐθνῶν κωλύεσθαι τοῦ τυχεῖν, εἰ δὴ βούλοιντο· ἀλλὰ πῶς ἂν αὐτὸν ἐπικαλέσοιντο, ζητεῖν ἄξιον· πιστεῦσαι προσήκει πρότερον, οὐ γὰρ οἷόν τε ἐπικαλεῖσθαι μὴ πιστεύσαντα πρῶτον· ἡ δὲ πίστις, πόθεν ἂν γένοιτο; ἀπὸ ἀκοῆς καὶ μαθήσεως· ἀλλὰ μὴ ὄντος τοῦ διδάξοντος, μαθεῖν οὐχ οἷόν τε· καὶ τοὺς διδάξοντας δὲ οὐχ ἑτέρως φανῆναι δυνατὸν, ἀλλ' ἢ τῆς θείας χάριτος αὐτοὺς προβαλούσης, ἧς δὴ μόνης ἐστὶν εἰδέναι ὅπως ἐκλέγειν προσήκει τοὺς τοιούτους· οὐκοῦν πρὸ πάντων χρεία τούτων, εἰ πρὸς

X. διδαχὴν ἐκλεγέντες ἀσφαλήσονται τῆς οἰκουμένης κήρυκες· δι' ὧν δυνατὸν καὶ μαθεῖν τὴν εὐσέβειαν, καὶ πιστεῦσαι μαθόντας, καὶ πιστεύσαντας ἐπικαλεῖσθαι λαιὸν, ἐλπίδι τοῦ τὴν ἐκ τῆς ἐπικλήσεως σωτηρίαν λαβεῖν· ὀλλὰ τούτους οὐχ ἑτέρωθεν ἐξελέξατο ἡ χάρις ἐπιτηδείους εἶναι νομίσασα, ἀλλ' ἢ ἀπὸ τῶν ὑπὸ τὸν νόμον καὶ τὴν τούτου γεγονότων παιδαγωγίαν, οἳ μακρῷ τῷ χρόνῳ ταῖς τῶν προφητῶν προαγορεύσεσιν τὸ περιμένειν τοῦ Χριστοῦ τὴν παρουσίαν ἐπὶ πολλῶν ἀγαθῶν αἰτία βεβαίως εἰλήφεσαν, ὡς μὴ δὲ τὸν τόσων ἄθλον εἶναι αὐτοῖς ὅθεν φανήσεσθαι ἔμελλεν, ὥστε τῆς ἐν νόμῳ παιδαγωγίας ἤρτηται ἡ διὰ Χριστοῦ τῶν ἀνθρώπων σωτηρία, τῷ τε ἐκεῖθεν φανῆναι παρ' οἷς καὶ ἠλπίζετο, καὶ τῷ τοὺς πρώτους πεπιστευκότας ἐκεῖθεν γενέσθαι, οἳ τῆς ἄνωθεν ἀξιωθέντες χάριτος ἱκανοὶ πρὸς τὴν ἁπάντων διδασκαλίαν εἶναι ἐκρίθησαν· οἷς οὖν εἰ ὁ Χριστὸς ἐκεῖθεν φησὶ καὶ οἱ ἁπάντων διδάσκαλοι οἱ ἀπόστολοι, μεγάλη τις ἡ κατὰ νόμον οἰκονομία τοῦ Θεοῦ, πάντων ἐμπερειλημμένην αὐτῷ τὴν σωτηρίαν ἔχουσα· οὕτω γὰρ ὑπῆρξεν τοῖς ἀνθρώποις μαθεῖν τε ἃ προσήκει, καὶ μαθοῦσι πιστεῦσαι, πιστεύσασί τε ἐπικαλεσαμένοις δὲ τὴν ἐκ τῆς ἐπικλήσεως σωτηρίαν λαβεῖν· καὶ ἐπειδὴ πάντα τῆς τῶν ἀποστόλων ἀπήρτησεν διδαχῆς, ὥσε δεῖξαι τοῦ νόμου τὸ χρήσιμον, εἴγε τοὺς ἁπάντων ἀνέδειξεν διδασκάλους ἀποστόλους, ἐπάγει καθὼς γέγραπται, ὡς ὡραῖοι οἱ πόδες, καὶ τὰ ἑξῆς· εἴρηται δὲ ταῦτα οὐ περὶ τῶν ἀποστόλων τῷ προφήτῃ, ἀλλὰ περὶ τῶν μελλόντων μηνύειν τὰ περὶ ἰουδαίους ἐσόμενα ἀγαθὰ· εἰ δὲ οἱ μηνυταὶ ἐκείνων φησὶ οὕτω νομίζονται θαύματος ἄξιοι, ἤ που γε ἀναγκαῖόν τι πρᾶγμα καὶ λυσιτελέστατον ἅπασι δεῖ νομίζειν τῶν ἀποστόλων τὴν διδαχήν.

Digitized by Google

Το ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ, κατὰ ἐρω- X. v. 16.
τησιν ἀναγνωστέον, ἀντιθέσεως μέρει παρὰ τοῦ ἀποστόλου τεθὲν, ἀντὶ τοῦ ἀλλ' ἐρεῖς ὅτι μὴ πάντες ἐπίστευσαν· θαυμαστὸν οὐδὲν, πόρρωθεν γὰρ εἴρηται τῷ Ἡσαΐᾳ τῶν πειθομένων τὸ σπάνιον· οὕτω γοῦν ἐν ἀπόρῳ τίθεται τὸ πρᾶγμα ὡς λέγειν, τίς ἄρα ἔσται ὁ δεξόμενος ταῦτα; ἅπερ οὖν ἡμεῖς ὑπὸ τῆς θείας χάριτος μεμαθηκότες κηρύττομεν· οὐκοῦν οὐδὲ νῦν γεγένηταί τι καινὸν, καὶ λύσας τῇ μαρτυρίᾳ τὴν ἀντίθεσιν, ἀπ' αὐτῆς ἐπισυλλογίζεται τὰ πρὸ τῆς ἀντιθέσεως, τὸ πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν καὶ τὰ ἑξῆς· καὶ φησὶν· ἄρα ἡ πίστις ἐξ ἀκοῆς· ἡ δὲ ἀκοὴ, διὰ ῥήματος θεοῦ· πρόδηλον δὲ ἡμῖν φησὶν ἀπὸ τῆς τοῦ προφήτου φωνῆς κἀκεῖνο ὅπερ ἐλέγομεν ὅτι πίστις μαθήσεως ἐκτὸς οὐκ ἂν ποτε γένοιτο, καὶ μάθησις εὐσεβείας οὐκ ἂν συνέστη, μὴ θεοῦ τ' ἀληθὲς δεικνύντος· ὅπερ οὖν καὶ νῦν διὰ τῶν ὑπὸ τῷ νόμῳ παιδαγωγουμένων ἐγένετο, οὓς ἐν μακρῷ τῷ χρόνῳ διὰ τῶν προφητῶν ἀναμένειν ταῦτα παιδεύσας θεὸς, ἐν καιρῷ τῷ προσήκοντι διδασκάλους τῆς ἀληθείας ἅπασιν ἀνθρώποις ἀνέδειξεν.

Τὸ μενοῦν γε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος v. 18.
αὐτῶν, πρόδηλον ὅτι μὴ ὡς προφητικῶς περὶ αὐτῶν εἰρημένον τέθεικεν, ἀλλ' ὡς ἁρμόττειν τοῖς παροῦσιν δυναμένου πράγμασι· κἀκεῖνο δὲ ἰσέον ἐντεῦθεν, ὅτι τὸ μενοῦνγε ἐπὶ λύσει κέχρηται, ὡς μὴ εἶναι ἄδηλον ὅτι καὶ ὅτ' ἂν λέγῃ μενοῦνγε ὦ ἄνθρωπε σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ θεῷ, λύων τὸ ζητούμενον οὐκ ἐπιτιμῶν, ὥς τινες οἴονται, λέγει.

Πάλιν ἑτέραν ἀντίθεσιν ἐπάγει, ἀλλὰ λέγω μὴ Ἰσραὴλ v. 19.
οὐκ ἔγνω; ἀντὶ τοῦ, ἀλλὰ μὴ τοῦτο ἐρεῖς ὅτι καινὸν αὐτοῖς τὸ πρᾶγμα νενόμισαι τὸ τοὺς ἐξ ἐθνῶν προσειλῆφθαι

Digitized by Google

X. εἰς τὴν εὐσέβειαν, καὶ διὰ τοῦτο ὡς ἐπὶ καινῷ ταραττόμενοι τὸ δόγμα διαμάχονται τὸ ἡμέτερον· καὶ μὴν εὐθὺς Μωϋσῆς ὁ τὸν νόμον αὐτοῖς δεδωκὼς, φαίνεται πόρρωθεν ἐκ τοῦ Θεοῦ διαμαρτυρόμενος· ὅτι δὴ τούτων πρὸς τὸ χεῖρον νευσάντων, καὶ αὐτὸς ἐκλέξεται τὰ ἔθνη πρὸ τούτων, κἀκείνους τῆς οἰκείας ἀξιώσει προνοίας, ὥσε αἴσθησιν αὐτοὺς ἀπὸ τῶν πραγμάτων πραγμάτων λαβεῖν.

Cap. XI. v. 1. Καὶ γὰρ ἐγὼ ἰσραηλίτης εἰμὶ, ἐκ σπέρματος Ἀβραὰμ, φυλῆς Βενιαμίν.

Ἐπειδὴ τοῦ τε νόμου τὸ χρήσιμον ἀπὸ τῶν πεπιστευκότων ἔδειξεν, καὶ τῇ πρὸς τὰς ἀντιῤῥήσεις ἀποκρίσει τὴν κατὰ τῶν ἠπιστηκότων κατηγορίαν ἐπέτειλεν, ὡς οὐδὲ μίαν τῇ ἑαυτῶν κακίᾳ διαβολὴν τῷ νόμῳ φερόντων, ἀπολογεῖται λοιπὸν καὶ περὶ τοῦ μηδὲν ἐπὶ διαβολῇ τῆς τοῦ Ἀβραὰμ συγγενείας εἰρηκέναι, διὰ τῆς κατὰ τῶν ἠπιστηκότων μέμψεως· ἆρα γάρ φησιν τοῦ μὲν νόμου τὴν οἰκονομίαν θαυμαστήν τινα εἶναι νενόμικα, τὴν συγγένειαν δὲ τοῦ Ἀβραὰμ ἐν τοῖς λόγοις ἀδόκιμον οὖσαν δείκνυμι; μὴ γένοιτο· τίς δὲ τοῦ μὴ ταῦτα λέγειν ἡ ἀπόδειξις; καὶ γὰρ ἐγώ φησι ἰσραηλίτης εἰμὶ καὶ τὰ ἑξῆς· εἶχεν μὲν εἰπεῖν πολλοὺς ἐκ τοῦ γένους πεπιστευκότας Χριστῷ, ἀλλὰ πρὸς τὸ λέγω οὖν τοῦτο ἦν οἰκειότερον τὸ καθ' ἑαυτὸν εἰπεῖν· πῶς γὰρ εἷόν τε ἦν ἐπὶ τῇ πίστει σεμνυνόμενον, καὶ περὶ ταύτης διδάσκειν ὑπισχνούμενον ἑτέρους; καλῶς δὲ οὐ τὸν προπάτορα μόνον εἶπεν, ἀλλὰ καὶ τὸν φύλαρχον, ὥσε δεῖξαι ὅτι οὐ πλάττεται τὴν οἰκειότητα.

v. 2. Ἢ οὐκ οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή;

Ἐπιλέλησθε φησὶ τῶν κατὰ τὸν Ἠλίαν, ὡς ἔοικεν, ὅπως ὁ μὲν ἠτιᾶτο τὸν Ἰσραὴλ τῆς εἰς τὸ χεῖρον ἐκτροπῆς,

Digitized by Google

ἐκνῶν ἀποξέλλεσθαι ἔτι πρὸς τοὺς οὕτως ἀγνώμονας· ἀπε- XI.
κρίνατο δὲ αὐτῷ ὁ Θεὸς ἑπτακισχιλίους ἔχειν, τοὺς ἔτι τῆς
αὐτοῦ γνώσεως ἐπιμελουμένους, καὶ μὴ πρὸς τὸ χεῖρον νεύ-
σαντας· διὰ τοῦτο προτρέπων αὐτὸν ἔχεσθαι τοῦ τῆς δι-
δασκαλίας ἔργου, ὡς ἂν οὐκ εἰς μάτην πονοῦντα τοῦ λοι-
ποῦ· καὶ ὅτι Θεὸς ἀρκεῖν ἡγήσατο, εἰ ἀπὸ παντὸς τοῦ δή-
μου τῶν ἰουδαίων ἑπτακισχίλιοι τῇ τῶν προφητῶν διδασκα-
λίᾳ ἐπὶ τῆς εὐσεβείας μένοιεν· ὥστε οὐδὲν ἀπεικὸς, πλείο-
νας εἶναι καὶ νῦν τοὺς οὐ βουλομένους τοῖς περὶ τῆς εὐ-
σεβείας λεγομένοις πείθεσθαι· οὐ μὴν ταῖς περὶ τὸ γένος
ἐπαγγελίαις τοῦ Θεοῦ διαβολήν τινα φέρει τὸ γιγνόμενον· τοῦ
μὲν γὰρ τὸ χρήσιμον ἐν τοῖς πιστεύουσι διαδείκνυται, ἡ δέ
γε τῶν λοιπῶν ἀπιστία ἔλεγχον ἔχει τῆς αὐτῶν κακίας, εἰ
μηδὲν ὄφελος ἀπὸ τῆς τοσαύτης κηδεμονίας ἐδέξαντο.

Τινὲς ὑπὸ πολλῆς τῆς ἀνοίας οὕτως ἀνέγνωσαν· τί οὖν v. 7.
ἐπιζητεῖ Ἰσραὴλ; συνάψαντες τούτῳ τὸ ὃ οὐκ ἐπέτυχεν,
ἔτι καὶ τὰς λέξεις τὰς ἀποστολικὰς ἀφανίσαντες, ἵνα τὴν
ἑαυτῶν ἱστάναι δόξωσιν ἄνεσιν, καὶ τὸ ὃ ὅπερ κεῖται πρὸ
τοῦ ἐπιζητεῖ Ἰσραὴλ ἀφελόντες, καὶ τεθεικότες τὸ τοῦτο
ὃ οὐκ ἐπέτυχεν, ὡς ἂν τοῦ ἀποστόλου λέγοντος, τί ποτε
οὖν ἄρά ἐστιν τὸ παρὰ τοῦ Ἰσραὴλ ἐπιζητούμενον; τοῦτο
δὴ ὅπερ οὐκ ἐπέτυχεν, γελοιότατά γε οἰηθέντες τὸν ἀπό-
στολον δεικνύναι σπουδάζειν τὸ παρὰ τοῦ Ἰσραὴλ ἐπιζη-
τούμενον, τί ποτε ἄρα ἐστὶν· καὶ οὐ συνεωρακότες, ὅτι ἀπὸ
τῶν προειρημένων κατὰ συλλογισμὸν αὐτὸ ἐπήγαγεν· ἀνα-
γνωστέον οὖν οὕτως· τί οὖν, ἀντὶ τοῦ τί τοίνυν τὸ ἐκ τῶν
προειρημένων ἡμῖν συναγόμενον, τῶν τε ἠπιστηκότων κατ-
ηγορήσαμεν, καὶ τοὺς πεπιστευκότας δικαιότατα τὴν τῶν
δογμάτων ἀλήθειαν προτετιμηκότας ἐδείξαμεν, ὃ ἐπιζητεῖ

Digitized by Google

XI. Ἰσραὴλ, τοῦτο οὐκ ἐπέτυχεν· ὅτι τοῖς ἰσραηλίταις τυχεῖν οὐκ ἐγένετο τούτου, ὁ δὴ ζητεῖν δοκοῦσιν· ἵνα εἴπῃ τῆς δικαιοσύνης· ὅμοιον γάρ ἐστι τῷ, Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασεν· λείπει δὲ τὸ πάντες, ἵνα ᾖ τούτου πάντες οὐκ ἐπέτυχον· ἐπάγει γάρ, ἡ δὲ ἐκλογὴ ἐπέτυχεν· οἱ δὲ λοιποὶ ἐπωρώθησαν· ἵνα εἴπῃ ὅτι ἔτυχον μὲν τῆς δικαιώσεως οἱ τῆς ἐκλογῆς ἀπὸ τοῦ οἰκείου τρόπου νομισθέντες ἄξιοι, οἱ δὲ λοιποὶ πάντες ἀπεβλήθησαν διὰ τὴν ἑαυτῶν κακίαν.

v. 9. Καὶ Δαβὶδ λέγει, γενηθήτω ἡ τράπεζα αὐτῶν
εἰς παγίδα.

Οὐχ ὡς προφητικῶς εἰρημέναις ἐχρήσατο τοῖς φωναῖς, ἀλλ' ὡς ἁρμοττούσαις αὐτοῖς ἀπὸ τῶν πραγμάτων τῷ καὶ περὶ ἰουδαίων αὐτὰς εἰρῆσθαι· ὁμοῦ κἀκεῖνο δεικνὺς ὅτι μηδὲν καινὸν ἐγένετο νῦν, παρόμοια δὲ τοῖς τότε ὑπομεμενήκασιν, προτετιμηκότες τοῦ κρείττονος τὸ χεῖρον· ἐπειδὴ γὰρ ἀπὸ τῆς ἑαυτῶν ἀπιβολῆς ἐπειρῶντο τὸ χριστιανικὸν δόγμα διασύρειν ἰουδαῖοι, ἀναγκαίως διὰ πλειόνων ὁ ἀπόστολος δείκνυσι πάντοτε τοιούτους αὐτοὺς περὶ τὴν εὐσέβειαν γεγονέναι.

v. 11. Λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσι;

Ἀλλὰ μὴ τοῦτο φαμὲν ὅτι σφαλέντες περὶ τὴν εὐσέβειαν καὶ μὴ πιστεύσαντες τῷ Χριστῷ παντελῆ τὴν ἀποβολὴν ὑπέμειναν, ὡς μὴ δὲ μίαν αὐτοῖς ἐλπίδα σωτηρίας περιλειφθῆναι, κἂν εἰ βούλοιντό ποτε πρὸς τὸ κρεῖττον ἰδεῖν; μὴ γένοιτο· τοὐναντίον γὰρ μέμνηται εἰρηκὼς, ὅτι κἂν εἰς τοὺς πλείστους αὐτῶν διὰ τὴν ἀπιστίαν αὐτῶν ἀποβληθῆναι συνέβη, ἀλλ' οὖν γε οἱ πεπιστευκότες ἐξ αὐτῶν καί τινα γε ἄγαν ὄντες ἐναρίθμητοι, πᾶσι τοῖς ἐξ ἐθνῶν σω-

Digitized by Google

τηρίας ἐγένοντο πράξεναι· ἐπείπερ ἅπαντες οὗτοι τοῦ τῆς εὐ- XI.
σεβείας μαθημάτος τὰς ἀφορμὰς ἐκεῖθεν ἐδέξαντο· ὥςε ἔξε-
στιν καὶ τοῖς νῦν ἀπιστοῦσι τῶν ἰουδαίων, τοὺς ἐξ αὐτῶν
πεπιστευκότας ἤδη μιμήσασθαι, ζήλῳ τε ἀγαθῷ τῆς πρὸς
τὸ κρεῖττον ἐπιθυμῆσαι ῥοπῆς· ὁ γὰρ ἐκείνους πεπιστευκό-
τας οὐκ εἰσδεξάμενος μόνον, ἀλλὰ καὶ διδασκάλους ἀπο-
φήνας τῆς οἰκουμένης; δῆλον ὡς οὐδὲ τούτους πιςεῦσαι βου-
ληθέντας εἰς αὐτὸν ἀδοκίμους ἡγήσεται· τὸ γὰρ εἰς τὸ πα-
ραζηλῶσαι αὐτοὺς οὐ τοὺς ἐξ ἐθνῶν ὥς τινες φήθησαν λέ-
γει, ἀλλὰ τοὺς ἐξ αὐτῶν· εἰς ἀπόδειξιν αὐτὸ εἰρηκὼς τοῦ
ἐξεῖναι εἰσδεχθῆναι καὶ τούτους, εἰ δὴ πιστεῦσαι βούλοιν-
το· τὸ μέν τοι εἰς τὸ παραζηλῶσαι αὐτοὺς οὐκ ἐπὶ αἰ-
τίας λέγει, ἀλλὰ τὸ ἑπόμενον ἑαυτῷ συνήθως· ἀντὶ τοῦ
εἰ ἐκεῖνοι πιςεῦσαι βουληθέντες εἰσεδέχθησαν καὶ διδάσκα-
λοι τοῖς ἐξ ἐθνῶν ἐγένοντο, πρόδηλον ὡς ἔξεστι καὶ τού-
τοις κατὰ μίμησιν ἐκείνων τῆς εἰς τὴν πίστιν εἰσόδου τυ-
χεῖν· εἶτα καὶ ποθεινὴν αὐτῶν τὴν ἐπιστροφὴν ἐργαζόμε-
νος ἐπάγει καὶ φησίν· εἰ γὰρ ἐν ὀλίγαις φησὶ καὶ ἄγαν εὐα-
ριθμήτοις τοσαύτης ἐνεγένετο τοῖς κατὰ τὴν οἰκουμένην ἀν-
θρώποις τυχεῖν ἀφθονίας ἀγαθῶν, τί ποτε δεῖ ἄρα δεῖ νο-
μίζειν ἔσεσθαι, εἰ πάντας αὐτοὺς συμφώνως ὑποδέξασθαι
τὸν Χριστὸν συνέβη;

Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου, v. 15.
τίς ἡ πρόσληψις εἰ μὴ ζωὴ ἐκ νεκρῶν;

Τίνος ἕνεκεν τῇ πάντων διορθώσει τὴν ἀνάστασιν ἡγεῖ-
ται ὁ ἀπόστολος ἕψεσθαι πάντων; ἀναγκαῖον εἰπεῖν, τοῖς
μὲν ἀλόγοις φυσικῶς ἅπαντα πρόσεστιν, καὶ ὅτά τε ἐστὶν
τὸ κακὸν ἀπὸ τοῦ καλοῦ διακρίνεται, ἐξουσίᾳ γνώμης τὸ δο-
κοῦν ἑλέσθαι· ἀνάγκη δὲ πᾶσα τοῖς ὄρεσι ἐμμένειν τῆς φύ-

Digitized by Google

XI. σεως, διά τα τοῦτο περιττὸς ἅπας ἐστὶν νόμος ἐκείσεις, οὔτε μαθεῖν οὔτε μὴ συνιέναι τί τοιοῦτο δυναμένοις· τοῖς δὲ λογικοῖς πᾶν τοὐναντίον· καὶ γὰρ διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ κακοῦ δύνανται, καὶ ἐξουσίᾳ γνώμης τὸ θατοῦν αἱρεῖνται· ἤτε τῶν νόμων ἔκθεσις ἄγαν ἐπιτηδεία τούτοις ἐστὶν, ἅτε δυναμένοις ἐκεῖθεν τὸ καλὸν παιδεύεσθαι· τοιοῦτο δὴ τὸ ἡμέτερον γένος ὁ Θεὸς ἀπειργάσατο, τήν τε φύσιν ἡμῖν ἐπιτηδείαν πρὸς μάθησιν δεδωκὼς, καὶ νόμων ἐκθέσει ποικιλωτάτων τὸ κρεῖττον ὑποδείξας· οὐδὲ γὰρ ἀδίδακτον ἔχειν ἡμᾶς τῆς ἀρετῆς ἐνεδέχετο τὴν ἕξιν λογικοὺς γεγονότας τὴν φύσιν, ἐπείπερ αὖτη σαφὴς λογικῶν τε καὶ ἀλόγων διάκρεσις, τῷ τὰ μὲν ἐν τῇ φύσει παντὸς ὄν τινος σὺν ἔχειν τὴν εἴδησιν περαιτέρω δυνάμενα μανθάνειν οὐδὲν, τοὺς δὲ τοῦ χρόνου προϊόντος τὰ πλείονα μανθάνειν ὧν οὐκ ἠπίσταντο πρότερον· τούτου ἕνεκεν θνητοὺς μὲν ἡμᾶς κατὰ τὸν παρόντα τουτονὶ πεπείπκε βίον, νόμους δὲ ἔδωκεν ἱκανοὺς· εἰς ὑπόμνησιν ἡμᾶς ἄγειν τῆς τοῦ καλοῦ θεραθώσεως, ὡς ἂν ἐντελῆ τῆς ἀρετῆς οὕτως τὴν μάθησιν κομισαίμεθα· ἐντεῦθεν κἂν πολλήν τινα πρὸς τὸ χεῖρον ἔχειν ἡμᾶς τὴν ῥοπὴν συμβαίνει, ἀλλ' οὖν γε βεβαίαν ἐπὶ τῆς ψυχῆς τοῦ καλοῦ τὴν εἴδησιν ἔχομεν, καὶ ἔστιν ἀνθρώπων οὐδεὶς, ὃς οὐχὶ πάντως ἐπίσταται τὸ κρεῖττον τί ποτέ ἐστιν ἐν βίῳ· οὕτω μὲν οὖν ἀσφαλῆ τε καὶ βεβαίαν ἐπὶ τοῦ παρόντος βίου τῆς ἀρετῆς τὴν διδασκαλίαν ἡμῖν παρέχεται· ἐπειδὴ δὲ οὐχ ὥσπερ ἴσμεν τὸ καλὸν, οὕτω καὶ ποιεῖν αὐτὸ ῥᾳδίως δυνάμεθα, ἄχρις ἂν ἐπὶ τῆς θνητότητος διαμένωμεν, δεύτερόν τινα βίον τὸν μέλλοντα ἡμῖν διὰ τῆς ἀναστάσεως ὁ ποιητὴς δεδώρηται, κατὰ πολὺ τοῦ παρόντος ἀμείνω, ἀθανατόν τε καὶ ἀπαθῆ καὶ πάσης ἁμαρτίας ἀπηλλαγμένον· ἔστιν τοί-

Digitized by Google

νυν εἰκ ἀνακαινισμὸς καὶ διόρθωσις μόνον τῶν παρόντων ἐκεῖ- XI.
να, ἀλλὰ γὰρ καὶ τελείωσις· ἃ γὰρ ἐνταῦθα μαθόντες παιεῖν
εἰκ ἰσχύομεν, ταῦτα τότε ἡμῖν πόνων ἐκτὸς μετὰ πολλῆς
προσείσαι τῆς εὐμαρείας, τό τε ἀπηλλάχθαι λέγω τῆς τῶν
χειρόνων πράξεως, καὶ τὸ ἄσχετόν τινα τῶν καλῶν ἐπὶ τῆς
ψυχῆς ἔχειν τὸν ἔρωτα, εὐθὺ μὲν ἡμᾶς ἐν ἐκείνοις κατα-
στῆσαι· οὐ καλῶς ἔχειν ἡγησαμένου τοῦ σοφοῦ τῶν ψυχῶν
εἰκονόμου, ὡς ἂν μὴ ἄλογόν τινα καὶ ἀδιάκριτον ἐνοῦσαν
ἡμῖν ἔχοιμεν τοῦ καλοῦ τὴν ἕξιν· ἐγγενομένης δὲ ἡμῖν ἐπὶ
τοῦ παρόντος βίου καθ' ὃν ἔφην τρόπον τῆς τοῦ καλοῦ μα-
θήσεως, εὐκαιρότατα καὶ μάλα γε ἀναγκαίως τῶν μελλόν-
των παρέχεται τὴν κατάσασιν· τοῦτο μέν, ἵνα κατὰ παρά-
θεσιν τῶν παρόντων ἀκριβῶς εἰδέναι τῶν τότε τὸ διάφορον
ἔχωμεν, τοῦτο δὲ ὡς ἂν λογικῇ πρεπόντως φύσει τῆς τοῦ
καλοῦ κατορθώσεως αἰσθανώμεθα, ὧν ἐνταῦθα κατὰ τὴν
ἀπόῤῥητον τοῦ θεοῦ σοφίαν ποικίλως τὴν εἴδησιν ἐδεξάμε-
θα· ταῦτα τότε πόνων ἐκτὸς τῇ τοῦ πνεύματος χάριτι κατ-
ορθωμένα ἐν ἡμῖν ὁρῶντες, καί τοι γε ἐπὶ τοῦ παρόντος
οὐδὲ μετὰ πόνων παραπλησίως τοῖς τότε καθαρεύειν τῆς τῶν
ἀτόπων δυνάμενοι πράξεως· ταῦτα ἡμῖν εἴρηται ἐπὶ τὸ σα-
φέστερον γενέσθαι τί ποτε ὁ ἀπόστολος βούλεται λέγειν τὸ
τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν· ὡς γὰρ ἐκείνου μὲν
πρὸς τὴν τῶν ἐνθάδε συντελοῦντος τελείωσιν, διὰ δὲ τοῦ-
το ἡμῶν ἐπὶ τοῦ παρόντος βίου γεγονότων θνητῶν, ἵνα τῆς
ἀρετῆς ἡ διδασκαλία κατὰ τὸ πρόσφορον ἡμῖν ἐγγένηται πρό-
τερον, εἶτα τῶν μελλόντων ἐπὶ τελείᾳ κατορθώσει τῶν ἐγνω-
σμένων δεξώμεθα τὴν ἀπόλαυσιν· τοῦτο λέγει, ὅτι ὀλίγοι
πεπιστευκότες ἐξ αὐτῶν, αἴτιοι τῆς τῶν ἐξ ἐθνῶν σωτη-
ρίας ἐγένοντο, καὶ δι' ἐκείνων τὸ τυχεῖν τῆς παρὰ τοῦ θεοῦ

Digitized by Google

XI. καταλλαγῆς ὑπῆρξε μικροῦ πανταχοῦ τῷ κόσμῳ· εἰ δὲ πάντες ἐπίστευσαν Ἰουδαῖοι, ἀκόλουθα τῇ τοῦ νόμου παιδαγωγίᾳ φρονήσαντες, πρόδηλον μὲν ὡς ἑταιμοτέρα καὶ τοῖς ἔθνεσι διὰ τῆς τούτων συμφωνίας ἡ ἐπὶ τὸν Χριστὸν ἐγίνετο πίστις· πᾶσι δὲ λοιπὸν τοῦ τῆς εὐσεβείας ἐνάντος μαθήματος, οὐδὲν ἂν ἐκώλυσεν τῶν νεκρῶν τὴν ἀνάστασιν ἀκολουθῆσαι τούτους τὸ τελειότατον ἀγαθὸν, καὶ οὗ δὴ ταύτης ἕνεκεν τῆς αἰτίας οὐ τετυχήκαμεν ἄχρι τοῦ δεῦρο· ὥστε ἀκριβῆ πρότερον ἡμῖν τοῦ καλοῦ τὴν μάθησιν ἐγγενέσθαι, ὡς εἴγε τοῦτο ὑπῆρξεν, εἵπετο κἀκεῖνο πάντως· ὁ μέν τε μακάριος Παῦλος ἐπειδὴ ἀπεφήνατο τὴν μεταβολὴν αὐτῶν ἐν ἀγαθοῦ δεῖν τίθεσθαι μοίρᾳ, τοῦτον ἔχων δι' ὅλου σκοπὸν τοὺς ἐξ ἐθνῶν παιδεῦσαι προσίεσθαι μᾶλλον αὐτοὺς μὴ μὴν ἀπωθεῖσθαι βουλομένους προσιέναι τῆς εὐσεβείας μαθήματι, πειρᾶται καὶ ἀπὸ πραγμάτων δεικνύναι ὡς οὐκ ἄδεκτοι, σπουδῆς δὲ ἄξιοι πρὸς τὸ κρεῖττον βουλόμενοι ῥέπειν.

v. 16. Τινὲς ταυτὸ λέγειν τὸν ἀπόστολον τήν τε ἀπαρχὴν καὶ τὴν ῥίζαν ᾠήθησαν, οὐδὲ ἐκεῖνο λογισάμενοι ὅτι ἡ μὲν ἀπαρχὴ μετὰ τὴν τοῦ παντὸς ἐκλέγεται συλλογὴν, ἡ δὲ ῥίζα ἀρχή τις νενόμισται πράγματος· ὅθεν κἀνταῦθα ἀκολούθως ἀπαρχὴν μὲν ἐκάλεσεν τὸν Χριστὸν, ὡς ἂν ἐκ παντὸς εἰλημμένον τοῦ τῶν Ἰουδαίων συλλόγου, ῥίζαν δὲ λέγει τὸν Ἀβραὰμ, ἐξ οὗπερ ἅπαν ἔφυ τὸ γένος· καλῶς ἐξ ἑκατέρου τὸ πρὸς τὴν εὐσέβειαν αὐτῶν ἐπιτήδειον εἰπεῖν προθέμενος, εἰ μὴ γνώμῃ τὰ χείρονα αἱροιντο· γελοῖον γὰρ τὴν μὲν ἀπαρχὴν αὐτῶν ἀξίαν ἡγεῖσθαι τιμῆς, τουτουσὶ δὲ προσιέναι βουλομένους τῷ τῆς εὐσεβείας μαθήματι ἀσωθεῖσθαι, ὡς οὐκ ἀξίους τοῦ πράγματος.

Digitized by Google

XI.

Ἐπὶ μὲν τοὺς πεσόντας, ἀποτομίαν. v. 22.

Σοὶ μέν τοι, φησὶν, ἔξεσι δι' ἑκατέρου τὸ πρέπον παιδεύεσθαι· καὶ λογιζόμενος μὲν τὴν περὶ σὲ τοῦ Θεοῦ φιλοτιμίαν ἧς ἠξιώθης διὰ τὴν πίστιν, προθυμότερος γένου περὶ τὴν εὐσέβειαν· ἐννοῶν δὲ ὅπως ἐκείνους διὰ τὴν ἀπιστίαν ἀπεποιήσατο, πάσῃ δυνάμει μὴ τοῖς αὐτοῖς περιπεσεῖν φυλάττου· ἀποτομίαν γὰρ οὐκ ὠμότητα λέγει, ἀλλὰ τὴν ἀποτομὴν, ἀντὶ τοῦ ὅπως διεῖλεν αὐτοὺς καὶ ἀπέτεμεν τοῦ καταλόγου τῶν εὐσεβῶν· ἐάν τε οὖν ὑμεῖς μεταβληθῆτε τὴν γνώμην φησὶ, οὐδὲν ὄφελος ἔσαι τῶν παρόντων· ἐκείνοις τε πάλιν ἔξεσιν μεταβαλλομένοις, τῆς παρὰ τοῦ Θεοῦ τυχεῖν οἰκειώσεως.

Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί. v. 25.

Οὐκ ὀκνήσω δὲ φησὶν ὑμῖν κἀκεῖνο εἰπεῖν, καί τι γε ἔδηλεν ὂν, ὥστε μὴ ἀγνοίᾳ τοῦ ἐσομένου δικαιότατα αὐτῶν ἀπεγνωκέναι νομίζειν ὑμᾶς· τὸ γὰρ ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνιμοι, ἀντὶ τοῦ ἵνα μὴ νομίζητε συνετόν τι παρ' ἑαυτοῖς ἔχειν τὴν ἐκείνων ἀπόγνωσιν· τί δὲ τοῦτό ἐσιν; ὅτι οὐκ εἰς τὸ παντελὲς ἀλλότριοι τῆς εὐσεβείας οὗτοι μενοῦσιν· ἔσται δὲ καιρὸς καθ' ὃν ἐπιγνώσονται καὶ αὐτοὶ τἀληθὲς, ἐπειδὰν οἱ πανταχόσε ἄνθρωποι τὸ τῆς εὐσεβείας ὑποδέξωνται μάθημα, καὶ οὕτω πᾶς Ἰσραὴλ σωθήσεται· ἵνα εἴπῃ εἴ τε ἀπὸ τῆς φύσεως τὴν πρὸς τὸν Ἰσραὴλ συγγένειαν ἔχοντες, ἀντὶ τοῦ οἱ ἰουδαῖοι καὶ οἱ διὰ τῆς πίστεως ἀξίους ταύτης ἑαυτοῖς τῆς προσηγορίας κατασήσαντες, λέγει δὲ τοὺς ἐξ ἐθνῶν.

Κατὰ μὲν τὸ εὐαγγέλιον ἐχθροὶ κ. τ. λ. v. 28.

Ἐκεῖνο τοίνυν ὑμᾶς εἰδέναι προσήκει, ὅτι ἐγὼ τοῦ μὲν εὐαγγελίου ἕνεκεν, ὅτ' ἂν αὐτὸ διασύρειν βούλωνται τὴν

Digitized by Google

XI. ὑμετέραν αἰτιώμενοι πρόσοδον, καὶ ταύτην ὡς ἄσονται ἀφορμὴν εὔλογον προϊσχόμενοι, τῷ μὴ πείσεσθαι τοῖς ἡμετέροις διδάγμασιν, ἐχθροὺς αὐτοὺς εἶναι νενόμικα, ἅτε δὴ πολεμίους τῆς πίστεως· τότε γὰρ οὐδενὸς ἀφίσταμαι τῶν ὅσα πρὸς ἔλεγχον τῆς αὐτῶν κακίας εἰπεῖν πρόσηκει, διὰ δὲ τὴν πρὸς τοὺς πατέρας εἰκειότητα οὕτως αὐτοὺς περὶ πολλοῦ ποιεῖσθαι ἐστούδακα, ὡς μὴ δὲ πάσχειν ἥν τι δέῃ ὑπὲρ τῆς αὐτῶν σωτηρίας ὀκνεῖν· οἶδα γὰρ ἀκριβῶς ὅτι οὐ θεὸς μεταμεληθεὶς ἐπὶ τῇ τῶν πατέρων ἐκλογῇ, ταύτους ἀπεποιήσατο, αὐτοὶ δὲ μοχθηρίᾳ γνώμης τῆς παρὰ τοῦ θεοῦ ἀλλοτριώσεως ἑαυτοῖς γεγόνασι πρόξενοι.

Cap. XII. v. 1. Παρακαλῶ οὖν ὑμᾶς ἀδελφοὶ διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ.

Ἐπειδὴ τοὺς δογματικοὺς συνεπέρανεν λόγους, τῶν ἠθικῶν ἐντεῦθεν ἅπτεται· ἀναγκαιότατα ἀπὸ παρακλήσεως τὴν ἀρχὴν ποιούμενος· ἐν ἐκείνοις μὲν γὰρ οὐ χαλεπὸν ἦν τοῖς βουλομένοις μετὰ τὴν μάθησιν κατέχειν τὰ εἰρημένα, τῇ δέ γε ἀρετῇ καὶ πόνος συνέζευκται, ὥστε μετὰ πολλοῦ μέν τινα προσιέναι τοῦ ὄκνου τῇ αὐτῆς ἐργασίᾳ, καὶ ἀρχόμενον δὲ πολλοῦ δεῖσθαι καμάτου πρὸς τὴν κατόρθωσιν· ἐπικουφίζει τοίνυν τῇ παρακλήσει τοῦ πράγματος τὸ ἐπίπονον· δυσωπητικωτάτην δὲ εἰργάσατο τὴν παράκλησιν εἰπὼν διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ· ἐπειδὴ γὰρ πλείστην ἐν τοῖς δογματικοῖς περὶ τῆς τοῦ θεοῦ φιλανθρωπίας τὴν διδασκαλίαν ἐποιήσατο, ᾗ περὶ πάντας ἀνθρώπους χρῆται, ἀναγκαίως τῇ τούτων ὑπομνήσει δυσωπεῖ μᾶλλον αὐτοὺς ἀρετῆς ἐπιμελεῖσθαι, δεικνὺς ὅτι οὐκ ἐφόδιον ῥᾳθυμίας αὐτοῖς ἐκεῖνο γίνεσθαι δίκαιον, τοὐναντίον δὲ πάλιν ἃ πρόσηκει τὴν σπουδὴν συνεισφέρειν, αἰσχυνομένους τὸ περὶ τὸν οὕτω χρηστὸν ἀγνώμονας φαίνεσθαι· τίς δὲ ἡ παράκλησις; παρα-

Digitized by Google

στῆσαι τὰ σώματα ὑμῶν, καὶ τὰ ἑξῆς· λέγει μὲν ὅτι ἀφο- XII.
ρίσαι δίκαιον ὑμᾶς τὸ ἑαυτῶν σῶμα τῷ Θεῷ, ὑπηρετύ-
μενον αὐτοῦ τοῖς νόμοις· ἐπείπερ δίκαιον τὸ παρὰ τοῦ Θεοῦ
γεγονὸς, μὴ κακίας ὄργανον εἶναι, ἀλλὰ τῆς ἀρετῆς· τὸ μὲν
οὖν παραστῆσαι, ἀφορίσαι λέγει, ἐκ μεταφορᾶς αὐτὸ λα-
βὼν τῶν ἢ βασιλεῦσιν ἢ δεσπόταις πρὸς τὸ ὑπηρετεῖν παρ-
εστώτων, οἷς ἕπεται πάντως τὸ τὰ ἀναγκαῖα τῆς ὑπηρε-
σίας πληροῦν, ὡς καὶ ἀνωτέρω ἔφη, μὴ οὖν βασιλεύετω ἡ
ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι· εἶτα ὡς ἐπὶ βασιλέως
ἀκολούθως ἐπαγαγὼν, μὴ δὲ παριστάνετε τὰ μέλη ὑμῶν
ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ
Θεῷ ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὅπλα δικαιοσύνης
τῷ Θεῷ· θαυμασιώτατα δὲ τὴν συμβουλὴν διὰ πάντων ἐπέ-
τεινεν, οὐ τῷ παραζῆσαι μόνον εἰπεῖν, ἀλλὰ γὰρ καὶ τῷ
θυσίαν αὐτῷ ὀνομάσαι· ἔδειξεν γὰρ ὡς οὐδενὶ λόγῳ προσ-
ῆκεν εἰς τὸ ἐναντίον κατακεχρῆσθαι τῇ τοῦ σώματος ὑπηρ-
εσίᾳ, ἐπείπερ οὐδὲ τὰς προσαγομένας τῷ Θεῷ κατὰ νόμον
τῶν ἀλόγων θυσίας τῇ κοινῇ χρήσει παρεδίδοσθαι τῶν ἀν-
θρώπων θεμιτὸν ἦν ἔτι· ζῶσαν δὲ ταύτην προσεῖπεν, ἐπει-
δὴ τὰ μὲν κατὰ νόμον προσκομισθέντα νεκρὰ μετὰ τὴν θυ-
σίαν ἦν ὡς εἰκὸς· ταῦτα δὲ αὐτοῦ γε τούτου ἕνεκεν Θεῷ
προσήγετο, ὥστε ἐν τῷ ζῆν τὰ τοῖς αὐτοῦ νόμοις πράτ-
τειν ἀκόλουθα· ὅθεν καὶ ἁγίαν προσεῖπεν ταύτην, ἐπειδὴ
ἐκείνην ἐνεχώρει μὴ τοιαύτην εἶναι τῇ τῶν προσκομιζόντων
κρινομένην κακίᾳ, ἀλλὰ καὶ εὐάρεστον τῷ Θεῷ· ἐκείνη γὰρ
οὐ πάντως τοιαύτη· καὶ τὸ τὴν λογικὴν λατρείαν ὑμῶν,
πολὺ τὸ διάφορον ἔδειξεν· οὐ γὰρ ὅμοιον ἀλόγῳ προσκομισθῆ
λατρεύειν Θεῷ, καὶ λογισμῶν τελειότητι τὴν πρὸς τὸν Θεὸν
συνείδησιν ἐπὶ τῶν ἔργων δεικνύναι.

Digitized by Google

XII. v. 3. Λέγω γὰρ κ. τ. λ. μὴ ὑπερφρονεῖν.

Τὰ μὲν οὖν προλαβόντα περὶ τῆς καθόλου λεγόμενα ἀρετῆς, καλῶς ἔχειν ἠδύνατο· ἐξέρχεται δὲ λοιπὸν ἐπὶ τὸ κατὰ μέρος πρὸς πάντων τὴν ὑπερηφανίαν, ὡς ἂν χείριστον ἀπαγορεύων οὐκ ἔτι παρακλήσει, ἀλλ' αὐθεντίᾳ μᾶλλον· οὐ γὰρ ὅμοιον ἐπ' ἀρετὴν προτρέπειν, καὶ τὴν τῶν ἀτόπων ἀπαγορεύειν πρᾶξιν· ὅθεν ἐκείνῃ μὲν παράκλησιν συνῆφθαι πρέποι ἄν, ταύτῃ δὲ καὶ σφοδρότης ἁρμόσει πολλάκις· καὶ γὰρ τῇ προσθήκῃ τῆς χάριτος τῆς δοθείσης μοι, φοβερωτέραν εἰργάσατο τοῦ κακοῦ τὴν ἀποτροπήν.

Ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως.

Παραφροσύνην τὴν ὑπερηφανίαν εἰπών, ὑγιῆ δὲ φρόνησιν τὴν μετριότητα· ἵνα μὴ ἐντεῦθεν σύγχυσίν τινα ἐργάζεσθαι δόξῃ, ὡς ἂν οὐδὲ τῆς ἐκκλησιαστικῆς εὐταξίας δι' ὑπερβολὴν μετριότητος φυλάττεσθαι ἐν αὐτοῖς ὀφειλούσης, καλῶς ἐπάγει, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως· βούλομαι φησὶ μετριάζειν μὲν ἅπαντας, φυλάττεσθαι δὲ ἐν ὑμῖν καὶ τὴν τάξιν ἀναλόγως τοῖς νενεμημένοις ὑμῖν ὑπὸ τοῦ Θεοῦ χαρίσμασιν· ἐπειδὴ γὰρ πλεῖστα ἦν ἐν αὐτοῖς τὰ χαρίσματα, μερισμὸν πίστεως καὶ ἐπιμέτρησιν λέγει τῶν χαρισμάτων τὴν διανομήν.

v. 8. Ὁ προϊστάμενος ἐν σπουδῇ.

Τὸ ὁ προϊστάμενος ἐν σπουδῇ, ἀντὶ τοῦ ὁ ἐπιμελούμενος λέγει· οὕτως καὶ ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ· εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδεν, πῶς ἐκκλησίας Θεοῦ ἐπιμελήσεται; σαφῶς τὴν προστασίαν ἐπὶ τῆς ἐπιμελείας λέγων· διάφοροι γὰρ τρόποι τότε μάλιστα εὐποιΐας παρὰ τῶν εὐπορωτέρων εἰς τοὺς πενεστέρους τῶν ὁμοπίστων ἐγίνοντο·

Digitized by Google

περὶ ὧν νῦν λέγει καὶ τὸ ὁ μεταδιδοὺς, καὶ τὸ ὁ προϊ- XII.
στάμενος, καὶ τὸ ὁ ἐλεῶν περὶ τῶν αὐτῶν λέγων.

Τὸ τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι, ἔστιν μὲν v. 10.
ὅμοιόν πως τῷ, ἡ ἀγάπη ἀνυπόκριτος, ἐπείπερ οὐδὲν διαλλάττει τοῦ ἀληθινῶς ἀγαπᾷν τὸ σφόδρα στέργειν· ἔχει δέ τι πλέον τῇ τοῦ εἰς ἀλλήλους προσθήκῃ· τὴν γὰρ αὐτὴν σπουδὴν πάντας περὶ ἀλλήλους ἔχειν βούλεται, ἐπεὶ μὴ δὲ οἷόν τε ἄλλως κρατεῖσθαι τὴν ἀγάπην, ἀλλ' ἢ τοῦ ἀγαπωμένου τὴν αὐτὴν σώζειν περὶ τὸν ἀγαπῶντα γνώμην ἐσπουδακότος· ὅπερ εἰ μὴ γίγνοιτο, ἀφέξεται τοῦ ἀγαπᾷν πάντως ὁ ἀγαπῶν ὅσην ἂν ἔχῃ τὴν φιλίαν, οὐκ ἀνεχόμενος φιλῶν περιορᾶσθαι.

Ταῖς χρείαις φησὶ τῶν ἁγίων κοινωνοῦντες· ἕνια δὲ τῶν v. 13.
ἀντιγράφων ταῖς μνείαις ἔχει, τῆς αὐτῆς οὔσης διανοίας· λέγει γὰρ ὅτι δίκαιον ὑμᾶς μνημονεύειν πάντοτε τῶν ἁγίων, κοινάς τε αὐτῶν τὰς χρείας νομίζειν, καὶ οὕτως αὐτοῖς ἐπικουφίζειν τὴν ἔνδειαν.

Μὴ γίνεσθε φησὶ φρόνιμοι παρ' ἑαυτοῖς· τοῦτο πάλιν v. 16.
ἕτερον γινόμενον ἀπὸ ὑπερηφανίας, μὴ τὸ τῇ διανοίᾳ σου φησὶ παρασὸν ἁπλῶς αἴρου, ὅτ' ἂν τῇ κοινῇ ὑπολήψει φαίνηται ἄτοπον· καλῶς δὲ καὶ τὸ μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες· πάλιν γάρ ἐστὶ τὰ πρὸς τοὺς ἐναντίοις ἀπὸ τῶν πρὸς ἀλλήλους ἐξελήλυθεν· προσέθηκεν οὖν τὸ μηδενὶ ἀντὶ τοῦ οὐδὲ ἐπὶ τῶν ἀλλοτρίων τῆς πίστεως, τοῦτο ἐπιδείκνυσθαι δίκαιον.

Διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργὴν, Cap. XIII.
ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. v. 5.

Κατ' ἀμφότερα φησὶ τὸ ὑποτετάχθαι τοῖς τοιούτοις πρέπει, τοῦτο μὲν ἵνα τὸ πρέπον διαπραττόμενοι τὴν ἐκεῖθεν

Digitized by Google

XIII. τιμωρίαν ἐκλίνομεν, τοῦτο δὲ ἵνα τῇ πρὸς τούτους αἰδοῖ τὴν ὀφειλομένην συνείδησιν τῷ ταῦτα τάξαντι θεῷ ἀποδεδόντες φαινώμεθα· δῆλον δὲ ἄρα κἀκεῖνο ὡς ὑποτάσσεσθαι τοῖς ἄρχουσιν ἐν τούτοις ὁ μακάριος Παῦλος παραινεῖ, οὐχ ἵνα κἂν ἀσεβεῖν ἀναγκάζωσι πειθώμεθα, σαφῶς γὰρ καὶ τὸν σκοπὸν εἶπεν τῆς ἀρχῆς, καὶ ὑπὲρ ἕνεκεν ὁ θεὸς οὕτως ἔταξε τὰ ἀνθρώπινα· ὥστε τὸ περὶ τῆς εὐσεβείας νομοθεῖν ἃ μὴ δεῖ, οὐ τοῦ σκοποῦ τῆς ἀρχῆς εἴη ἄν, ἀλλὰ τῆς γνώμης τῶν οὐκ εἰς δέον τὸ ἄρχειν κεχρημένων· τὰ μὲν γὰρ εἰς θεὸν ἀναφερόμενα, οὐ τῶν ἀρχόντων κρίνειν ἴδιον· ἐπειδὴ μὴ δὲ πρὸς τοῦτο κατέστησαν, περὶ δὲ τῶν ἐν ἀνθρώποις κινουμένων καὶ τῶν πρὸς ἀλλήλους δικαίων, μεσίται τινὲς καὶ βραβευταὶ τῷ δικαίῳ οἱ ἄρχοντες καθιζάμενοι, ὅτ' ἂν ἀκόλουθα τῷ εἰκείῳ σκοπῷ διαπράττωνται, ἀναγκαιότατόν τι χρῆμα δεικνύουσι τὴν ἀρχήν.

v. 7. Φόρον καλεῖ τὴν ὑπὲρ τῆς γῆς συντέλειαν, τέλος δὲ τὴν ὑπὲρ τῆς ἐμπορίας ἢ τινὸς τέχνης σωματικῆς.

v. 10. Συντόμως εἰπεῖν νόμου πλήρωσις, τῆς ἀγάπης ἡ φυλακὴ, καὶ ἐπειδὴ παράδοξον ἄγαν ἦν τὸ λεγόμενον, ἐπήγαγεν τὸ ἑξῆς.

Ἅπαν νόμιμον ἢ ἀπαγόρευσιν ἔχει κακοῦ, ἢ πρᾶξιν καλοῦ· τὰ μὲν γὰρ ἵνα μὴ βλάπτωμεν ἀλλήλους ὁ νομοθέτης ἐξέθετο, τὰ δὲ ἵνα τί καὶ εὐπειθῶμεν ἀλλήλους κατὰ δύναμιν, ἀλλὰ πάντα ταῦτα περιείληπται ἐν τῷ ἀγαπᾷν τὸν πλησίον ἐπιτάττοντι νομίμῳ· καλῶς οὖν τὸ ἀνακεφαλαιοῦται, ἀντὶ τοῦ πάντα ἐκεῖνα τὰ διὰ πολλῶν νενομοθετημένα ὥσπερ τινα ἀνακεφαλαίωσιν ἐν τῷ τὸν πλησίον ἀγαπᾷν περιέχεται.

Ὁ γὰρ ἀγαπῶν, φησὶ, βλάπτειν τὸν ἀγαπώμενον οὐκ ἀνέχεται, εἴπερ ἀληθῶς περὶ αὐτὸν ἔχει ἀγάπην· οὐκοῦν τῆς

Digitized by Google

ἀγάπης ἡ φυλακὴ, τοῦ παντός ἐςι νόμου κατόρθωσις· εἶτα XIII.
ἐπὶ παραίνεσιν ἐκφέρει τὸν λόγον καὶ φησὶ τὸ ἑξῆς.

Καὶ τοῦτο, εἰδότες τὸν καιρόν. v. 11.

Οὕτως ἀναγνωστέον καὶ τοῦτο, εἶτα διαστήσαντα εἰδότες τὸν καιρὸν καὶ τὰ ἑξῆς· βούλεται γὰρ εἰπεῖν ὅτι καὶ τούτου δὲ ἡμῖν ἐπιμελητέον ὅπως ἂν πράττοιμεν ἃ δεῖ· εἰδότες ἐφεστῶτα τὸν καιρὸν τοῦ ἀποθέσθαι τὴν ἐπὶ τοῖς ἁμαρτήμασιν ἡδονὴν, ὥσπέρ τινα ὕπνον βαθὺν· σωτηρίαν δὲ ἡμῶν καλεῖ τὴν ἀνάστασιν, ἐπειδὴ τότε τῆς ἀληθινῆς ἀπολαύομεν σωτηρίας.

Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. v. 12.

Ἡμέραν καλεῖ τὸν ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας καιρὸν, ὡς τῆς αὐτοῦ φανερώσεως τρανοτάτην τῶν τε καλῶν καὶ μὴ τοιούτων ποιησαμένης τὴν διάκρισιν· νύκτα δὲ τὸν πρὸ τούτου χρόνον· ἄμφω δὲ ὡς πρὸς ἐκείνους μάλιςα λέγει τοὺς εἰδώλοις προσέχοντας, παρ' οἷς οὐκ ἦν νόμιμα οὐδὲ διδασκαλία τῶν πρακτέων· ὁ τῆς ἀγνοίας οὖν φησὶ καιρὸς παρῆλθεν, ὅτε ἦτε ὡς ἐν νυκτὶ οὔτε θεὸν εἰδότες, οὔτε νομίμων δεδεγμένοι διαγόρευσιν· ἐπέςη δὲ ὁ τῆς ἡμέρας καιρὸς, ἀντὶ μεγίςου φωτὸς τῆς τοῦ Χριστοῦ παρουσίας ἐπιλαμψάσης ἡμῖν.

Ἀλλ' ἐνδύσασθε φησὶ τὸν κύριον Ἰησοῦν Χριστὸν, καὶ v. 14.
τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας· τὸ ἐνδύσασθε ἀντὶ τοῦ ἐνεδύσασθε λέγει· βούλεται γὰρ εἰπεῖν ὅτι διὰ τῆς ἀναγεννήσεως τοῦ βαπτίσματος συναφθέντες τῷ Χριστῷ, καὶ μέλος τοῦ κυρίου σώματος τῆς ἐκκλησίας ἀποφανθέντες ὅπερ ἐκεῖνός ἐστι κεφαλὴ, ὥσπερ ἐνεδύσασθε αὐτὸν τῇ κοινωνίᾳ τῶν προσδοκωμένων, καθὸ καὶ συμμετασχεῖν αὐτῷ τῆς ἀναστάσεως ἐλπίζετε· δίκαιοι τοίνυν ἂν

XIII. εἴητε τὰ πρέποντα τῇ καταστάσει φρονεῖν ἐκείνῃ, ἐν ᾗπερ ἅπαντα πεπαῦσθαι τὰ τοιαῦτα ἀνάγκη· οὐδὲν οὖν ἐπιτελεῖν τοιοῦτον προσῆκεν ἡμᾶς, εἴ γε ὁ μὲν αἰὼν ἐκεῖνος οὐ δέξεται· ἐπὶ δὲ τῶν φιλαμαρτημόνων πάροδον ἔχει κατὰ τὸν παρόντα καιρὸν, ἔνθα φθορᾷ μὲν ἔτι τὸ ἡμέτερον ὑπόκειται σῶμα, πολλὴ δὲ καὶ τῶν παθῶν ἐντεῦθεν ἡμῖν ἡ ἐνόχλησις γίνεται· εἰρήκαμεν δὲ καὶ ἀνωτέρω ὅτι σάρκα ἡ γραφὴ πολλάκις οὐ τὴν φύσιν αὐτὴν, ἀλλὰ τὸ ὀφειλὸν ἦτοι τὸ πρόσκαιρον οὕτω καλεῖ· τοῦτο οὖν κἀνταῦθα λέγει, τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας, οὐ τῆς φύσεως αὐτῆς λέγων, ἀλλ' ἀντὶ τοῦ μὴ ταῖς ἐπιθυμίαις ἑαυτῶν ἐξακολουθεῖτε, σπουδὴν τιθέμενοι ἐκεῖνα πράττειν, ἃ κατὰ τὸν παρόντα βίον διὰ τῆς ἐνούσης ὑμῖν ὀφειλότητος τὴν κίνησιν δέχεται· σαρκὸς οὖν πρόνοιαν λέγει τὴν περὶ τὰ παρόντα ἤτοι καὶ τὰ ἄτοπα σπουδὴν, ὡς ἂν ἐν τῷ βίῳ τούτῳ πράττεσθαι δυνάμενα μόνον, ἐπὶ δὲ τοῦ μέλλοντος αἰῶνος οὐκ ἔτι· ὅθεν αὐτὸ καὶ ἀντέταξεν τὸ ἐνδύσασθε τὸν κύριον Ἰησοῦν Χριστὸν, ὃ δὴ μίμημα τῆς μελλούσης ἐστὶ καταστάσεως· μὴ τοίνυν περὶ τοῦτο φησὶν ἔχετε τὴν σπουδὴν, ὅπως ἂν τὰς τοῦ παρόντος αἰῶνος ἐπιθυμίας ἐπιτελῆτε, αἷς οὐδὲ μία πρὸς τὴν μέλλουσαν κατάσασιν κοινωνία.

Cap. XIV. v. 7. Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει.

Τί λέγω φησὶν περὶ τοῦ ἐσθίειν καὶ τοῦ μὴ ἐσθίειν; οὔτε ζῶντες ἑαυτῶν ἐσμὲν, οὔτε ἀποθνήσκοντες· κἂν γὰρ ζῶμεν, τὴν αὐτοῦ ζωὴν ζῶμεν· κἂν ἀποθνήσκωμεν, κατὰ τὸν ὅρον ἀποθνήσκομεν ἐκείνου· σκοπὸν τοίνυν ἁπανταχοῦ προσῆκεν ἡμῖν τοῦτον εἶναι, τῷ θεῷ ἀρέσκειν, λογιζομένους ὅτι ζῶντες καὶ ἀποθνήσκοντες ἐκείνου πάντως ἐσμὲν· καὶ δει-

Digitized by Google

κνὺς ὅτι οὐκ ἀπὸ τῆς ποιήσεως μόνον ἀλλὰ καὶ ἀπὸ τῶν XIV.
προσφάτως οἰκονομηθέντων διὰ Χριστοῦ, ἐπήγαγεν· εἰς τοῦτο γὰρ Χριστὸς, καὶ τὰ ἑξῆς· λογίσασθε γάρ φησιν ὅτι Χριστὸς καὶ ἀπέθανεν ὑπὲρ ὑμῶν, καὶ ἀποθανὼν ἀνέστη, καὶ ἀναστὰς ζῇ, ζωὴν διηνεκῆ ὑπὲρ ἡμῶν ἅπαντα ποιήσας· ἵνα καὶ ἡμεῖς ἀποθανόντες τῆς τε ἀναστάσεως αὐτῷ κοινωνήσωμεν, καὶ τῆς ζωῆς ἀπολκύσωμεν· ὡς πανταχόθεν φαίνεσθαι ἡμᾶς καὶ Χριστῷ δουλεύειν ἀνάγκην ἔχοντας, εἴ γε καὶ ἀποθνήσκοντες ἐκείνου πάντως ἐσμὲν, τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος, ὥστε ἀναστῆσαι· καὶ ζῶντες ἐκείνῳ τὴν ζωὴν ὀφείλομεν, ὃς παρέσχεν ἡμῖν τὴν μετὰ θάνατον παρ' ἐλπίδα ζωήν.

Τὸ μὲν τί κρίνεις, πρὸς τὸν ἐξ ἰουδαίων εἴρηται· τὸ δὲ v. 10.
τί ἐξουθενεῖς, πρὸς τὸν ἐξ ἐθνῶν· σύδετέρῳ φησὶν ὑμῶν πρέπον σύδέτερον, ἐπειδὴ ἀνάγκη πάντως τῷ κριτηρίῳ τοῦ Χριστοῦ παραστάντας, τὰς εὐθύνας τῶν βεβιωμένων ὑποσχεῖν· καὶ εἰς πίστωσιν τῶν εἰρημένων, μαρτυρίαν τίθησι· γέγραπται γάρ· ζῶ ἐγὼ, λέγει κύριος, καὶ τὰ ἑξῆς· ὅτι μὲν οὖν εἰς πίστωσιν τῶν περὶ Χριστοῦ λελεγμένων αὐτῷ τὴν μαρτυρίαν παρήγαγεν, δῆλον· ἐκεῖνο δὲ ἰστέον ὅτι ἔνθα τοῦτο Ἡσαΐας φησὶ, συνεχῶς εἴρηται τὸ ἐγώ εἰμι Θεὸς καὶ οὐκ ἔστιν ἔτι, καὶ ἐγώ εἰμι κύριος καὶ οὐκ ἔστιν ἄλλος πλὴν μου δίκαιος καὶ σωτὴρ, οὐκ ἔξιν πάρεξ ἐμοῦ, καὶ ὅσα τοιαῦτα· ζητητέον οὖν πῶς τούτοις ἐπὶ τοῦ Χριστοῦ συνεχρήσατο ὁ ἀπόστολος· πρὸς μὲν τοὺς αἱρετικοὺς ἐλαττοῦν τὴν θεότητα τοῦ μονογενοῦς παντὶ τρόπῳ βουλομένους, εἶπεν ἄν τις ὅτι εἴτε ὡς περὶ τοῦ Χριστοῦ λεγομένοις τούτοις ἐνταῦθα ἐχρήσατο, εὔδηλος ἡ ἀξία τῆς θεότητος τοῦ μονογενοῦς κατ' οὐδὲν ἐλαττουμένης τοῦ πατρὸς· εἴτε περὶ τοῦ πατρὸς εἰρημένοις παρὰ τῷ προφήτῃ περὶ τοῦ κυρίου λέγων ὁ

Digitized by Google

XIV. ἀπόστολος ἐχρήσατο τῇ μαρτυρίᾳ, καὶ οὕτω δέδεικται οὐχ ἑτέρας ὢν θεότητος ὁ υἱός· ὅπου γε συνεχρήσατο τῇ φωνῇ, ὡς ἂν ὁμοίως καὶ ἐπὶ τοῦ Χριστοῦ λέγεσθαι δυναμένῃ, κἂν περὶ τοῦ πατρὸς εἰρημένη τυγχάνῃ· τοῦτο μὲν οὖν πρὸς τοὺς αἱρετικοὺς εἴποι ἄν τις· τὸ δέ γε ἀληθὲς ἐκεῖνο ὅτι μὴ δὲ περὶ τοῦ πατρὸς εἴρηται ἰδικῶς μήτε περὶ τοῦ Χριστοῦ, ἀλλ' ἁπλῶς περὶ τῆς θείας φύσεως τῆς ἀνωτάτω καὶ πάντων αἰτίας, καὶ διὰ τοῦτο ὁ ἀπόστολος τῇ μαρτυρίᾳ ἐπὶ τοῦ Χριστοῦ κατεχρήσατο, ὁμοίως καὶ πατρὶ καὶ υἱῷ τὰ τοιαῦτα πρέπειν νομίζων, ὡς ἂν οὐδὲ μιᾶς οὔσης κατὰ τὴν φύσιν διαφερᾶς· παραπλησίως τοῦτο καὶ ἐπὶ τῆς πρὸς ἑβραίους τὸ, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι, περὶ τοῦ Χριστοῦ χρησάμενος φαίνεται.

v. 13. Μηκέτι οὖν φησὶν ἀλλήλους κρίνωμεν· τοῦτο μὲν εἴρηται κατὰ κοινοῦ· ἐντεῦθεν δὲ λοιπὸν πρὸς τοὺς ἀπὸ ἐθνῶν τείνει λόγον, ὡς ἂν ἀρκούντως τὰ πρὸς ἰουδαίους εἰτὼν· οὐ δίκαιον οὖν ὑμᾶς φησὶ κριτὰς καθίστασθαι τῶν ὁμοπίστων, μένοντας ἅπαντας τοῦ κριτηρίου τοῦ Χριστοῦ· ἀλλὰ τοῦτο κρίνατε μᾶλλον τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον· πολλὰ γὰρ οἱ ἀπὸ ἑλλήνων παρὰ ῥωμαίοις ἐπικρατέστεροι ὄντες καὶ τῷ πλήθει καὶ τῇ τῶν προσώπων ἀξιοπιστίᾳ, διεπράττοντο μᾶλλον ἐπὶ διασυρμῷ τῶν ἰουδαίων ἐπ' ὄψεσιν ἐκείνων ἐσθίειν ἐπιτηδεύοντες ταῦτα, ὧν δὴ μάλιστα ἀπέχεσθαι σπουδὴν εἶχον, ὡς ἐντεῦθεν ἐκείνας ταραττομένους, καὶ τῆς εὐσεβείας ἀφίστασθαι πολλάκις· καὶ μὴν καὶ τοῦ κοινοῦ συλλόγου καταρᾳθυμοῦντας ἐφ' ἑαυτῶν γίνεσθαι.

v. 14. Εἰπὼν ὅτι καλὸν τοῦτο μᾶλλον ὑμᾶς δοκιμάσαι τὸ μηδὲν ποιεῖν εἰς βλάβην τοῦ ἀδελφοῦ, μὴ δὲ τοιαῦτα πράτ-

Digitized by Google

ἓειν ἀ τῆς εὐσεβείας ἐκεῖνον ἐκτράπει, ἵνα μὴ δόξῃ τὴν XIV.
τῶν βρωμάτων παρατήρησιν καὶ αὐτὸς ἐπεισαγῶν ταῦτα λέ-
γειν, εἰκότως ἐπήγαγεν· οἶδα καὶ πέπεισμαι, ὅτι οὐδὲν κοι-
νὸν δι' αὐτοῦ, καὶ τὰ ἑξῆς· ἀναγκαίως καὶ τῇ διατάξει χρη-
σάμενος εἰς τὴν τοῦ λεγομένου πίστωσιν, καὶ τῇ δι' αὐ-
τοῦ προσθήκῃ ἀξιοπιστοτέραν τὴν ἀπόφασιν ἐργασάμενος· ὡς
ἂν ἀρκοῦντος τοῦ Χριστοῦ πάντα καθαρὰ δεικνύναι· ἀκά-
θαρτον οὖν φησὶν οὐδὲν εἶναί φημι τῶν εἰς βρῶσιν κειμέ-
νων, εἰ μή τις ἀσθένεια λογισμῶν τοιαύτην περὶ τῶν ἐδε-
σμάτων λαμβάνει τὴν γνώμην· οὕτως οὐ τὴν τοιαύτην ἀπο-
δέχομαι παρατήρησιν· ἀλλὰ τί ἐπήγαγεν; εἰ γὰρ διὰ βρῶ-
μα ὁ ἀδελφός σου λυπεῖται, οὐκ ἔτι κατὰ ἀγάπην περι-
πατεῖς· ἀλλ' ὅτι μὴ δίκαιόν σε φησὶ διὰ βρῶσιν λυπεῖν τὸν
ἀδελφὸν, δέον τῇ ἀγάπῃ καὶ μειζόνων ἀνέχεσθαι.

Ἄξιον μέν τοι κἀκείνους γελάσαι τῆς εὐηθείας ἐντεῦ- v. 17.
θεν, οἳ μετὰ τὴν ἀνάστασιν ἐσθίειν τε καὶ πίνειν ἡμᾶς
νομίζουσιν, σφόδρα δὴ ἐναντία ὑπολαμβάνοντες τῇ Παύλου
φωνῇ, οὐκ ἐν βρώσει καὶ πόσει τὴν βασιλείαν τοῦ Θεοῦ
περιορίζεσθαι φάσκοντος.

Μακάριος, φησὶν, ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει· v. 22.
φωνὴν τέθεικεν οὐκ ἐκείνοις ἀναγκαίαν μόνοις, ἀλλὰ γὰρ
καὶ πᾶσι τοῖς ὅτι δή ποτε τῶν εἰς ἀκρίβειαν συντεινόντων
μετιέναι βουλομένοις· ἐγὼ γάρ, φησιν, ἐκεῖνον μακάριστον
εἶναι τίθεμαι, ὃς ἐπειδ' ἄν τι δοκιμάσῃ δι' ἀκρίβειαν καὶ
ἀρετὴν μετιέναι, ἔχεται μὲν τοῦ ἔργου, οὐ μὴν ἑαυτὸν
ὑπερέχειν διὰ τοῦτο νομίζει τῶν οὐ τὸ αὐτὸ μετιόντων· κα-
λὸν γὰρ πάσης ἐκτὸς εἰήσεως τὴν ἀρετὴν ἐπιτελεῖν, μὴ
ὑπερέχειν ἑαυτὸν διὰ ταῦτα νομίζοντα, ἅπερ ἂν ἐπιθυμῇς
τῶν κρειττόνων μετίῃ· μὴ δὲ μὴν ἀποδοκιμάζοντα τὸν οὐκ

Digitized by Google

XIV. ἐν τοῖς αὐτοῖς ἐξεταζόμενον· τοῦτο μὲν οὖν εἴρηται κατὰ κανοῦ τῷ ἀποζόλῳ οὐκ ἐπὶ τῶν παρόντων μόνον, ἀλλὰ γὰρ ἐπὶ παντὸς οὗ τινος οὖν φυλάττεσθαι ἀξίου· πάλιν δὲ ἐπὶ τὸ προκείμενον ἀνάγει τὸν λόγον· ὁ δὲ διακρινόμενος ἐὰν φάγῃ κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν· ὁ δὲ διακρινόμενος, οὐκ ἐπὶ τῷ ὁμοπίστῳ· ὁ μὲν γὰρ διὰ πίστιν, φησὶν, ἁπλῶς καὶ ἀδιαφόρως μεταλαμβάνων τῶν εἰς βρῶσιν κειμένων, ἐσθίει κάλλιστα· ὁ δέ γε πρὸς τὸν ἀδελφὸν διαφερόμενος διὰ τοῦτο, καὶ μετὰ τῆς πρὸς ἐκεῖνον ἔριδος ἐσθίων, βλάπτεται μᾶλλον ἀφορμὴν τῆς πρὸς τὸν πλησίον ἔριδος τὸ βρῶμα ποιούμενος· ἔσικεν γὰρ οὐ διὰ πίστιν αὐτὸ ποιεῖν ἀδιαφόρως, ἀλλὰ φιλονεικίᾳ μᾶλλον τῇ πρὸς ἐκεῖνον· τὸ δὲ μὴ ἁπλότητι γινόμενον μετὰ πίστεως ἀλλ' ἔριδι τῇ πρὸς τὸν πλησίον, ὡμολογημένον ἁμάρτημα.

Cap. XV. v. 1. Τοῦτο πάλιν πρὸς τοὺς ἀπὸ ἐθνῶν λέγει, οἱ διέπτυσν τοὺς ἀπὸ ἰουδαίων τῆς νομικῆς παρατηρήσεως ἕνεκεν· ὑμεῖς τοίνυν φησὶν οἱ δυνατοὶ, δίκαιοι ἂν εἴητε ἀνέχεσθαι τῆς ἀσθενείας ἐκείνων, καὶ φέρειν αὐτοὺς ἀποζῆναι τῆς παλαιᾶς οὐ δυναμένους γνώμης· μὴ μὴν τὸ ἑαυτῶν περισκοπεῖτε μόνον, τοῦτο γάρ ἐστι τὸ ἑαυτοῖς ἀρέσκειν· ἄμεινον δὲ καὶ τὸ τοῦ ὁμοπίστου περισκοπεῖν, ὅπως ἂν βελτιωθείη κἀκεῖνος· καὶ παραδείγματι πείθων αὐτοὺς τοῦτο ποιεῖν, ἐπήγαγεν τὸ ἑξῆς.

v. 5. Λέγει μὲν ὅτι χαρήσεται ὑμῖν ὁ θεὸς πᾶσαν ὑπομονὴν καὶ παράκλησιν, ὥστε ὁμονοοῦντας πρὸς ἀλλήλους, τῆς ἐπὶ τὸν Χριστὸν ἔχεσθαι πίστεως, οὕτω τε σύμφωνον τῷ θεῷ καὶ πατρὶ τὴν ὑμνῳδίαν ἀπεδιδόναι· ἔστι δὲ καὶ τοῦτο παραίνεσις ἐν σχήματι προσευχῆς· εἰσὶν γὰρ αὐτοὺς εἶναι βού-

Digitized by Google

λεται, τοιούτους εἶναι ηὔξατο· ὅθεν οὐκ ἐξισάμενος τοῦ οἰ- XV.
κείου σκοποῦ πάλιν ἐπάγει.

Διὸ προσλαμβάνεσθε ἀλλήλους. v. 7.

Ὡς ε, φησὶ, δίκαιον ὑμᾶς μᾶλλον ἐφέλκεσθαι τοὺς ἀσθενεστέρους, λογιζομένους ὅτι δὴ καὶ ὑμᾶς ἀλλοτρίους ὄντας τῆς εὐσεβείας ὁ Χριστὸς οἰκειώσατο ἐπὶ τῷ τῆς μελλούσης παρὰ Θεοῦ δόξης τυχεῖν· καὶ ἐπειδὴ πολὺν ἐποιήσατο πρὸς τοὺς ἀπὸ ἐθνῶν τὸν λόγον, δυνατοὺς αὐτοὺς καλῶν, καὶ πίστιν ὀνομάζων τὴν περὶ τῶν βρωμάτων γνώμην αὐτῶν, ἵνα μὴ δόξῃ τὰ ἰουδαίων αὐτὰ ὡς ἂν οὐδενὸς ἄξια λόγου διασύρειν, ἐπήγαγεν τὸ ἑξῆς.

Λέγω δὲ Ἰησοῦν Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς· v. 8.

Τὰ μὲν οὖν προειρημένα, φησὶ, εἴρηταί μοι τὸ ἄπαιρον ἐλέγχοντι τῶν μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν βουλομένων ἀντέχεσθαι τῆς τῶν νομικῶν παρατηρήσεως· ἐπεὶ καὶ ἄγαν ἄτοπον εἶναι νενόμικα μετὰ τὴν τελειότητα τῶν κατὰ Χριστὸν, ἐπέκεινα παλινδρομεῖν· ἐπὶ διαβολῇ δὲ τῶν κατὰ τὸν νόμον ἔφην οὐδέν· τοὐναντίον γὰρ ἅπαντα ἐκεῖνα θαυμαστὰ καὶ μεγάλα εἶναι νενόμικα, εἰδὼς αὐτὰ διατάξεις ὄντα Θεοῦ, ὃς τὸν Ἀβραὰμ ἐκλεξάμενος ἐπαγγελίας πρὸς αὐτὸν ἐποιήσατο τοῦ ἐπιμελήσεσθαι μὲν τῶν ἐξ αὐτοῦ, ποιήσειν δὲ καὶ τὰ ἔθνη πάντα διὰ τῆς πρὸς αὐτόν τε καὶ τὸ αὐτοῦ σπέρμα οἰκειώσεως, τῶν παρ' αὐτοῦ τυχεῖν εὐλογιῶν· ὥστε ἅπαντας Θεόν τε τῶν ἁπάντων αἴτιον ἐπινώσκειν, καὶ πατέρα οἰκεῖον ἐπιγράφεσθαι τὸν Ἀβραὰμ, περὶ πολλοῦ τὴν πρὸς τὸ σπέρμα αὐτοῦ τιθεμένους οἰκείωσιν· ἔδει μὲν οὖν τὰς πρὸς Ἀβραὰμ ἐπαγγελίας πέρας λαβεῖν· περὶ τοῦ ἅπαντα τὰ ἔθνη δι' αὐτοῦ τε καὶ τοῦ σπέρματος αὐτοῦ τυχεῖν τῶν παρὰ τοῦ Θεοῦ εὐλογιῶν· ἐπειδὴ

Digitized by Google

XV. δὲ οἱ πλεῖστοι τῶν Ἰουδαίων οὐδὲν τῆς τοῦ Θεοῦ κηδεμονίας ἄξιον διεπράττοντο, οὐδὲ ἔκβασιν αἱ τοῦ Θεοῦ λαβεῖν ὑποσχέσεις διὰ τὴν ἐκείνων ἐδύναντο κακίαν, ὁ τοίνυν Χριστὸς ἐκεῖθεν κατὰ σάρκα τὸ γένος κατάγων, ἠνέσχετο δέξασθαι τὴν περιτομήν· καί τοι γε οὐδὲ μίαν ἔχων ἀνάγκην κατὰ τοὺς λοιποὺς Ἰουδαίους, οἳ διὰ τὴν οἰκείαν ἀγνωμοσύνην ἀναγκαίως ἐπὶ τῆς σαρκὸς τοῦ τρόπου τὸν ἔλεγχον φέρουσι· τίνος γὰρ καὶ ἕδει τῶν ἔξωθεν τῷ Χριστῷ ἐπὶ τῆς οἰκείας γνώμης τάς τε ὑποσχέσεις βεβαιοῦντι καὶ τοῦ νόμου πληροῦντι τὸ βούλημά; ἀλλὰ καὶ τοῦτο εἵλετο, ὥστε ἔχειν τῆς πρὸς τὸν προπάτορα ἐπαγγελίας τὸ σύμβολον, ἵνα ὅτ' ἂν ἅπαντες ἐπὶ Χριστὸν πιστεύσωσι, τὸν ἐκ τοῦ Ἀβραὰμ τὸ γένος κατάγοντα, ἐπαγόμενον μετὰ τῆς κατὰ τὴν φύσιν οἰκειότητος καὶ τὸ σύμβολον τῆς πρὸς ἐκεῖνον ὑποσχέσεως, ἀληθῆ καὶ βεβαίαν τὴν ἔκβασιν δεχομένης τὸ τοὺς ἀπὸ ἐθνῶν ἐπὶ τὸν Χριστὸν ἐκείνου σπέρμα τυγχάνοντα πιστεύσονται, ὁμοῦ τε τὸν Ἀβραὰμ ἐπιγράφεσθαι πατέρα, καὶ διὰ τῆς πρὸς τὸν ἐξ αὐτοῦ οἰκειώσεως τῶν παρὰ τοῦ Θεοῦ καλῶν ἀπολαύοντας, βεβαιοῦν τῶν εἰρημένων τὴν ἀλήθειαν· εἵλετο, φησὶν, ὁ Χριστὸς τὴν περιτομὴν δεξάμενος, ὥσπερ τις διάκονος γενέσθαι τῶν ὑποσχέσεων ἐπὶ τούτῳ δοθεισῶν τῷ συμβόλῳ· ὥστε τοῦ Θεοῦ φανῆναι τὴν ἀλήθειαν πέρας τῆς πρὸς τοὺς πατέρας ὑποσχέσεως οὕτω λαμβανούσης· οὐκοῦν Ἰουδαῖοι μὲν ἐπειδ' ἂν ἐκεῖθεν Χριστῷ πιστεύσωσιν, ἀκολούθως ἀπὸ τῶν καλῶν ἐπὶ τὰ κρείττω μεθίστανται· οἱ δέ γε ἀπὸ ἑλλήνων προσιόντες, φιλανθρωπίᾳ Θεοῦ τὴν πρὸς ταῦτα οἰκείωσιν δέχονται· ταῦτα μὲν οὖν εἰς σύστασιν ἔφη τῶν κατὰ νόμον, ἐπὶ τῷ δεῖξαι ὅση τίς ἐστιν τῶν ἑλληνικῶν καὶ τῶν κατὰ ἰου-

Digitized by Google

δαίους ἡ διαφορὰ, οὓς τε μὴ ἀπὸ τῶν προειληφότων διασύρειν τὰ τοῦ νόμου δοκεῖν· ἀκολούθως δὲ πάλιν ἀσφαλίζεται τὸ μὴ ἰουδαίοις ἀφορμὴν παρασχεῖν κατὰ τῶν ἀπὸ ἐθνῶν ὡς ἂν πρόσφατον διεγεμένων. XV.

Ταύταις ἐχρήσατο ταῖς μαρτυρίαις, ὥστε δεῖξαι ὅτι ἀεὶ καὶ παρὰ τοῖς προφήταις δεδοκίμασται τὰ ἔθνη ἀξιόπιστα εἶναι πρὸς τὸ τῆς εὐσεβείας μάθημα, εἰ δὴ βούλοιντο, εἴ γε καὶ εὐχαριστεῖν ἐπ' ὄψεσι ταῖς ἐκείνων ὁ προφήτης ἐπαγγέλλεται, καινωνεῖν τε τῆς εὐφροσύνης τῷ λαῷ προστάττονται καὶ ὕμνους ἀναπέμπειν Θεῷ. v. 9.

Τολμηρότερον δὲ φησὶν ἔγραψα ὑμῖν ἀπὸ μέρους· καλῶς τὸ ἀπὸ μέρους, ἵνα καθόλου δόξῃ τοῦτο ἀποφαίνεσθαι περὶ ἑαυτοῦ, καὶ τὴν οἰκείαν ἐκβάλλειν οὕτω διδασκαλίαν, ἐπείπερ οὐδὲ ποιεῖν αὐτὸ ἐχρῆν, εἰ δὴ καθόλου τολμηρὸν ἐπεχείρει τοῖς μὴ προσήκουσι· νυνὶ γὰρ τῇ τοῦ ἀπὸ μέρους προσθήκῃ, καὶ τὸ ἀναγκαῖον τῆς ἑαυτοῦ διδασκαλίας ἐνεδείξατο, καὶ τὴν αἰτίαν σαφῆ πεποίηκεν δι' ἣν τολμηρότερον ἔφη γεγραφηκέναι, οὐ τῷ αὐτοὺς διδάσκειν, ἀλλὰ τῷ μετὰ Πέτρον (1)· δεικνὺς γοῦν τὸ τοῦ πράγματος ἀναγκαῖον, ὡς ἐπαναμιμνήσκων ὑμᾶς, φησὶ· καλῶς τὸ ἐπαναμιμνήσκων· οὕτω γάρ φησι ἀποδέχεσθαι ἐκεῖνα καὶ θαυμαστὰ εἶναι ἡγοῦμαι, ὥστε οὐδὲ διδάσκειν ἐπαγγέλλεται, ἀλλ' εἰς ὑπόμνησιν ἄγειν ὧν μεμαθήκατε· καὶ δεικνὺς ὅτι ἁρμόττον αὐτῷ τὸ ποιεῖν, τοῦτο ἐπήγαγεν, διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ, καὶ τὰ ἑξῆς· τῆς παρὰ τοῦ Θεοῦ χάριτος ἠξιώθην, φησὶν, εἰς τὸ ὑπηρετεῖσθαί με τῷ Χριστῷ, τοῖς v. 15.

(1) Adnotemus praedicationem Petri apud Romanos; contra illorum scilicet insignem impudentiam qui Petrum venisse Romam negant.

Digitized by Google

XV. ἀπανταχόσε ἀνθρώποις διαγγέλλοντα τῶν δι' αὐτοῦ παρασχεθέντων ἡμῖν τὸ μέγεθος, ἐπὶ τὸ κἀκείνους πιστεύσαντας καὶ τῆς τοῦ πνεύματος ἀξιωθέντας χάριτος, τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν· ἀναγκαίως οὖν καὶ τοῦτο ἐγχειρισθεὶς κέχρημαι τῇ πρὸς ὑμᾶς διδασκαλίᾳ, οὐ καινόν τι διδάσκειν ὑπισχνούμενος, οὐδὲ ὅπερ οὐκ ἔγνωτε παρὰ Πέτρου, εἰς ὑπόμνησιν δὲ τῶν προειληφότων ἄγων ὑμᾶς.

v. 22. Διὰ τοῦτο, φησίν, ἐγὼ πρὸς ὑμᾶς ἐλθεῖν ἐπειχόμην, ἐπειδὴ ὑμῖν μὲν ἀρκοῦντα τῆς εὐσεβείας διδάσκαλον ἀπέστειλεν ὁ Θεὸς τὸν Πέτρον, ἐμὲ δὲ περὶ τὴν τῶν λειπῶν ὠφέλειαν ἀσχολεῖσθαι ἠβούλετο.

v. 24. Τὸ ἀπὸ μέρους εἶπεν ὡς καὶ αὖθις πρὸς αὐτοὺς γενησόμενος, ἐπείπερ οὐχ ἅπαξ μόνον εἰς τὴν Ῥώμην ἀφίκετο ὁ μακάριος Παῦλος.

v. 28. Καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦτον, ἀντὶ τοῦ πληρώσας αὐτὸν λέγει· ἵνα εἴπῃ, ἀπαρομίσας καὶ δεδωκὼς· εἰ γὰρ καὶ τῇ γνώμῃ τῶν δεδωκότων τέλειος ἦν ὁ καρπὸς, ἀλλὰ τῇ χρείᾳ ἀτελὴς, οὔπω δεξαμένων ὧν περ ἕνεκεν ἐδόθη· θαυμαστὴ μὲν οὖν ἡ πρόγνωσις τοῦ μακαρίου Παύλου, οὕτως ἀριβῶς ὑποσχομένου τὸ ἀπελεύσεσθαι πρὸς αὐτοὺς, καὶ ἀπ' αὐτῶν εἰς τὴν Σπανίαν· καὶ τοῦτο οὐκ εἰς ἅπαξ ἐμφήναντος ἔσεσθαι, ὅπερ οὖν τὸ ἀπὸ μέρους ἐμήνυσεν· ὑπερβολὴν δὲ ἔχει θαύματος τὸ ἑξῆς.

v. 29. Οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς.

Σαφῶς δείκνυσιν ὡς καὶ τὸν τρόπον ἠπίστατο καθ' ὃν ἔμελλεν ἀπιέναι πρὸς αὐτοὺς· τοῦτο δὲ ἦν τὸ δέσμιον αὐτῶν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Ῥώμην ὑπὲρ τῆς εὐσεβείας ἀχθῆναι· ἦν δὲ καὶ τοῦτο οὐ μικρὸν εἰς ἀπόδειξιν τῆς γνώσεως, ἣν περὶ τῶν μελλόντων ἐκέκτητο.

Digitized by Google

Ὁ δὲ Θεὸς τῆς εἰρήνης. XV. v. 33.

Ὡς αὐτὸς ἐν πολλοῖς ἐζετάζεσθαι μέλλων θρύβεις, παρακαλέσας τε αὐτοὺς εἰκότως καὶ προσεύχεσθαι, τούτου γε ἕνεκεν ἐπεύχεται ἐκείνοις τὸ τῆς εἰρήνης ἀπολαύειν ἀεὶ· δεικνὺς ὅτι κἂν αὐτὸς ἐν τούτοις ὑπὲρ ἑτέρων ᾖ, τοὺς γοῦν λοιποὺς μετὰ πάσης ἀνέσεως τὴν εὐσέβειαν μετιέναι εὔχεται.

Ἀσπάσασθε Ἀπελλῆν τὸν δόκιμον ἐν κυρίῳ. Cap. XVI. v. 10.

Ἔοικεν οὗτος εἶναι οὗ καὶ ἐν ταῖς πράξεσιν ὁ μακάριος μέμνηται Λουκᾶς, ὡς ἐλλογίμου καὶ ἀπὸ τῆς γνώσεως τῶν θείων γραφῶν συνέχοντος τοὺς ἰουδαίους ἐν τοῖς ἐλέγχοις.

Καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. v. 18.

Τὸ μὲν τῆς εὐλογίας, ἵνα εἴπῃ τῆς εὐφημίας καὶ τῆς κολακείας, ἣν ἐπὶ ἀπάτῃ πολλάκις ἐπαιῶυτο· λέγει δὲ περὶ τῶν ἀπὸ ἰουδαίων οἳ ἀπανταχόσε περιιόντες τοὺς ἀπὸ ἐθνῶν πιστεύοντας τῆς νομικῆς ἔχεσθαι παρατηρήσεως πείθειν ἐπειρῶντο· οὓς αὐτάρκως διέσυρεν τῷ εἰπεῖν ὅτι τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ, εἴ γε ὑπὲρ τοῦ ἀπατῶντας δύνασθαι τὴν ἑαυτῶν γαστέρα πληροῦν πάντα ποιοῦσιν· ἔδειξεν δὲ κἀν τούτῳ ὅτι σφόδρα ἐπαινεῖ τὰ Πέτρου διδάγματα, ὅπου γε ἐπ' ἐκείνων αὐτοὺς βούλεται μένειν, καὶ ἀποστρέφεσθαι τοὺς παρ' ἐκεῖνα τί διδάσκειν ἐπιχειροῦντας.

Οἰκονόμον τῆς πόλεως καλεῖ τὸν βιωτικήν τινα ἐγκεχειρισμένον φροντίδα παρὰ τῶν ἔξωθεν ἀρχόντων ἐπὶ διορθώσει τῆς πόλεως· ἣν δὲ καὶ οὗτος τῶν πεπιστευκότων δηλονότι Χριστῷ. v. 23.

Digitized by Google

MONITUM.

Ante quam huic imponam tomo coronidem, placet fragmenta duo, latinum unum, alterum graecum, ne diutius in codicibus lateant, divulgare. Ferrandi diaconi carthaginiensis contra Arianos disputationem, cuius nonnisi segmentum breve in gallandiana bibliotheca extabat, in tertio Scriptorum veterum volumine, ope codicis casinensis, luce donavi. Praeterea tamen memineram me vidisse olim Mediolani, in ambrosiana bibliotheca, Ferrandi eiusdem scriptum de septem regulis innocentiae ad Reginum comitem, non contemnenda parte in fine auctum, quae in gallandiana pariter bibliotheca T. XI. p. 373. non legebatur. Quum ergo ante hos dies ad nobilem veteremque amicum litteras Mediolanum dedissem, ut id fragmentum a Bibliothecarii benignitate mihi impetraret, voti compos fui: etenim iussu ipsius Bibliothecarii, cui debitas gratias ago, complementum id ferrandiani operis ad me transmissum fuit; nempe a postremis editionis verbis usque ad ipsius operis clausulam, prout certe in illo codice conservatum est. Et quidem Chliffletius iamdudum dixerat hoc Ferrandi opus valde perturbatum ac deformatum mendis *se comperisse; quo nunc minus miremur partem eius deperditam, in ambrosiano demum codice repertam videri. Illud tamen me nonnihil suspensum tenet, quod de rege, non de duce vel comite, in hoc complemento semper sermo est.*

Digitized by Google

FERRANDI DIACONI

COMPLEMENTUM OPERIS

DE SEPTEM REGULIS INNOCENTIAE HACTENUS DESIDERATUM.

Omnis abusionis gradus est rex iniquus. Etenim regem non iniquum, sed correptorem iniquorum esse oportet : unde in semetipso nominis sui dignitatem custodire debet; nomen enim regis intellectualiter hoc retinet, ut subiectis omnibus rectoris officium procuret. Sed qualiter alios corrigere poterit, qui proprios ne iniqui sint non corrigit? Quoniam iustitia regis exaltatur solium et veritas, solidantur gubernacula populorum. Iustitia vero regis est, neminem iniuste per potentiam opprimere, sine acceptione personarum inter virum et proximum suum iudicare, advenis et pupillis et viduis defensorem esse, furta cohibere, adulteria punire, iniquos non exaltare, inpudicos et striones * non nutrire, impios de terra perdere, parricidas et periurantes vivere non sinere, ecclesias defendere, pauperes eleemosynis alere, iustos supra regni negotia constituere, senes et sapientes et sobrios consiliarios habere, magorum et ariolorum pythonis sacrorumque * superstitionibus non intendere, iracundiam differre,

* histriones.

* ita cod.

Digitized by Google

patriam fortiter et iuste contra adversarios defendere, per omnia in Domino vivere, prosperitatibus non elevare animum, cuncta adversa patienter ferre, fidem catholicam in Deum habere, filios suos non sinere impie agere, certis horis orationibus insistere, ante horas congruas non gustare cibum. Vae enim terrae, cuius rex est puer, et cuius principes mane comedunt! Haec regni prosperitatem in praesenti faciunt, et regem ad caelestia regna meliora perducunt. Qui vero secundum hanc legem non dirigat *, multas nimirum adversitates imperii tolerat. Idcirco enim saepe pax populorum rumpitur, et offendicula etiam de regno suscitantur: terrarum quoque fructus diminuitur, et servitia populorum praepediuntur, multi etiam dolores prosperitatem regni inficiunt, carorum et liberorum mortes tristitiam conferunt, hostium incursus provincias undique vastant, bestiae armentorum et pecorum greges dilacerant, tempestates veris undique et hiemis terrarum foecunditatem et maris ministeria prohibent, et aliquando fulminum ictus segetes et arborum flores et pampinos exurunt. Super omnia vero regis iniustitia non solum praesentis imperii faciem fuscat, sed etiam filios suos et nepotes ne post se regni hereditatem teneant, obscurat. Propter enim piaculum Salomonis regnum domus Israel Dominus de manibus filiorum eius dispersit. Et propter iustitiam David regis lucernam de semine

* *cod.* disipat.

Digitized by Google

eius in Hierusalem reliquit. Ecce quantum iustitia regis saeculo valet! Intuentibus perspicue patet pax populorum, tutamentum patriae, immunitas plebis, monumentum gentis, cura langorum *, gaudium hominum, temperies aëris, serenitas maris, terrae foecunditas, solatium pauperum, hereditas filiorum, et sibimet ipsi spes futurae beatitudinis. Attamen sciat quod sicut in throno hominum primus constitutus est, sic et in poenis, si iustitiam non fecerit, primatus * habiturus est. Omnes namque quoscumque peccatores sub se in praesenti habuit, supra se modo plagali in illa futura poena habebit.

* ita cod.

* ita cod.

Explicit liber Ferrandi diaconi
ad Reginum comitem.

MONITUM ALIUD.

Asclepiodoti, antiqui tactici, capitula duodecim in mediceo codice observavit Bandinius (catalog. gr. T. II. p. 229.) qui et eorum titulos edidit: ipsum vero opusculum ex eodem codice sumpserat olim Leo Allatius, cuius apographum quum ego Romae viderim, inde mihi priora duo capitula exscripsi; necnon sententiarum militarium syllogem, quae in allatiani scripti calce subtexitur. Hoc ergo nec inutile nec invenustum excerptum a me nunc, lector, accipito.

Digitized by Google

ΑΣΚΛΗΠΙΟΔΟΤΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΤΕΧΝΗ ΤΑΚΤΙΚΗ.

ΚΕΦ. Α.

Περὶ τῆς φαλάγγων διαφορᾶς.

Τῆς τελείας παρασκευῆς πρὸς πόλεμον διττῆς οὔσης, χερσαίας τε καὶ ναυτικῆς, περὶ τῆς χερσαίας τὰ νῦν λεκτέον· ταύτης τοίνυν τὸ μέν ἐστι μάχιμον, τὸ δὲ εἰς τὴν τούτου χρείαν ὑπηρετοῦν, οἷον ἰατρῶν καὶ σκευοφόρων καὶ τῶν ὁμοίων· τῆς δὲ μαχίμου τὸ μέν ἐστι πεζὸν, τὸ δ' ὀχηματικόν· τὸ μὲν γὰρ ὅσοι χρῆται πρὸς τὴν μάχην, τὸ δὲ ἐπί τινος ὀχεῖται· τοῦ δὲ δὴ πεζοῦ, τὸ μέν ἐστιν ὁπλιτῶν σύστημα, τὸ δὲ πελταστῶν, τὸ δὲ τῶν καλουμένων ψιλῶν· τὸ μὲν οὖν τῶν ὁπλιτῶν, ἅτε ἐγγύθεν μαχόμενον, βαρυτάτῃ κέχρηται σκευῇ· ἀσπίσι τε γὰρ μεγίσταις, καὶ θώραξι καὶ ταῖς κνημίσι σκέπεται καὶ δόρασι μακροῖς, κατὰ τὸν ῥηθησόμενον μακεδόνιον τρόπον· τὸ δὲ τῶν ψιλῶν τούτοις ἀπεναντίας κουφοτάτῃ κέχρηται τῇ σκευῇ, διὰ τὸ πόρρωθεν βάλλειν, οὔτε προκινημίσιν, οὔτε θώραξι κοσμούμενον, ἀκοντίοις δὲ καὶ σφενδόναις, καὶ ὅλως τοῖς ἐξ ἀποστήματος λεγομένοις τοξεύμασιν· τούτων δὲ ἐν μέσῳ πῶς ἐστὶ τὸ πελταστικὸν σύστημα· ἥ τε γὰρ πέλτη μικρὰ τίς ἐστιν ἀσπιδίσκη καὶ κούφη· τά τε δόρατα τολὺ τῶν ὁπλιτῶν μεγέθει λειπόμενα· κατὰ τὰ αὐτὰ δὴ καὶ τῆς ὀχηματικῆς δυνάμεως τρεῖς εἰσὶ διαφοραὶ· ἡ μὲν γάρ ἐστιν ἱππικὴ, ἡ δὲ δι' ἁρμάτων ἐπιτελεῖται, ἡ τρίτη δὲ δι' ἐλεφάντων· ἀλλ' ἁρμάτων μὲν καὶ ἐλεφάντων, ὡς οὐκ εὐφυῶν εἰς μάχην, ὁ λόγος εἰς ὕστερον ἀναβεβλήσθω· τὴν δὲ ἱππικὴν καὶ παρὰ πολλοῖς καὶ χρησίμως ἐρῶν ταῖς μάχαις νῦν διελοῦμεν· ἔστι γὰρ αὐτῆς εἴδη τρία· τὸ μέντοι ἐγγύθεν μαχόμενον, τὸ δὲ πόρρωθεν, τὸ δὲ μέσον· καὶ τὸ μὲν ἐγγύθεν ὁμοίως βαρυτάτῃ κέχρηται σκευῇ, τούς τε ἵππους καὶ

Digitized by Google

τοὺς ἄνδρας πανταχόθεν θώραξι περισκέπον, μακροῖς μὲν χρώμενον καὶ αὐτὸ τοῖς δόρασιν· ὁ καὶ δορατοφόρον, καὶ τοῦτο καὶ ξυςοφόρον προσαγορεύεται, ἢ θυραιοφόρον, ὅτ' ἂν καὶ ἀσπίδας ἔνιοι φορῶσιν παραμήκεις διὰ τὸ συνεπισκέπεσθαι καὶ τὸν ἵππον· τὸ δὲ πόρρωθεν μαχόμενον τοξοτῶν τε καὶ σκυθῶν λέγεται· μέσον δὲ τὸ τῶν καλουμένων ἀκροβολιστῶν· οἱ δὲ τοῖς ἄκροις ἐπικοινωνοῦντες, οἱ μὲν τόξοις, οἱ δὲ ἀκοντίοις μάχονται, καὶ τῇ αὐτῇ χρώμενοι σκευῇ, οἱ μὲν οὕτως οἱ δὲ ἐκείνως· ὧν μὲν ἔνιοι μετὰ τὴν ἀκόντισιν ἐγγύθεν μάχονται· οὓς ἰδίως ἐλαφροὺς ὀνομάζουσιν· ὅτ' ἂν δὲ πόρρωθεν ἀκοντίζωσι μόνον, ταραντίνους· εἰσὶν οὖν αἱ πᾶσαι τῶν τάξεων διαφοραὶ, ὧν ἑκάστη φάλαγξ προσαγορεύεται, περιέχουσα συστήματα κατὰ ἀριθμὸν ἐπιτήδειον, καὶ ἡγεμόνας αὐτῶν πρὸς τὸ ῥᾳδίως ποιεῖν τὰ παρακελευόμενα πρὸς τὴν ἐφήμερον γυμνασίαν τε καὶ ἄσκησιν τῆς πορείας καὶ στρατοπεδεύσεως καὶ παρατάξεως καὶ πρὸς τοὺς ἐπ' ἀληθείας ἀγῶνας.

ΚΕΦ. Β.

Περὶ μερῶν τῆς φάλαγγος τῶν ὁπλιτῶν τῆς τε ὀνομασίας αὐτῶν καὶ τοῦ ἀριθμοῦ.

Ἀναγκαῖον δὲ πρῶτον τὴν φάλαγγα καταλοχῆσαι· τοῦτο δέ ἐστι καταμερίσαι εἰς λόχους· ὁ λόχος ἐστὶν ἀριθμὸς ἀνδρῶν εἰς σύμμετρα διαιρῶν τὴν φάλαγγα· σύμμετρα δέ ἐστι θέμενα τὰ μέρη ἃ μηδὲν τὴν φάλαγγα πρὸς τὴν μάχην λυμαίνηται· δι' ὃ τὸν ἀριθμὸν τοῦ λόχου οἱ μὲν ὀκτὼ, οἱ δὲ δέκα, οἱ δὲ δύο καὶ δέκα ἀνδρῶν πεποιήκασιν· ἕτεροι δὲ ἓξ καὶ δέκα, πρὸς τὸ συμμέτρως ἔχειν τῆς φάλαγγος, εἰς τε τὸ διπλάσια τὰς ῥηθησομένας χρείας ἐπὶ δύο καὶ τριάκοντα ἄνδρας, καὶ εἰς τὸ συναιρεῖσθαι εἰς ἥμισυ ἐπ' ἄνδρας ὀκτὼ· οὐδὲν γὰρ ἔμπροσθεν ἔσται τοῖς ὄπισθεν μαχομένοις ψιλοῖς ἀκοντίζουσιν ἢ σφενδονῶσιν ἢ καὶ τοξεύουσιν· ὑπερβήσονται γὰρ τὸ τῆς φάλαγγος βάθος· ἐκαλεῖτο δὲ ὁ λόχος πάλαι καὶ στίχος καὶ συνωμοτιὰ καὶ δεκα-

Digitized by Google

νία· καὶ ὁ μὲν ἄριστος καὶ ἡγεμὼν στίχου, λοχαγός· ὁ δὲ ἔσχατος, οὐραγός· ὕστερον δὲ μεταταχθεὶς ὁ στίχος διαφόρους ἔσχεν τῶν μερῶν ἐπωνυμίας· τό τε γὰρ ἥμισυ ἡμιλόχεον ὠνομάσθαι καὶ διμοιρία· τὸ μὲν ὡς πρὸς τὸ τῶν δέκα ἐξ ἀνδρῶν πλῆθος, τὸ δὲ ὡς πρὸς τὸ τῶν δώδεκα· καὶ ὁ ἡγεμὼν ἡμιλοχίτης καὶ διμοιρίτης· καὶ τὸ τέταρτον ἐνωμοτιὰ καὶ ἐνωμοτάρχης· ὁ ἡγούμενος· ἐπιστάτης δὲ ὁ ἑπόμενος· ὥστε καθόλου τὸν στίχον εἶναι πρωτοστάτην, εἶτα ἐπιστάτην· εἶθ' ἑξῆς πρωτοστάτην, εἶτα ἐπιστάτην, καὶ τοῦτο παρ' ἕνα μέχρις οὐραγοῦ καθὰ ὑπογέγραπται. Ὅταν δὲ λόχῳ λόχος παρατεθῇ, ὥστε λοχαγὸν λοχαγῷ, καὶ οὐραγὸν οὐραγῷ, καὶ τοὺς μεταξὺ τοῖς ὁμοζύγοις παρίστασθαι, συλλοχισμὸς ἔσται τὸ τοιοῦτον· οἱ δεσμόζευγοι τῶν λόχων πρωτοστάται κεκλήσονται· ὁ δὲ ἐκ πάντων συλλοχισμός, φάλαγξ· ἧς τὸ τῶν λόχων τάγμα μέτωπον καὶ μῆκος καὶ πρόσωπος καὶ στόμα καὶ παράταξις καὶ πρωτολοχία καλεῖται καὶ πρῶτον ζυγόν· ὁ δὲ κατόπιν κείμενος παρὰ τοῦτον στίχος τῶν ἐπιστατῶν κατὰ μῆκος τῆς φάλαγγος, δεύτερον ζυγόν· καὶ ὁ τούτῳ παράλληλος ὑπ' αὐτόν, τρίτον καὶ τέταρτον· εἴη τὸ ὑπὸ τοῦτον ζυγὸν καὶ πέμπτον, ὡσαύτως καὶ ἕκτον, καὶ ἑξῆς μέχρις οὐραγοῦ· κοινῶς δὲ πᾶν τὸ μετὰ τὸ μέτωπον τῆς φάλαγγος, βάθος ἐπονομάζεται· καὶ ὁ ἀπὸ λοχαγοῦ ἐπ' οὐραγόν, στίχος κατὰ βάθος. Καὶ οἱ μὲν τούτῳ ἐπ' εὐθείας στοιχεῖν λέγονται· οἱ δὲ τὸ κατὰ μῆκος στίχῳ ζυγεῖν· διαιρεθείσης δὲ τῆς φάλαγγος δίχα κατὰ τὸ μῆκος, τὸ μὲν ἥμισυ κέρας προσαγορεύεται δεξιόν τε καὶ λαιόν· αὕτη δὲ ἡ διχοτομία ὀμφαλός τε καὶ ἀραρός· ὁπόσον δὲ δεῖ τὸ πλῆθος εἶναι τῆς φάλαγγος, οὐκ εὔλογον διορίζειν· πρὸς γὰρ ἣν ἕκαστος ἔχει παρασκευὴν τοῦ πλήθους καὶ τὸν ἀριθμὸν διοριστέον· πλὴν ἐπιτήδειον ἑκάστοτε εἶναι δεῖ πρὸς τοὺς μετασχηματισμοὺς τῶν ταγμάτων· λέγω δὲ τὰς συναιρέσεις ἥτ' αὐξήσεις· καὶ τοὺς ἀρτιάκις ἀρτίους μᾶλλον ἐκλεκτέον, ὡς μέχρι μονάδος διαιρεῖσθαι δυναμένους· καὶ τούς γε πλείονας τῶν τακτικῶν εὑρήσεις πεποιηκότας τὴν φάλαγγα τῶν ὁπλιτῶν μυρίων ἑξάκις χιλίων τριακοσίων ὀγδοήκον-

Digitized by Google

φα τεσσάρων, ὡς δέχα διαιρουμένην μέχρι μονάδος· ταύτης δὲ ἡμισείαν τὴν τῶν ψιλῶν· ὑποκείσθω δ' οὖν καὶ ἡμῖν τοσούτων ἀνδρῶν εἶναι τὴν φάλαγγα, τὸν δὲ λόχον ἓξ καὶ δέκα· ἔσονται δὲ οἱ μὲν δύο λόχοι δίλοχία, καὶ ὁ ἐπ' αὐτοῖς ἄρχων δίλοχίης· οἱ δὲ τούτων διπλάσιοι τάξις· καὶ ὁ ἡγεμὼν ταξίαρχος μὲν πάλαι, νῦν δὲ καὶ ἑκατοντάρχης· οἱ δὲ τῆς τάξεως διπλάσιοι, σύνταγμα· καὶ ὁ ἐπὶ τούτοις, συνταγματάρχης· τοὺς δὲ ἑκτάκτους τὸ μὲν παλαιὸν ἡ τάξις εἶχεν, ὡς καὶ τοὔνομα σημαίνει, διότι τῆς τάξεως ἐνάριθμοι ὑπῆρχον, στρατοκήρυκα, σαλπιγκτὴν, ἡμιάφορον, ὑπηρέτην, οὐραγόν· τὸν μὲν ὅπως τῇ φωνῇ σημαίνοι τὸ προσταττόμενον, τὸν δ' ὁτίῳ, εἰ μὴ φωνῆς κατακούειν ἐνδέχοιτο διὰ θόρυβον· τὸν δὲ τῇ σάλπιγγι ὁπότε δὲ μηδὲ σημεῖον βλέποιεν διὰ κονιορτὸν, καὶ τὸν ὑπηρέτην, ὥστε τι παρακομίσαι τῶν εἰς τὴν χρείαν· τό γε μὲν ἔκτατον οὐραγὸν πρὸς τὸ ἐπανάγειν τὴν ἀπολειπόμενον ἐν τῇ τάξει· ὀκτὼ γὰρ ἀνδρῶν ὄντος τοῦ λόχου, ὀκταλοχία τὸ τετράγωνον ἐποίει σχῆμα· ὅπερ διὰ τὴν πανταχόθεν ἰσότητα μόνον τῶν μερῶν τῆς φάλαγγος ὁμοίως κατακούειν τῶν προσταττομένων δυνάμενον εὐλόγως τάξις ἐπωνόμαστο· διπλασιασθέντος δ' ὕστερον τοῦ λόχου ἡ συνταξία τὸ τετράγωνον ἀπετέλεσεν, δι' ἃ εἰς ταύτην μετῆλθον οἱ ἕκτατοι· τὸ δὲ διπλάσιον δὲ τοῦ συντάγματος πεντακοσιαρχίαν, καὶ τὸν ἐπὶ τούτῳ πεντακοσιάρχην ὠνόμασαν· τὸ δὲ τούτου διπλάσιον, χιλιαρχίαν· καὶ τὸν ἡγεμόνα, χιλιάρχην· τὰς δὲ δύο χιλιαρχίας πάλαι μὲν κέρας καὶ τέλος, καὶ τελάρχην τὸν ἡγούμενον· ὕστερον δὲ μεραρχίαν καὶ μεράρχην· ὅθ' ὃ καὶ τὸ τούτου διπλάσιον φαλαγγαρχία καὶ νῦν ἔτι καλεῖται· πλὴν καὶ ἀποτομὴ κέρατος· καὶ ὁ ἡγεμὼν πάλαι μὲν στρατηγὸς, νῦν δὲ φαλαγγάρχης· τὸ δὲ τῆς φάλαγγος ἤτοι ἀποτομῆς διπλοῦν, διφαλαγγία καὶ κέρας· καὶ ὁ ἐπ' αὐτῇ, κεράρχης· αὐτὸ δὲ τὸ ἐκ τῶν δυοῖν κεράτων ἡ φάλαγξ, ἐφ' ᾗ ὁ στρατηγὸς κέρατα ἔχουσα δύο φαλαγγαρχίας ἤτοι ἀποτομὰς δ', κεραρχίας η', χιλιαρχίας κ', πεντακοσιαρχίας λβ', συνταξιαρχίας ξδ', ταξιαρχίας ρκθ', τετραρχίας σνς', διλοχίας φιβ', λόχους ακθ'.

Digitized by Google

ΤΑ ΕΙΣ ΥΣΤΕΡΟΝ ΕΚΒΛΗΘΕΝΤΑ

ΑΠΟ ΑΛΛΩΝ ΒΙΒΛΙΩΝ ΓΝΩΜΙΚΑ (1).

Τοιαύτη τίς ἐστιν ἐν τοῖς τῶν πολέμων καιροῖς ἡ τοῦ συμφεροντος εὕρεσις. Ὁ σοὶ συμφέρον, τοῖς πολεμίοις ἐστὶν ἀσύμφορον· καὶ ὁ παρ' ἐκείνοις ὠφέλιμον, τοιοῦτο τοῖς σοῖς ἐναντιοῦσθαι φιλεῖ. Οὐδὲν τοίνυν κατὰ τῶν ἐκείνων γνώμην ἢ ποιεῖν ἢ παραιτεῖσθαι συμφέρει ἡμῖν· Τοῦτο δὲ μόνον πράττειν, ὅπερ τοῖς ἡμετέροις χρήσιμον εἶναι νομίζομεν· εἰ γὰρ ἅπερ ἐκεῖνος ὑπὲρ ἑαυτοῦ πράττει, ταῦτα σὺ μιμήσῃ, σαυτὸν ἀδικεῖς· ὥσπερ καὶ τὸ ἀνάπαλιν, εἴ τι σὺ πράττεις συμφέρον σαυτῷ, τοῦτο βλάψει τὸν πολέμιον τὰ σὰ μιμεῖσθαι βουλόμενον. Πλείστας τάξαντες φάλαγγας, πλείοσιν ἐπαγωγαῖς κατὰ τῶν πολεμίων χρησώμεθα, τὸ τοῦ ποιητοῦ * μιμησάμενοι· ῥεῖα δὲ κ' ἀκμῆτες κεκμηκότας ἄνδρας ἀϋτῇ ὤσειαν ποτὶ ἄστυ· διὰ πολλὰς γὰρ καὶ οὐ τὰς τυχούσας αἰτίας ἐπισφαλὲς εἰς ἄπειρον ἐκτείνειν τὸ στράτευμα. Συμμέτρου χρεία στρατεύματος, εἰ κρατῆσαι τῶν πολεμίων μόνον βουλόμεθα· πλείονος δὲ εἰ καὶ τὴν ἡττηθεῖσαν παρὰ τῶν πολεμίων γῆν φυλάττειν ἐθέλοιμεν. Πλείονας ἱππεῖς τῶν πεζῶν ἐχέτω μᾶλλον ὁ στρατηγὸς· οἱ μὲν γὰρ ἐν τῇ συστάδην μάχῃ μόνον εἰσὶν ἐπιτήδειοι· οἱ δὲ καὶ πρὸς τὸ διώκειν εὐκόλως, καὶ ὑποχωρεῖν εἰσι χρήσιμοι, καὶ κατιόντες τῶν ἵππων εὐκαίρως καὶ πεζομαχήσουσιν. Ἀγαθὸς ἡγεμὼν πόλεμος δημόσιος· εἰ μὴ καιρῶν ἢ πραγμάτων μεγίστη καταλάβῃ περίστασις, πρὸς τοὺς ἐναντίους οὐ τίθεται. Ἄλλοις μὲν ἐπὶ τῆς παρατάξεως, ἄλλοις δὲ πρὸ τῆς συμπλοκῆς, ἄλλοις παρὰ τὰς τῶν πολεμίων ἐντεύξεις· καὶ ἄλλοις μὲν σιτούμενος, ἄλλοις δὲ καθεύδων κέχρησω σχήμασιν· ὡς ἂν μήτε τοῖς ἐναντίοις, μήτε τοῖς

* iliad. π 44.

(1) Hae sententiae in MS. mediceo subiunguntur incerto Auctori, qui de re militari et orationibus militaribus scripsit. Asclepiodotus autem proxime in eodem codice sequitur.

Digitized by Google

ἄλλως ἐπιβουλεύουσιν εὐάλωτος ᾖς· ὁ δὲ καρχηδόνιος Ἀννίβας, καὶ κόμῃ προσθετῇ, καὶ πώγωνι διαφόρῳ χρώμενος, θειοτέρας τοῖς βαρβάροις εἶναι φύσεως ἐνομίζετο. Οὐ πρὸς τὴν ὅπλισιν μόνον, ἀλλὰ καὶ πρὸς τὰ ἤθη τὸν τόπον ἐπιλεξόμεθα. Πάρθοι μὲν γὰρ καὶ ἄλλοι πεδιάσιν εἰσὶν ἐπιτήδειοι· Ἴσπανοὶ δὲ καὶ Λίγυρες ἐν ὄρεσί τε καὶ λόφοις μάχονται κάλλιον· καὶ βρεττανοὶ ἐν ὕλαις· Γερμανοὶ δὲ τοῖς ἑλώδεσι χαίρονται τόποις.

Ὁποῖον ἂν τόπον ὁ στρατηγὸς ἐπιλέξεται, γνώριμον τοῦτο ποιείτω τοῖς στρατεύμασιν· οὕτως γὰρ ἂν ἐκφεύξονται τῶν τόπων τοὺς δυσχερεῖς, καὶ μετὰ θάρσους τοῖς πολεμίοις, διὰ τὸ γνωρίζειν τοὺς τόπους, μαχήσονται. Ἐξάγων ὁ στρατηγὸς τοὺς στρατιώτας εἰς πόλεμον, ἱλαρὸς ἔστω, παραιτούμενος τὸ στυγνόν· ὡς τὰ πολλὰ γὰρ ἐκ τῆς ὄψεως τοῦ στρατηγοῦ τὰ στρατεύματα τὸ μέλλον εἰκάζει. Μετὰ τὴν νίκην ὁ στρατηγὸς μὴ παραχρῆμα λυέτω τὰς τάξεις· πολλάκις γὰρ οἱ πολέμιοι τοὺς ἡμετέρους ὀρῶντες διὰ τὴν χαρὰν ἀνακεσόντας ταῖς διανοίαις, καὶ λελυκότας τὰς τάξεις, ἀνεθάρσησάν τε, καὶ μαχόμενοι παλιντρόπον τὴν νίκην ἀπέδειξαν. Κυκλωθεῖσι τοῖς πολεμίοις τοῦ κύκλου μέρους ἀνοίξαντες πάροδον εἰς φυγὴν διδόναι τοῖς πολεμίοις καλὸν, ἵνα τὸ φεύγειν τοῦ μένειν τε καὶ κινδυνεύειν κρίνωσιν αἱρετώτερον. Πρὸς τὴν τοῦ στρατηγοῦ κίνησιν τὸ στράτευμα κρίνεται· τοῦτο γὰρ εἰδὼς ὁ καρχηδόνιος Ἀννίβας, ἐπειδὴ Σκηπίωνα στρατηγοῦντα Ῥωμαίων ἐπέγνω, εἶτα τὴν διάταξιν ἐπαινέσας τοῦ στρατεύματος, τοῖς ἐγκαλοῦσιν ὅτι πρὸς τοὺς πολλάκις ἡττημένους ὀκνηρότερον τῆς μάχης ἀπέρχεται, ἀπελογήσατο λέγων· βουλοίμην, ἔφη, πρὸς ἀγέλην λεόντων ἔχειν ἢ ἔλαφος ἄρχει, μᾶλλον ἢ πρὸς ἀγέλην ἐλάφων ἢ λίων ἐστὶν ἡγεμών. Εὐτυχὴς στρατηγὸς τοῦ γενναίου μᾶλλον τοῖς κοινοῖς ἐστιν ὠφελιμώτερος· ὁ μὲν γὰρ ἀπόνως, ὁ δὲ μετὰ κινδύνων τὰ πλείονα κατορθοῖ. Τοὺς δολίους τῶν ἐντυγχανόντων μᾶλλον, ἢ τοὺς πικροὺς παραιτεῖσθαι καλὸν· οἱ μὲν γὰρ οὐδὲν λανθάνουσι πράττοντες, τῶν δὲ τοῖς ἔργοις παρακολουθεῖν δυσχερές. Δεινὸς μὲν ἔστω μετὰ ἀκριβείας ὁ ἡγεμὼν, τὰ τῶν στρατιωτῶν ἐξετάζων

Digitized by Google

πλαίσματα· πρᾶος δὲ, συστέλλων τὰς ἐπὶ τούτοις κολάσεις· οὕτω γὰρ εὔνουν τὸ ὑπήκοον κτήσεται. Ἀκατάπληκτος ἐν τοῖς δεινοῖς στρατηγὸς, συνετὸς ἐν βουλῇ, πρᾶος τοῖς ἐγλυγχάνουσιν, οὐ μετὰ θυμοῦ θηριώδους, ἀλλὰ μετὰ λογισμοῦ τοῖς πολεμίοις ἐμπίπτων, πλεῖστα μαχόμενος κατορθοῖ. Μηδὲν ἀγνοείτω τῶν κατὰ πόλεμον συμβαινόντων ὁ στρατηγὸς· τίς γὰρ ἅπερ ἀγνοεῖ, πράττειν ἐπιχειρήσειεν; ἢ τίς ἅπερ οὐκ οἶδεν ὡς σφαλερὰ, τούτοις βοηθείαν ἐπάγειν δυνήσεται; Δεῖ τὸν στρατηγὸν τοῖς ἐναντίοις ἐπεβουλεύειν δι' ὅπλων μᾶλλον, ἀλλὰ καὶ διὰ σιτίων καὶ ὕδατος· τὰ μὲν ἅποτα ποιοῦντα, τὰ δὲ τοῖς θανασίμοις φαρμάσσοντα (1)· δεῖ δὲ καὶ τὰ τούτων εἰδέναι σωτήρια, καὶ οἷς ἂν τὰ τοιαῦτα ῥᾳδίως ἐκφύγοιμεν. Ἐχέτω μὲν ἀεὶ περὶ ἑαυτὸν ἄνδρας ἐπιλέκτους ὁ στρατηγὸς, μεθ' ὧν ἐπικουρεῖν τοῖς κάμνουσι τῆς στρατιᾶς δυνήσεται μέρεσι· μὴ προπετῶς δὲ χωρείτω κατὰ τῶν πολεμίων, μή τι παθὼν ἀθρόως συναπολέσῃ τὸ στράτευμα. Ἔχομεν ὦ λόγοι (*sic*) τὸν στρατηγὸν καὶ παναγυρίζειν κατὰ τῶν πολεμίων τοῖς ὑμετέροις πειθόμενον· μήποτε τοίνυν ὑμᾶς καταλίπῃ στεφάνων, ἐξ ἑτέρων ἑτέρους συμπλέκοντες, καὶ τοῖς ὑμετέροις κοσμοῦντες θωρήμασιν.

(1) Hoc vero immane est et contra ius gentium, nempe publicarum aquarum veneficium.

Digitized by Google

PETRI MATRANGAE

ANIMADVERSIONES CRITICAE

AD S. SOPHRONII ODAS.

Praeter hiatus ob aliquot quaternionum defectum, et versuum in quibusdam odis miram perturbationem, ut videre est in calce praefationis, menda equidem non parvi ponderis exhibet barberinianus codex cetera pulcherrimus: quum vero neque Allatius in suo apographo ea castigasset, si levissima quaedam exceperis et parvi momenti ut infra patebit, ego marte proprio ea recensenda curavi, simulque emendationum rationem lectoribus heic adieci.

Ode 1.

P. 49. v. 7. 8. Codd. θεόπαις τε τὴν λοχείην· θεόθεν βροτοῖς φανεῖσα. Postquam typis impressa fuerant anacreontica mei Sophronii, codicem latinum miscelli generis in bibliotheca vaticana inspexi, ubi hanc odam a Card. Sirleto latinam factam non sine gaudio perlegi; nam sirletianam versionem deprehendi meae castigationi adamussim consonam.

P. 50. v. 43. λάτρην barberinianus ferme semper scribit hanc vocem cum ι, allatianus cum η.

Ibid. v. 45. codd. lectionem ὃ Γεθσαρεὶθ, emendavi ita ὅ γε Ναζαρεὶθ.

Ibid. v. 73. Ita codd. at versus ob metrum hoc modo ordinandus ἅγιον θεοῖο πνεῦμα.

P. 51. v. 59. Allatianam scripturam praetuli barberinianae, quae pro ἦν habet οὖν.

P. 53. v. 122. γαστρὶ. Ita codd. at ratione metri syncopen abstuli, et correxi γαστέρι.

Ode 2.

Ibid. v. 16. Ὅς ita emendavi lectionem codicum ὃ.

P. 54. v. 26. codd. heic exhibent interlinearem variam lectionem characteribus exaratam perminutis, ἄλ. Ζαθεὼν χρόνους. Itr vers. 32. ἄλ. χρόνος, et inferius v. 39. π εὐφροσύνης, idest ἄλλως, πάλιν.

P. 57. v. 95. barb. perperam habet ἐπεὶ et v. 100. codd. γενεὴ.

Ibid. v. 107. metri gratia verbum ποιῶ, ubi priorem syllabam poetae corripere volebant, amanuenses, ni fallor, scripsere ποῶ: Nam divinare non possum, curnam iidem scriptores, qui primam in ποιέω corripuerant, eamdem vocem aliter absque ulla necessitate scribere voluerint. Neque me latet Hesychium notasse ποεῖν pro ποιεῖν, et in veteribus Aristophanis editionibus frequenter occurrere ποῶ, πόει etc. et idem adnotasse Eustathium memini in quodam opere adhuc ine-

Digitized by Google

dito. Henr. Stephanus tamen Etymologo dicenti hanc esse formam atticam, haud lubenter fidem adhibet. Nam, ut ipse observavit, haec scriptura non est necessaria, quum syllabam ποι alioqui correptam apud auctores videamus, ut in fine versus ἄνδρα ποιητὴν etc. Et memini varia huiusmodi exempla exhibere Theocritum. Duo tamen, quae in mentem veniunt, hic lectori propono idyl. 3. v. 9. in f. ἀπάγξασθαί μ' ποιησείς. Et idyl. 10. v. 38. Ἢ καλὰς ἄμμι ποιῶν, ita accuratae et recentiores editiones, ubi legebatur ποῶν. Hoc monitum et sequentibus verbis ita scriptis, quae haud raro occurrunt, inserviat.

Ode 3.

V. 41. codd. ὅπη, emendavi ὅτι. Nam praeter quam quod versum claudicantem haberes, si codicum lectionem servare velles, vocabulum οὕνεκα nullo prorsus modo interpretari potes ὅπη. Etenim, duo versus impares per tria sequentia anacreontica fideliter exponuntur.

P. 60. v. 79. metrum postulat ἄρωμα, ut edidi, non ἀρώματα, ut habent codd.

P. 61. v. 95. norunt et graecae linguae tirones ὄρρα saepissime cum coniunct. construi, et saepe etiam cum opt. Heic loci vero cum coniunct. construendum existimo, quamquam codd. habeant ὀλίσσοι.

Ode 4.

P. 62. v. 7. allatiana editio huius odae in diatriba de Simeonibus Parisiis 1664. p. 5. οὖν (ut habet eiusdem apographum) mutavit in τῷ.

P. 63. v. 27. eadem editio contra metri rationem legit εἰσῆγον.

Ibid. v. 30. Allatius in hoc versu verborum ordinem metri gratia sponte mutavit, nam barberinianus legit ζαθεος γαὶρ νόμος.

P. 64. v. 58. Allatius in diatriba edidit εἶχε pro ἦγε: at ego hanc mutationem arbitrio emendatorum, aut typothetae lubenter adscribo; nam ipse Allatius in apographo transcripserat ἦγε, ut habet barb. Nec absimili modo dicendum inferius v. 62. in verbo τελοῦντες, quod perperam impressum fuit in diatriba τελεῦντες.

P. 66. v. 75. codd. παρίσχεν. At si contextum consideras, facile mendum invenies. Verba sunt Simeonis ad Dominum. Liquet ergo personam secundam, cum quo quis loquitur, adhibendam non tertiam.

Ibid. v. 87. allatiana editio λέγεται, contra metri rationem et codicum lectionem λέγει.

P. 66. v. 103. barb. τέλεσσε κῆρα, Allat. τέλεσσε κῆρα. Utramque respui lectionem et castigavi τέλεσσε χήρα. Luc. c. II. v. 36. καὶ ἦν Ἄννα etc.

Ode 5.

P. 68. v. 46. habet ἤρσω, unde tamen huiusmodi verbi formam deducerem, et quomodo contextui adcommodarem, frustra expertus, meam emendationem adiicere decrevi. Et revera αἴρε-

Digitized by Google

μαι, ut compertum est, significatione activa usurpatur pro incipio, aggredior, et ἤρτο esset 3. p. plus. perf. pas. ab αἴρω; et Iohannem post praedicationem incepisse baptismum turbis conferre, testantur evangelistae.

Ibid. v. 57. codd. θεῶν, at cor. θεόν.

P. 69. v. 65. codd. ὅπερ ὁ γράφων προφήτης (Isaias). Meae emendationi non solum metri necessitas, sed et Iohannis sermo arridet. Mirabantur Iudaei vitam et praedicationem Iohannis et baptismum in peccatorum remissionem. Adde quod nota erat austeritas eius vitae; quapropter putabant ipsum esse gentium expectationem. Iohannes vero eos reprehendens ait se nihil facere praeter quam quod propheta Isaias de se praedixerat, cum vocem in deserto clamantem illum annuntiaverat

Ibid. v. 77. codd. χόρτος pro Χριστός. Meam emendationem suadent versus impares.

Ode 6.

P. 72. v. 34. codd. εἰς ἕδος, ego horum verborum ordinem metri gratia mutavi.

Ibid. v. 60. codd. βίῳ. Quisquis tamen facile perspiciet post ἐς ἄλκαρ requiri genitivum βίου, ut emendavi.

Ibid. v. 75. κώμης ita codd. velim tamen dativum heic adhibere ut syntaxis postulat.

P. 74. v. 85. Quamquam interrogatio in fine huius versus ob typothetae errorem irrepserit, sit in lectoris arbitrio eam expungere: versum tamen metri gratia liceat sequenti modo componere: φίλον οὐ σθένειν σαώσαι.

Ibid. v. 105. codd. ὅτι μὴν, patet amanuensis error pro ὅτ' ἐμὴν. Et similia notavi in ode prima v. 7. ubi τε τήν pro τεὴν habent codd.

Ibid. v. 112. codd. καιρίαις, et heic scribae error inest, nam versus ratio postulat χερείαις pro κηρία et χειρία.

Ode 7.

P. 75. v. 17. barb. θεοφόβοισι. Allatianam vero emendationem lubenter recepi metri gratia.

P. 76. v. 38. codd. εἰς, versus tamen exigit ἐς ut emendavi.

P. 77. v. 51. Mallem heic quartum, quam tertium casum λασίοις κλάδοις ut habent codd. ita namque facile fluit sermo: *nonnulli currebant habentes ramos* etc.

Ibid. v. 77. codd. τραχιναῖς.

Ibid. v. 69. contra metri rationem codd. λιγυθρόως, emendaveram λιγυρηθρόως, sed frustra.

Ibid. v. 71. codd. perperam habent αἴνοις.

P. 78. v. 78. βοῶντες essent sacerdotes, at vox paululum detorta in βοῶντος magis perspicuam exhibet sententiam ἱερεῖς κλύοντες ὄχλου βοῶντος etc.

Ibid. v. 84. codd. κέλευσα ao. 1. 3. p. poet. at ἄναξ vocativus precantium sacerdotum imperativum deprecativum exigit; quapropter expunxi τὸ σ, et ita imperativum formavi; aliam vero

Digitized by Google

lectionem codicum κέλευσαι ob metri gratiam nullo modo admitti posse, nemo est qui non videat.

P. 79. v. 109. codd. ὕπνον pro ὕμνον.

Ibid. v. 113. Heic etiam inest interlinearis varia lectio ita exarata, ἀλ. τί φησι.

Ibid. v. 122. quartum casum, ut codd. habent, mutavi in tertium, prout grammaticalis ratio exposcit.

Ode 8.

P. 80. v. 13. codd. κράτιστε. Huic vocativo non esse heic locum et constructio et sermo D. N. I. C. clare manifestant; emendavi κρατεῖτε.

Ibid. v. 34. codd. παρέσχων, perlevem tamen mutationem τοῦ ω in ο heic necessariam quisque intelligit.

P. 81. v. 28. codd. ἀέξας, sed frustra emend. ἐαξάς.

Ibid. v. 43 codd. δραμεῖσθαι, verumtamen αι in ε mutare fas sit, ut imperativum fiat.

Ibid. v. 47. codd. μολοῦντα, quod cum πάσχα minime concordare potest, nisi ut est hebraice masculinum malueris facere πάσχα· at Graeci neutrum semper fecerunt; vel potius dividere μολοῦντα hoc modo velis μολοῦν τὸ. Mihi revera mea emendatio prae ceteris coniecturis magis satisfacit.

P. 82. v 74. quod codd. habent τόδε castigavi τότε.

Ibid. v. 86. claudicantem versum codicum lectio efficiebat, quare dat. com. χερσὶ in ionicam dialectum mutavi χείρεσι.

Ode 9.

P. 84. v. 31. barb. ὦ φρένες, ego tamen allatianam emendationem recepi.

P. 85 v. 53. Allatianam lect. practuli barber. ἡμέρως.

Ibid. v. 70. Heic inest interlinearis varia lectio ita signata ἄλ. βαίνοις, quae aptior mihi videtur.

Ode 10.

P. 87. v. 10. Versum ferme totum conturbatum rectae lectioni restituere conatus sum. En quomodo habet barb. quin etiam et allatianus, ἀρετὰς ἀγνῶντες ἔργον, quae lectio non solum obscura est, sed etiam ratione metri claudicat. Et revera si discipuli non cognovissent Arctae mentem, quomodo Paulum e muro per sportulam clam demisissent? Ἀγνῶντες vero contrarium est et narrationi ipsius Pauli ad Cor. 2. c. XI. 32. et act. ap. IX. 24. Ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν. Mea emendatio e contra his omnibus consonat, Ἀρέτα προγνῶντες ἔργον.

Ibid. v. 12. heic varians ita in codd. signatur ἄλ. Ἑβραίους.

Ibid. v. 18. Pro ἀστεροκτῇ codd. habent ἀστεροκτῇ. Utraque lectio minime obstat menti S. Sophronii; attamen mea castigatio nescio quid roboris et poëticae venustatis praesefert. In eodem versu, abiecta allatiana lectione πᾶσι, barberinianam Παῦλε retinui.

Ibid v. 21. heic e contra barberinianam lectionem Ἀρέτα res-

Digitized by Google

pui, et allatianam Ἀρέταν mihi vindicavi.

Ibid. v. 31. codd. ὡς πυρὶς, quae lectio, postquam aliquid negotii mihi facessivisset, ordinata est ut in editione, et ni fallor a scopo minime aberravi. Etenim si lector habet prae oculis Paulum per sportam e muris dimissum, facile heic intelligit S Sophronii mentem, qui tropologice Paulum ipsum, non sine poetica vi et quadam audacia, sportam vocat caelestem, et quomodo e tertio caelo demissus esset, admiratur.

P. 88. v. 41. Cum solo iota in penultima non recensetur a lexicographis vocabulum λαβυρίνθιος. Recta lectio esset cum ει, licet prima accommodatior metro.

Ibid. v. 42. Barberinianus interlinearem habet variantem ἄλ. ἐγγόνων, quam recepi.

Ibid. v. 52. codd. γόον, sed ἀκροστιχίδων ordo, et auctoris mens exposcebant νόον ut emendaveram, quod typothetae non placuit.

Ode 11.

P. 90. v. 2. codd. κομίζων et v. 4. φέρεις τὸν, quas lectiones mendosas esse, et parum consonas sequentibus verbis, constat.

Ibid. v. 16. emen. συγγόνους, codd. vero habent σύγγονας, at huiusmodi casus neque a συγγενὴς, neque a συγγενεὺς, si tamen usus vocabulum recepisset, deduci potest. Nomin. τοῦ σύγγονας esset σύγγων, sed enim lexicographi non agnoscunt hoc vocabulum.

Ibid. v. 17. barber. lectio, quam in margine notaveram, a typotheta, me invito, impressa fuit, qui meam iteratam correctionem respuit; namque allatianam ἰαχῆς elegeram

Pag. 91. v. 34. codd. ἀγορεύει.

